

ΒΙΒΛΙΟΘΗΚΗ
ΕΛΛΗΝΩΝ
ΠΑΤΕΡΩΝ

ΘΕΟΔΩΡΟΣ
ΜΟΨΟΥΕΣΤΙΑΣ
(ΜΕΡΟΣ Α΄)



86

Printed in Greece
Athens 2006

ΒΙΒΛΙΟΘΗΚΗ ΕΛΛΗΝΩΝ ΠΑΤΕΡΩΝ ΚΑΙ ΕΚΚΛΗΣΙΑΣΤΙΚΩΝ ΣΥΓΓΡΑΦΕΩΝ

'Ιασίου 1, 115 21 'Αθήνα, τηλ. 210.7272.381, fax 210.7272.380
e-mail: sellsbooks@apostoliki-diakonia.gr
http://www.apostoliki-diakonia.gr
"Εκδοσις Α' 2006

Κ.Α. 99.02.086
ISBN 960-315-567-5
ISSN 1106-5303

ΒΙΒΛΙΟΘΗΚΗ ΕΛΛΗΝΩΝ ΠΑΤΕΡΩΝ
ΚΑΙ ΕΚΚΛΗΣΙΑΣΤΙΚΩΝ ΣΥΓΓΡΑΦΕΩΝ

ΤΟΜΟΣ ΟΓΔΟΗΚΟΣΤΟΣ ΕΚΤΟΣ

ΘΕΟΔΩΡΟΣ ΜΟΨΟΥΕΣΤΙΑΣ
(ΜΕΡΟΣ Δ΄)

Γενικὴ 'Επιστασία καὶ 'Επιμέλεια
ΗΛΙΑ Δ. ΜΟΥΤΣΟΥΛΑ
'Ομοτίμου Καθηγητοῦ τοῦ Πανεπιστημίου 'Αθηνῶν

'Επιμεληταὶ
ΓΕΩΡΓΙΑ Π. ΚΟΥΝΑΒΗ
Δρ. ΔΗΜΗΤΡΙΟΣ Χ. ΚΑΛΛΙΝΤΕΡΗΣ
Θεολόγοι

ΕΚΔΟΣΙΣ ΤΗΣ ΑΠΟΣΤΟΛΙΚΗΣ ΔΙΑΚΟΝΙΑΣ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ
ΑΘΗΝΑΙ 2006

ΠΕΡΙΕΧΟΜΕΝΑ

ΘΕΟΔΩΡΟΣ ΜΟΨΟΥΕΣΤΙΑΣ
(ΜΕΡΟΣ Δ')

ΚΕΙΜΕΝΑ

Ἑρμηνεία εἰς τοὺς δώδεκα μικροὺς Προφήτας (Μέρος Β')
[Κατὰ τὴν ἔκδοσιν H. N. Sprenger, Theodori Mopsuesteni commentarius in XII Prophetas (Göttinger Orientforschungen V. Reihe: Biblica et Patristica 1), Wiesbaden 1977, σσ. 281-429 (J. - P. Migne, PG 66,449-632)]

Ἑρμηνεία Σοφονίου τοῦ Προφήτου 11

Ἑρμηνεία Ἀγγαίου τοῦ Προφήτου 33

Ἑρμηνεία Ζαχαρίου τοῦ Προφήτου 49

Ἑρμηνεία Μαλαχίου τοῦ Προφήτου 130

Εἰς τὸν Ἡσαΐαν
[Κατὰ τὴν ἔκδοσιν A. Möhle, Theodoret von Kyros, Kommentar zu Jesaia (Mitteilungen des Septuaginta - Unternehmens, τ. 5), Berlin 1932, σ. 25, σημ. 1] 159

Εἰς τὸ κατὰ Ματθαῖον
[Α' Κατὰ τὴν ἔκδοσιν J. Reuss, Matthäus-Kommentare aus der griechischen Kirche (Texte und Untersuchungen zur Geschichte der altchristlichen Literatur 61), Berlin 1957, σσ. 96-135 (J. - P. Migne, PG 66,705-713)] 160

[Β' Κατὰ τὴν ἔκδοσιν J. Reuss, Matthäus-Kommentare aus der griechischen Kirche (Texte und Untersuchungen zur Geschichte der altchristlichen Literatur 61), Berlin 1957, σσ. 136-150] 204

[Γ' Κατὰ τὴν ἔκδοσιν H. B. Swete, Theodori episcopi Mopsuesteni in epistolas B. Pauli commentarii, τ. 2, Cambridge

1882, 1969², σ. 339 (J. - P. Migne, PG 66,1004. PG 91,173)] 219

Εἰς τὸ κατὰ Μάρκον
[Β' Κατὰ τὴν ἔκδοσιν J. - P. Migne, Patrologiae cursus completus, series graeca, τ. 66, Paris 1864, στ. 713-716] 220

Εἰς τὸ κατὰ Ἰωάννην
[Κατὰ τὴν ἔκδοσιν R. Devreesse, Essai sur Théodore de Mopsueste (Studi e Testi 141), Città del Vaticano 1948, σσ. 305-419 (J. - P. Migne, PG 66,728-785)] 221

ΠΙΝΑΞ ΤΩΝ ΧΩΡΙΩΝ ΤΗΣ ΑΓΙΑΣ ΓΡΑΦΗΣ 351

ΠΙΝΑΞ ΘΕΜΑΤΩΝ, ΟΝΟΜΑΤΩΝ, ΠΡΑΓΜΑΤΩΝ 367

ΘΕΟΔΩΡΟΣ ΜΟΨΟΥΕΣΤΙΑΣ

ΕΡΜΗΝΕΙΑ ΕΙΣ ΤΟΥΣ ΔΩΔΕΚΑ ΜΙΚΡΟΥΣ ΠΡΟΦΗΤΑΣ

(ΜΕΡΟΣ Β')*

ΕΡΜΗΝΕΙΑ ΣΟΦΟΝΙΟΥ ΤΟΥ ΠΡΟΦΗΤΟΥ

281 [449] Οὐ πόῤῥω τοῦ μακαρίου Ἀμβακοὺμ τῷ χρόνῳ τὴν προφητείαν ταύτην ὁ μακάριος πεποίηται Σοφονίας. Ἐπὶ γὰρ Ἰωσίου τοῦ βασιλέως τῆς Ἰουδαίας, καθὼς ἡ Βίβλος δηλοῖ, προφητεύει τὰ παρόντα, μεθ' ὃν βραχέος διεληλυθότος χρόνου ἐπεληλύθασί τε τῇ Ἰερουσαλὴμ οἱ Βαβυλώνιοι καὶ πλεῖστα ὅσα κατὰ τὴν Ἰούδα διαθέντες φυλήν, καὶ πολλοὺς μὲν ἀνελόντες[1] πλείστους δὲ ἀπαγαγόντες αἰχμαλώτους, αὐτήν τε ἐπόρθησαν τὴν Ἰερουσαλὴμ καὶ δὴ καὶ πυρὶ τόν τε ναὸν τὸν θεῖον καὶ τῶν τῆς πόλεως οἰκοδομημάτων τὰ κάλλιστα κατέφλεξαν ἅπαντα, ἔτι καὶ τὸ τεῖχος αὐτῆς παντελῶς καθελόντες[2], ὡς μηδὲ ἀσφάλειάν τινα τοὺς ἐνοικοῦντας, εἴπερ οὖν τινες ἐπιθυμοῖεν τούτου, δύνασθαι ἔχειν. Αὕτη μὲν οὖν ἡ συνήθης προγραφὴ τοῦ βιβλίου.

1,1 «Λόγος Κυρίου, ὃς ἐγένετο πρὸς Σοφονίαν τὸν τοῦ Χουσὶ υἱὸν Γοδολίου τοῦ Ἀμαρίου τοῦ Ἐζεκίου ἐν ἡμέραις Ἰωσίου υἱοῦ Ἀμὼς βασιλέως Ἰούδα»

Ἐν οἷς δεδήλωκε τόν τε Προφήτην, ὅστις ἐστὶ καὶ ὅθεν καταγόμενος, καὶ ἐν τίνι καιρῷ ποιεῖται τὴν προφητείαν. Ἄρχεται δὲ τῆς τῶν ἐσομένων προῤῥήσεως οὕτως.

---

* Κατὰ τὴν ἔκδοσιν H. N. Sprenger, Theodori Mopsuesteni commentarius in XII Prophetas (Göttinger Orientforschungen V. Reihe: Biblica et Patristica 1), Wiesbaden 1977, σσ. 281-429 (J.-P. Migne, PG 66,449-632).

1. Πρβλ. Δ' Βασ. 25,21. **2.** Πρβλ. Δ' Βασ. 25,9-10.



1,2 «Ἐκλείψει ἐκλιπέτω πάντα ἀπὸ προσώπου τῆς γῆς, λέγει Κύριος»

Γεγόνεσαν μὲν γὰρ αἰχμάλωτοι παντελῶς αἱ δέκα φυλαί, κεκρατηκότες δὲ ἐκείνων Ἀσσύριοι ἐπῆλθον μὲν καὶ τῇ Ἰερουσαλήμ, ὡς αἱρήσοντες καὶ ταύτην. Ὡς δὲ τὴν φοβερὰν ἐκείνην ἐδέξαντο διὰ τοῦ Ἀγγέλου πληγήν, μετὰ πολλοῦ μὲν τοῦ δέους εἶδον οἱ λοιποὶ πρὸς φυγήν, ὁπόσοι γε τῆς διὰ τοῦ Ἀγγέλου τιμωρίας γεγόνεσαν **282** ἐκτός[1], ἐν εἰρήνῃ δὲ βαθείᾳ τὰ κατὰ τὴν Ἰερουσαλὴμ γέγονεν ἐκ τούτου[2]. Ἐπειδὴ τοίνυν τοὺς τῆς Ἰούδα φυλῆς τούς τε τὴν Ἰερουσαλὴμ οἰκοῦντας οὐ τῆς τιμωρίας τῶν Ἀσσυρίων τὸ μέγεθος ἐσωφρόνισεν, οὐ τῶν δέκα φυλῶν ἐφόβησεν ἡ αἰχμαλωσία, μεμενήκασι δὲ οὐθὲν ἔλαττον ἐκείνων παρανομίᾳ τε καὶ ἀσεβείᾳ συζῶντες καὶ οὗτοι, ἀναγκαίως ἐντεῦθεν ἤρξατο τοῦτο λέγων, ὅτι ἀνάγκη καὶ τοὺς ὑπολοίπους ἐκλιπεῖν τοῦ λαοῦ, ἀφαιρεθέντας μὲν τῆς γῆς τῆς ἐπαγγελίας, ἀπαχθέντας δὲ εἰς αἰχμαλωσίαν, ἐπειδὴ καὶ οὗτοι μεμενηκότες οὐδὲν ἐκείνων ἔλαττον ὤφθησαν ἀσεβοῦντες. Καλῶς δὲ καὶ ἐν ἀποφάσει τὴν μήνυσιν ποιεῖται, ὡς ἂν δεικνὺς ὅτι τού[452]των ἀξίους ἑαυτοὺς δι' ὧν ἔπραττον πεποιήκασιν, ὅθεν δὴ καὶ ἀποφήνασθαι περὶ αὐτῶν τοιαῦτα προσῆκται Θεός. Εἶτα, καθολικῶς εἰπὼν «ἐκλιπέτω πάντα»[3], ἐπάγει κατὰ μέρος.

1,3 «Ἐκλιπέτω ἄνθρωπος καὶ κτήνη, ἐκλιπέτω τὰ πετεινὰ τοῦ οὐρανοῦ καὶ οἱ ἰχθύες τῆς θαλάσσης, καὶ ἀσθενήσουσιν οἱ ἀσεβεῖς, καὶ ἐξαρῶ τοὺς ἀνόμους ἀπὸ προσώπου τῆς γῆς, λέγει Κύριος»

Ὑπερβολικῶς μὲν τοῖς ἀνθρώποις καὶ τοῖς κτήνεσι τά τε πετεινὰ καὶ τοὺς ἰχθύας συνῆψεν, ἢ καὶ τροπικῶς καθὼς εἴωθε λέγειν, ἵνα πετεινὰ μὲν εἴπῃ τοὺς ἐκ δυναστείας ὑπεραιρομένους τῶν λοιπῶν, ἰχθύας δὲ τοὺς ἐν τῷ δήμῳ διὰ ταπεινότητα ἕρποντας πολλήν. Καὶ τὴν αἰτίαν δὲ ἐπάγων· «καὶ ἀσθενήσουσιν οἱ ἀσεβεῖς, καὶ ἐξαρῶ τοὺς ἀνόμους ἀπὸ προσώπου τῆς γῆς, λέγει Κύριος»[4].

---

1. Πρβλ. Δ' Βασ. 19,35-36. 2. Πρβλ. Δ' Βασ. 20,19. 3. Σοφ. 1,2. 4. Σοφ. 1,3.

Οἱ γὰρ ἀσεβείᾳ καὶ ἀνομίᾳ συζῶντες εἰς παντελῆ καταντήσουσιν ἀσθένειαν, ὑπὸ τῇ τῶν πολεμίων πεπτωκότες χειρί, οἱ λοιποί τε αἰχμαλωσίᾳ ληφθέντες ἀφαιρεθήσονται τῆς γῆς, ἣν παρ' ἐμοῦ λαβόντες μετὰ πολλῆς κατεῖχον τῆς παρανομίας. Εἶτα καὶ περὶ τίνων ταῦτα λέγει σαφέστερον ποιῶν.

1,4 «Καὶ ἐκτενῶ τὴν χεῖρά μου ἐπὶ Ἰούδαν καὶ ἐπὶ πάντας τοὺς κατοικοῦντας Ἰερουσαλήμ»

Κατά τε τῆς φυλῆς κατά τε τῆς πόλεως ἐπάξειν εἰρηκὼς τὴν τιμω**283**ρίαν, ἀναγκαίως δὲ καὶ τὰς τῆς τοσαύτης τιμωρίας λέγων αἰτίας.

1,4-6 Καὶ ἐξαρῶ ἐκ τοῦ τόπου τούτου τὰ ὀνόματα τῶν Βααλὶμ καὶ τὰ ὀνόματα τὰ τῶν ἱερῶν μετὰ τῶν ἱερέων καὶ τοὺς προσκυνοῦντας ἐπὶ τὰ δώματα τῇ στρατιᾷ τοῦ οὐρανοῦ καὶ τοὺς ὀμνύοντας κατὰ τοῦ Κυρίου καὶ τοὺς ὀμνύοντας κατὰ τοῦ Μελχὸμ καὶ τοὺς ἐκκλίνοντας ἀπὸ τοῦ Κυρίου καὶ τοὺς μὴ ζητοῦντας τὸν Κύριον καὶ τοὺς μὴ ἀντεχομένους τοῦ Κυρίου»

Ἀφελῶ γὰρ παντελῶς τοῦ τόπου τούτους τοὺς μὲν τῇ σφαγῇ τοὺς δὲ τῇ αἰχμαλωσίᾳ, συναφανίζων αὐτοῖς καὶ τὰ εἴδωλα πάντα, τήν τε ἐπ' αὐτοῖς θεραπείαν μετὰ τῶν ἱερατεύειν αὐτοῖς δοκούντων, πρὸς ἅπασί τε τοὺς ἐπὶ τῶν δωμάτων τοὺς κατ' οὐρανὸν φωστῆρας θεραπεύειν ἐσπουδακότας[1]. Δίκαιον γὰρ δὴ μάλιστα οὗτοι δέξονται τὴν τιμωρίαν, οἳ περὶ τὸν ναὸν οἰκοῦντες τὸν ἐμὸν οὐκ αἰσχύνονται περὶ τὴν τῶν εἰδώλων ἀσχολούμενοι θεραπείαν, ἀλλά ποτε μὲν τῆς ἐμῆς ἐνδείκνυνται θεραπείας φροντίζειν, ὅταν αὐτοῖς ὀμνύειν κατ' ἐμοῦ δοκῇ, ποτὲ δὲ κατὰ τῶν εἰδώλων ὀμνύουσιν. Μελχὸμ γὰρ τὸ εἴδωλον λέγει[2], ἵν' ἀφ' ἑνὸς καθὼς εἴωθεν ἅπαντα εἴπῃ τὰ εἴδωλα. Ἀλλὰ γὰρ πολλὰς μὲν οἶδα μυθολογίας, παρεὶς τῶν πρὸς τοὺς Σύρους κεχηνότων, ὡς ἂν μὴ φλυαριῶν δοκοίην ἐμπιμπλᾶν τὴν θείαν Γραφήν· ἐν καιρῷ δὲ νῦν ἐνόμισα διὰ τούτου ποιήσασθαι μνήμην εἰς ἔλεγχον εἴτε τοῦ νῦν οὐ δεόντως παρ' αὐτῶν λεγομένου εἴτε καὶ τῶν λοιπῶν, ἃ λεγόντων αὐτῶν

1. Πρβλ. Σοφ. 1,4-5. 2. Πρβλ. Σοφ. 1,5.

παρῆκα δι' ἣν ἔφην αἰτίαν. Λέγουσι γάρ, ὅτι Μελχὸμ ἐνταῦθα τὸν βασιλέα βούλεται εἰπεῖν, Μελχὸμ γὰρ τοῦ βασιλέως λεγομένου κατὰ τὴν Σύρων καὶ Ἑβραίων γλῶτταν, πλανηθέντας τοὺς ἑρμηνεύσαντας ἀντὶ τοῦ βασιλέως Μελχὸμ εἰπεῖν, ὅπερ ἐστὶ τὸ εἴδωλον. Οὓς ἐχρῆν πρὸ πάντων ἐκεῖνο συνιδεῖν, ὅτι κατὰ μὲν τὴν Ἑβραίων γλῶτταν εἴρηται τὰ τῆς θείας Γραφῆς, ἡρμήνευται δὲ ταῦτα εἰς μὲν τὴν Σύρων παρ' ὅτου δήποτε, οὐδὲ γὰρ ἔγνωσται μέχρι τῆς τήμερον, ὅστις ποτὲ οὗτός ἐστιν, εἰς δὲ τὴν Ἑλλήνων ἑβδομήκοντα μετενενηνόχασιν ἄνδρες **284** πρεσβύτεροι τοῦ λαοῦ, ἐπιστή**[453]**μονες μὲν ἀκριβῶς τῆς γλώττης τῆς οἰκείας, ἐπιστήμονες δὲ καὶ τῶν θείων Γραφῶν ὑπό τε τοῦ ἱερέως καὶ παντὸς τοῦ Ἰσραηλιτικοῦ λαοῦ δοκιμασθέντες, ὡς ἂν πάντων μάλιστα πρὸς τὴν ἑρμηνείαν ἄξιοι. Ὧν τήν τε ἑρμηνείαν καὶ τὴν ἔκδοσιν καὶ οἱ μακάριοι Ἀπόστολοι δεξάμενοι φαίνονται προδήλως, οἳ καὶ τοῖς ἀπὸ ἐθνῶν πεπιστευκόσιν οὐδ' ὅλως προσέχουσι πρότερον τοῖς τῆς Παλαιᾶς Διαθήκης παρέδωκαν τὰς θείας Γραφὰς ἐπὶ τῆς Ἑλλήνων κειμένας γλώττης κατὰ τὴν τῶν Ἑβδομήκοντα ἑρμηνείαν. Παρ' ὧν δὴ καὶ παραλαβόντες αὐτὰς νῦν ἔχομεν ἅπαντες οἱ ἐξ ἐθνῶν τῷ Δεσπότῃ πεπιστευκότες Χριστῷ ἔν τε ταῖς ἐκκλησίαις ἀναγινώσκοντες καὶ κατ' οἶκον ἔχοντες. Πῶς οὖν οὐκ ἀνόητον, νομίζειν ὅτι οἱ μὲν Ἑβδομήκοντα καὶ τοσοῦτοι καὶ τοιοῦτοι καὶ οὕτω δεδοκιμασμένοι διεσφάλλοντο περὶ λέξιν, οἳ καὶ πρὸ πάσης ἑρμηνείας ᾔδεσαν πάντως τὸ ἐν τῇ θείᾳ κείμενον Γραφῇ, καὶ εἴτε βασιλέα λέγει εἴτε εἴδωλον; Ἀξιοπιστότερον δὲ ἁπάντων ἐκείνων ὑπειλῆφθαι προσῆκεν, ἕνα τινὰ ἀφανῆ εἰς τὴν Σύρων γλῶτταν μεταβεβληκότα τὰ Ἑβραίων, ὥς γέ φασιν, πρὸς τῷ κἀκεῖνο δῆλον εἶναι, ὅτι τῆς τῶν εἰδώλων ἕνεκεν θεραπείας αὐτοὺς ὁ Θεὸς αἰτιᾶται ἐν τούτοις διὰ τοῦ Προφήτου. Καὶ ἐπειδὴ περὶ τὸν ναὸν τὸν θεῖον ὄντες τοιαῦτα διεπράττοντο, τοῦτο αὐτοῖς ἐπιμέμφεται ὅτι καὶ τὸν τοῦ ναοῦ Θεὸν θεραπεύειν ἐδόκουν, τουτέστι τὸν τοῦ παντὸς Κύριον, καὶ τῆς τῶν εἰδώλων οὐκ ἀπείχοντο θεραπείας. Τοῦ δὲ εἰδώλου τούτου μέμνηται καὶ ὁ μακάριος Ἀμὼς ὁ προφήτης, ὡς ὑπὸ Ἀμμανιτῶν θεραπευομένου, λέγων οὕτως· «καὶ πορεύσεται Μελχὸμ ἐν αἰχμαλωσίᾳ, οἱ ἱερεῖς αὐτοῦ καὶ οἱ ἄρχοντες

αὐτῶν ἐπὶ τὸ αὐτό, λέγει Κύριος»[1]. Τοῦτο λέγων, ὃ καὶ πολλαχοῦ φαίνεται διὰ τῶν Προφητῶν εἰρημένον, ὅτι ἡ κατὰ ὀργὴν οἵαν ἐπαγομένη τιμωρία τοῖς ἀλλοφύλοις ἄχρι τῶν εἰδώλων καὶ τῶν ἱερατευόντων αὐτοῖς ἐξετείνετο. Ὅτι δὲ ἅπασαν τὴν περὶ τὰ εἴδωλα θεραπείαν ἐκ τῶν παρὰ τοῖς Ἕλλησι θρησκευομένων δαιμόνων εἵλκυσαν οἱ Ἰσραηλῖται δῆλον, ὡς ὁ μακάριος **285** λέγει Δαβίδ· «καὶ ἐπεμίγησαν ἐν τοῖς ἔθνεσι καὶ ἔμαθον τὰ ἔργα αὐτῶν· καὶ ἐδούλευσαν τοῖς γλυπτοῖς αὐτῶν»[2], δεικνὺς ὅτι τὴν ἐκείνων ἠσπάσαντο εἰδωλολατρείαν, ὡς τὸν αὐτὸν φαίνεσθαι τρόπον καὶ τὴν περὶ τὸ εἴδωλον, ὃ Μελχὸμ ἐκαλεῖτο, θεραπείαν αὐτοὺς ποιεῖσθαι. Ὁ μέντοι γε Προφήτης τοῖς εἰρημένοις οὕτως ἐπάγει, «καὶ τοὺς ἐκκλίνοντας ἀπὸ τοῦ Κυρίου καὶ τοὺς μὴ ζητοῦντας τὸν Κύριον καὶ τοὺς μὴ ἀντεχομένους τοῦ Κυρίου»[3], βουλόμενος εἰπεῖν, ὅτι ἀπὸ τούτων δήλους ἑαυτοὺς καθιστῶσιν ἀπηλλοτριωμένους παντελῶς τῆς ἐμῆς εὐνοίας, καὶ μηδένα λόγον ἐθέλοντας ἐμοῦ τε καὶ τῶν ἐμοὶ δοκούντων ποιεῖσθαι. Πρόδηλον γὰρ ὡς τῆς ἐμῆς γνώσεως ἀντεχόμενοι γνησίως οὐκ ἄν ποτε προσέσχον εἰδώλοις. Εἰρηκὼς δὲ δικαίας τῆς τιμωρίας τὰς αἰτίας ἐπάγει.

1,7 «Εὐλαβεῖσθε ἀπὸ προσώπου Κυρίου τοῦ Θεοῦ, διότι ἐγγὺς ἡμέρα Κυρίου, ὅτι ἡτοίμασε Κύριος τὴν θυσίαν αὐτοῦ, ἡγίακε τοὺς κλητοὺς αὐτοῦ»

[456] Ἀλλ' ἐπειδὴ ἀμελῶς τὸ θεῖον ἐσχήκατε, νῦν γοῦν ὑπ' αὐτῆς τῆς ἀνάγκης φοβηθήσεσθε τὸν τοῦ παντὸς Κύριον, ὅτε τὴν τιμωρίαν ὑμῖν ἀξίαν ἐπάγει τῶν πλημμελημάτων. Οὐδὲ γὰρ ἀφέστηκεν ὁ καιρὸς ἐκεῖνος ἀλλὰ καὶ μάλα γε ἐγγύθεν ἐστίν, ἐν ᾧπερ ὑμᾶς τῇ τῶν πολεμίων παραδώσει θυσίᾳ, οὓς οἰκείῳ προστάγματι ἀφώρισέ τε καὶ κέκληκεν ἐπὶ τούτῳ. Τοῦτο γὰρ λέγει τό «ἡγίασε τοὺς κλητοὺς αὐτοῦ»[4], ἵνα εἴπῃ, ὅτι ἀφωρισμένους ἔχει τοὺς εἰς τὴν θυσίαν ταύτην κεκλημένους, λέγει δὲ τοὺς πολεμίους, οἳ καὶ καταθύσουσιν ὑμᾶς.

1. Ἀμ. 1,15. 2. Ψαλ. 105,35-36. 3. Σοφ. 1,6. 4. Σοφ. 1,7.

1,8-9 «Καὶ ἔσται ἐν ἡμέρᾳ θυσίας Κυρίου καὶ ἐκδικήσω ἐπὶ τοὺς ἄρχοντας καὶ ἐπὶ τὸν οἶκον τοῦ βασιλέως καὶ ἐπὶ πάντας τοὺς ἐνδεδυμένους ἐνδύματα ἀλλότρια· καὶ ἐκδικήσω ἐπὶ πάντας ἐμφανῶς ἐπὶ τὰ πρόπυλα ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, τοὺς πληροῦντας τὸν οἶκον τοῦ Θεοῦ αὐτῶν ἀσεβείας καὶ δόλου»

286 Ἐν ἐκείνῳ δὴ τῷ καιρῷ τοὺς ἄρχειν ἐν ὑμῖν δοκοῦντας τιμωρήσομαι, αὐτόν τε παντελῶς ἀφανιῶ τοῦ βασιλέως τὸν οἶκον[1], ἅτε πρὸς αἰχμαλωσίαν ἀπάγεσθαι μέλλοντος τοῦ τότε βασιλεύειν ὑμῶν δοκοῦντος, καὶ πάντας δὲ καθάπαξ τιμωρήσομαι τοὺς οὕτω πρὸς τὴν Ἑλληνικὴν μίμησιν ἑαυτοὺς ἐκδεδωκότας, ὡς καὶ τῶν ἱματίων ζηλοῦν τὴν χρῆσιν τὴν τῷ νόμῳ μὲν ἀπηγορευμένην[2] τοῖς ἔθνεσι δὲ ἁρμοδίαν. Πάντας δή, φησίν, περιφανῶς τιμωρήσομαι πρὸ τῶν τοῦ ναοῦ προθύρων, εἰς ὃν ἠσέβουν, εἰσιόντες μὲν τῷ δοκεῖν εἰς ἐμὴν θεραπείαν, μεθ' ὑποκρίσεως δὲ καὶ δόλου ποιεῖσθαι τὴν εἴσοδον τολμῶντες[3], οἵ γε τῆς μὲν εὐσεβείας οὐθένα λόγον ἐβούλοντο ποιεῖσθαι, τοῖς εἰδώλοις δὲ προσανεῖχον σπουδῇ.

1,10 «Καὶ ἔσται ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, λέγει Κύριος, φωνὴ κραυγῆς ἀπὸ πύλης ἀποκεντούντων καὶ ὀλολυγμὸς ἀπὸ τῆς δευτέρας καὶ συντριμμὸς μέγας ἀπὸ τῶν βουνῶν»

Τότε δὴ φοβερὰ μέν τις γενήσεται φωνὴ ἀπὸ τῆς πύλης λαβοῦσα τὴν ἀρχὴν[4] διὰ τῶν εἰσιόντων τε πολεμίων καὶ πολὺν ἐργαζομένων τὸν φόνον, διαδέξεται δὲ τὴν φωνὴν ἐκείνην ὀλολυγή τις ἀφόρητος τῶν κατ' οἰκίαν συντριβομένων τε καὶ ἀπολλυμένων ποικίλως ἔτι καὶ τῶν ἐν ὑψηλοτέροις τόποις ἐλπίδι φυγῆς κατατρεχόντων —τοῦτο γὰρ λέγει «βουνῶν»[5]—, οὐ μόνον οὐδὲν ὠφελεῖσθαι δυναμένων ἐντεῦθεν ἀλλὰ γὰρ καὶ τὴν ἐσχάτην δεχομένων τιμωρίαν. Οἷς ἀκολούθως ἐπάγει.

1,11 «Θρηνεῖτε, οἱ κατοικοῦντες τὴν κατακεκομμένην»

Ἐνταῦθα δή, φησίν, θρηνεῖν ἅπαντας ἄξιον τοὺς οἰκοῦντας τὴν Ἱερουσαλήμ[6], ἣν διαφόρως διὰ τῶν οἰκούντων κατακόψουσιν οἱ

1. Πρβλ. Σοφ. 1,8. **2.** Πρβλ. Λευϊτ. 19,19. Δευτ. 22,11. **3.** Πρβλ. Σοφ. 1,9. **4.** Πρβλ. Σοφ. 1,10. **5.** Σοφ. 1,10. **6.** Πρβλ. Σοφ. 1,11.

πολέμιοι τάς τε οἰκοδομὰς αὐτῆς διατέμνοντες καὶ τοὺς κατοικοῦντας διασφάττοντες.

1,11 «Διότι ὡμοιώθη πᾶς ὁ λαὸς Χαναάν, ἐξωλοθρεύθησαν πάντες οἱ ἐπηρμένοι ἀργυρίῳ»

Ἐπειδὴ γὰρ τῶν Χαναναίων ἐμιμήσαντο τὸν τρόπον[1], διὰ τοῦτο παραπλησίως ἐκείνοις καὶ τὴν τιμωρίαν ἐδέξαντο, ἀπολλύμενοι παν**287**τελῶς ὅνπερ δὴ τρόπον ἀπώλοντο κἀκεῖνοι, ὁπηνίκα τοῖς Ἰσραηλίταις παρεδίδου τὴν γῆν ὁ Θεός. Συναφανισθήσονται γὰρ δὴ πάντες τοῖς λοιποῖς καὶ οἱ μέγα φρονοῦντες ἐπὶ πλούτῳ, θεωροῦντες ἑαυτοὺς μηδὲν ἐκ τῆς εὐπορίας κέρδος λαβόντας, τοὐναντίον μὲν οὖν ἐν τῇ ἀφαιρέσει τῶν οἰκείων παραπλήσιοι γεγονότες τοῖς παντελῶς πενομένοις.

1,12 «Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐξερευνήσω τὴν Ἰερουσαλὴμ μετὰ λύχνου καὶ ἐκδικήσω τὴν Ἰερουσαλὴμ μετὰ λύχνου»

[457] Ἐπειδὴ τοῖς τὰ ἐνδότατα καὶ σκότῳ πως κατειλημμένα ζητοῦσιν ἔθος λύχνῳ κεχρῆσθαι πρὸς ἀκριβεστέραν ἔρευναν τῶν ἀποκεκρυμμένων, τοῦτο λέγει, ὅτι μετὰ πολλῆς τῆς ἀκριβείας ἐξερευνηθήσεται πάντα τὰ τῆς Ἰερουσαλήμ, ὡς μηδὲν τῶν ἐνόντων διαλαθεῖν τοὺς πολεμίους. Ὅπερ ἀκολούθως ἐπήγαγε τό· «ἐξωλοθρεύθησαν πάντες οἱ ἐπηρμένοι ἀργυρίῳ»[2], δεικνὺς ὅτι οὕτω πάντα τῶν εὐπόρων ἀφαιρεθήσεται τὰ ὄντα οὐθενὸς λαθεῖν τῶν πολεμίων τὴν ἔρευναν δυναμένου.

1,12 «Καὶ ἐκδικήσω ἐπὶ τοὺς ἄνδρας τοὺς καταφρονοῦντας ἐπὶ τὰ φυλάγματα αὐτῶν, τοὺς λέγοντας ἐν ταῖς καρδίαις αὐτῶν Οὐ μὴ ἀγαθοποιήσῃ Κύριος οὐδὲ μὴ κακώσῃ»

Τιμωρήσομαι γάρ, φησίν, τούτους, οἳ τῶν μὲν προσταγμάτων τῶν ἐμῶν καὶ τῆς θεραπείας κατεφρόνουν παντελῶς τῆς ἐμῆς, ἀφ' ὧν δὴ φυλάττεσθαι καὶ διατηρεῖσθαι ἐκ πάσης ἠδύναντο ἐπηρείας, διακειμένους δὲ ὅτι μὴ οἷόν τέ τι κακὸν αὐτοῖς ἐπενεχθῆναι τοι-

1. Πρβλ. Σοφ. 1,11. **2.** Σοφ. 1,11.

αὗτα παρανομοῦσιν. Τὸ γάρ, «Οὐ μὴ ἀγαθοποιήσῃ Κύριος»[1] κατὰ ὑπόκρισιν ἀναγνωστέον ἀντὶ τοῦ ἀγαθοποιήσει.

1,13-14 «Καὶ ἔσται ἡ δύναμις αὐτῶν εἰς διαρπαγὴν καὶ οἱ οἶκοι αὐτῶν εἰς ἀφανισμόν, καὶ οἰκοδομήσουσιν οἰκίας καὶ οὐ μὴ κατοικήσωσιν ἐν αὐταῖς καὶ καταφυτεύσουσιν ἀμπελῶνας καὶ οὐ μὴ πίωσι τὸν οἶνον αὐτῶν. Ὅτι ἐγγὺς ἡμέρα Κυρίου ἡ μεγάλη, ἐγγὺς καὶ ταχεῖα σφόδρα»

288 Πᾶσα μὲν οὖν αὐτῶν ἡ δύναμις ὑπὸ τῶν πολεμίων περιαιρεθήσεται, ἀφανισθήσονται δὲ καὶ πάντες αὐτῶν οἱ οἶκοι καὶ οὔτε τῶν οἴκων ἀπολαύσουσιν, οὓς μετὰ πολλῆς οἰκοδομήσαντες ἐπιμελείας οὔτε τῶν γεωργιῶν τῶν οἰκείων λήψονται τὸν καρπόν[2], ἐπειδὴ πάρεστι καὶ πλησίον ἄγαν ἐστὶν ἡ ἡμέρα τοῦ Θεοῦ[3], καθ' ἣν ἐκβήσεται πάντα ἅπερ οὖν ἀποπέφανται κατ' αὐτῶν ὁ Θεός.

1,14 «Φωνὴ ἡμέρας Κυρίου πικρὰ καὶ σκληρὰ τέτακται»

Μεμήνυται γὰρ ὁ καιρὸς τῆς ἀποφάσεως τῆς θείας πολλῆς πικρίας τε καὶ τραχύτητος γέμων.

1,14-15 «Δυνατὴ ἡμέρα ὀργῆς ἡ ἡμέρα ἐκείνη»

Ἰσχυρὸς ἄγαν τῆς ἡμέρας ἐκείνης ὁ θυμός.

1,15-16 «Ἡμέρα θλίψεως καὶ ἀνάγκης, ἡμέρα ἀωρίας καὶ ἀφανισμοῦ, ἡμέρα σκότους καὶ γνόφου, ἡμέρα νεφέλης καὶ ὁμίχλης, ἡμέρα σάλπιγγος καὶ κραυγῆς ἐπὶ τὰς πόλεις τὰς ὀχυρὰς καὶ ἐπὶ τὰς γωνίας τὰς ὑψηλάς»

Τότε γὰρ ἀνάγκη τε καὶ θλίψις ἔσται πολλή, καὶ θάνατοι ἄωροι τῶν ἐν νηπίᾳ σφαζομένων τῇ ἡλικίᾳ, ἀφανισμός τε ἀνθρώπων πολύς, ὡς ἐντεῦθεν ἅπαντας δοκεῖν σκότῳ καὶ γνόφῳ ἤ τινι νεφέλῃ περικεχύσθαι καὶ ὁμίχλῃ[4]· ἥ τε γὰρ πολεμικὴ σάλπιγξ καὶ ἡ μετὰ ταύτης φωνὴ τῶν πολεμίων μέγιστον ἠχήσει προσημαίνουσα τῶν τε ἰσχυρῶν πόλεων καὶ τῶν μεγίστων οἰκιῶν τὴν καθαίρεσιν.

---

1. Σοφ. 1,12. **2.** Πρβλ. Σοφ. 1,13. **3.** Πρβλ. Σοφ. 1,14. **4.** Πρβλ. Σοφ. 1,15.

1,17 «Καὶ ἐκθλίψω τοὺς ἀνθρώπους, καὶ πορεύσονται ὡς τυφλοί, ὅτι τῷ Κυρίῳ ἐξήμαρτον· καὶ ἐκχεῶ τὸ αἷμα αὐτῶν ὡς χοῦν καὶ τὰς σάρκας αὐτῶν ὡς βόλβιτα»

Τῇ μὲν γὰρ ὑπερβολῇ τῆς θλίψεως διοίσουσι τυφλῶν οὐδέν, οὐδὲ τὰ πρὸ ποδῶν ὁρᾶν οἷοί τε ὄντες, πείσονται δὲ ἅπαντα συντόμως εἰπεῖν ἐπειδήπερ ἄγαν ἠσέβησαν εἰς Θεόν[1], ὑπὲρ ὧν αἵματός τε ἔκχυσις ὡς ἐκ πολλοῦ γενήσεται φόνου, αἵ τε τῶν ἀποθνησκόντων **289** σάρκες ἀτάφων μενόντων τῶν ἀναιρουμένων, ὡσεὶ κόπρος τις κατὰ παντὸς ῥιφή**[460]**σεται τόπου.

1,18 «Καὶ τὸ ἀργύριον καὶ τὸ χρυσίον αὐτῶν οὐ μὴ δυνηθῇ ἐξελέσθαι αὐτοὺς ἐν ἡμέρᾳ ὀργῆς Κυρίου, καὶ ἐν πυρὶ ζήλου αὐτοῦ καταναλωθήσεται πᾶσα ἡ γῆ, διότι συντέλειαν καὶ σπουδὴν ποιήσει ἐπὶ πάντας τοὺς κατοικοῦντας τὴν γῆν»

Ὄνησις αὐτοῖς οὐδεμία τοῦ πλούτου γενήσεται, ὃν συνήγαγον ἀδίκως, ἐπειδὴ ταῦτα πάντα κατὰ τὸν καιρὸν ἐκεῖνον δευτέρα τῆς ὀργῆς ἔσται τῆς θείας, ἣ πυρὸς δίκην πᾶσαν μὲν καταναλώσει τὴν γῆν[2], πάντας δὲ τοὺς ἐνοικοῦντας αὐτὴν μετὰ πολλοῦ γε ἀπολέσει τοῦ τάχους. Εἶτα μετὰ τὴν μήνυσιν τῶν κακῶν εὐέλπιδας αὐτούς, καθὼς εἴωθεν ὁ Προφήτης, ποιῶν ἐπάγει.

2,1-2 «Συνάχθητε καὶ συνδεήθητε, τὸ ἔθνος τὸ ἀπαίδευτον, πρὸ τοῦ γενέσθαι ὑμᾶς ὡς ἄνθος παραπορευόμενον ἡμέρας, πρὸ τοῦ ἐπελθεῖν ἐφ' ὑμᾶς ὀργὴν θυμοῦ Κυρίου»

Ἀλλὰ γὰρ ἅπαντες ὑμεῖς οἱ μέχρι τοῦ δεῦρο τὴν τῶν προσηκόντων οὐ δεξάμενοι παιδείαν, νῦν γοῦν συνελθόντες κοινὰς τὰς δεήσεις τῷ Θεῷ προσαγάγετε, ὡς ἂν μὴ δίκην ἄνθους ἀθρόον ἀφανισθέντος παντελῆ τὴν ἀπώλειαν ὑπομείνητε, ὁλοτελοῦς ἐφ' ὑμᾶς ἐνεχθείσης τῆς ὀργῆς τῆς θείας.

2,3 «Ζητήσατε τὸν Κύριον, πάντες ταπεινοὶ γῆς»

Καὶ οἱ παρὰ πάντας τοὺς τὴν γῆν οἰκοῦντας ταῖς ἐπενεχθείσαις ὑμῖν συμφοραῖς τεταπεινωμένοι ἐπιμεληθέντες τῆς εὐσεβείας τὸν ἔλεον αἰτήσατε τὸν θεῖον.

---

1. Πρβλ. Σοφ. 1,17. **2.** Πρβλ. Σοφ. 1,18.

2,3 «Κρίμα ἐργάσασθε καὶ ζητήσατε δικαιοσύνην»

Νῦν ὀρθοὶ τοῦ προσήκοντος γενόμενοι κριταὶ καὶ διακρίναντες ἐκ τοῦ χείρονος τὸ κρεῖττον ἐπιμελεῖσθε τοῦ δικαίου.

2,3 «Ζητήσατε πραότητα καὶ ἀποκρίνεσθε αὐτά, ὅπως σκεπασθῆτε ἐν ἡμέρᾳ ὀργῆς Κυρίου»

Ἐπιείκειαν ἕλεσθε καὶ ἀνεξικακίαν ἀνθ' ἧς πρότερον κατὰ τῶν πενεστέρων ἐπετηδεύετε ἀδικίας, καὶ δὴ σύνθεσθε περὶ τὴν τούτων ἔχειν σπουδήν —τοῦτο γὰρ λέγει τό «καὶ ἀποκρίνεσθε αὐτά»[1]—, ὡς **290** ἂν προσγένοιτο ὑμῖν ἐν τῷ καιρῷ τῆς τιμωρίας τυχεῖν τινος παρὰ τοῦ Θεοῦ βοηθείας. Εἶτα λέγει τὰς κατὰ τῶν ἀλλοτρίων τιμωρίας ὑπὲρ τῆς εἰς αὐτοὺς ἀδικίας ἐπάγεσθαι μελλούσας, ὡς ἂν μείζονα τῆς περὶ αὐτοὺς κηδεμονίας τοῦ Θεοῦ ποιήσαιντο τὴν ἀπόδειξιν.

2,4 «Διότι Γάζα διεσπαρμένη ἔσται, καὶ Ἀσκάλων εἰς ἀφανισμόν, καὶ Ἄζωτος μεσημβρίας ἐκριφήσεται, καὶ Ἀκκαρὼν ἐκριζωθήσεται»

Πάντες γὰρ οἱ ἀλλόφυλοι ὑπὲρ ὧν καθ' ὑμῶν πεποιήκασι τιμωρίαν δέξονται οὐ τὴν τυχοῦσαν. Τὸ γάρ «μεσημβρίας»[2] κατὰ κοινοῦ λέγει ἀντὶ τοῦ προδήλως, ὡς μηθένα τὸ γινόμενον λαθεῖν. Ἃ γὰρ περὶ ἑκάστης λέγει τῶν πόλεων, εἴτε Γάζης, εἴτε Ἀσκάλωνος, εἴτε τῶν λοιπῶν, κατὰ κοινοῦ περὶ πασῶν λέγει, διελὼν τῷ λόγῳ καθὼς εἴωθεν· βούλεται γὰρ εἰπεῖν, ὅτι πᾶσαι τῶν ἀλλοφύλων αἱ πόλεις διαρπαγήσονταί τε καὶ ἀφανισθήσονται καὶ τῆς οἰκείας εὐπραγίας ἀποῤῥιφεῖσαι παντελῆ δέξονται τὴν ἀπώλειαν.

2,5-6 «Οὐαὶ οἱ κατοικοῦντες τὸ σχοίνισμα τῆς θαλάσσης, πάροικοι Κρητῶν· λόγος Κυρίου ἐφ' ὑμᾶς, Χαναὰν γῆ ἀλλοφύλων, καὶ ἀπολῶ ὑμᾶς ἐκ κατοικίας· καὶ ἔσται Κρήτη νομὴ ποιμνίων καὶ μάνδρα προβάτων»

Ἐπειδὴ παραλίους εἶναι τὰς πόλεις συνέβαινεν «σχοίνισμα θαλάσσης»[3] αὐτὰς κέ[**461**]κληκεν, ὡς ὁ μακάριος λέγει Δαβίδ· λέ-

---

1. Σοφ. 2,3. **2.** Σοφ. 2,4. **3.** Σοφ. 2,5.

γων «Σοὶ δώσω τὴν γῆν Χαναὰν σχοίνισμα κληρονομίας ὑμῶν»[1], ἵνα εἴπῃ, ὅτι εἰς κτῆσιν ὑμῖν ἀφοριῶ τὴν Χαναναίων γῆν, ἐκ μεταφορᾶς τῶν σχοίνῳ μετρούντων τε καὶ διοριζόντων τὴν γῆν. Οὕτως οὖν λέγει «τὸ σχοίνισμα τῆς θαλάσσης», ἀντὶ τοῦ, οἱ τὴν παραθαλάττιον οἰκοῦντες μερίδα· τὸ δέ «πάροικοι Κρητῶν»[2] λέγει, ἐπειδή τινες ἐκ Κρήτης κατ' ἐμπορίαν αὐτόθι παραγεγονότες ὡς εἰς παραθαλασσίους πόλεις οἰκεῖν εἵλοντο παρ' αὐτοῖς, ὡς καὶ παρὰ τῷ 'Αμὼς λέγει· «κατακόψω φυλὴν ἐξ ἀνδρῶν Χαῤῥάν»[3], περὶ τῶν ἐκεῖθεν τῇ Δαμασκῷ παροικούντων λέγων. Οὕτως γὰρ καὶ ἐνταῦθα «παροίκους Κρητῶν» καλεῖ, ἵνα εἴπῃ τοὺς παρ' αὐτοῖς οἰκοῦντας **291** Κρητῶν. Βούλεται οὖν εἰπεῖν, ὅτι ἀθλιώτατοι πάντων πάντες ὑμεῖς οἱ τὴν παραθαλάττιον οἰκοῦντες μερίδα μετὰ καὶ τῶν παροικούντων ὑμῖν Κρητῶν· ἀποπέφανται γὰρ κατὰ πάντων ὑμῶν ὁ Θεὸς τῶν οἰκούντων τὴν Χαναναίαν ἀλλοφύλων, ὅτι ὑμᾶς τε ἀπολέσει παντελῶς καὶ τὴν ἐκ τῶν Κρητῶν παρ' ὑμῖν οἰκουμένην χώραν νομή τε ποιμνίων καὶ οἴκησις προβάτων[4] διὰ τῆς ἐρημίας παραδώσει τῆς πολλῆς.

2,7 «Καὶ ἔσται τὸ σχοίνισμα τῆς θαλάσσης τοῖς καταλοίποις οἴκου 'Ιούδα· ἐπ' αὐτοὺς νεμήσονται ἐν τοῖς οἴκοις 'Ασκάλωνος, δείλης καταλύσουσιν ἀπὸ προσώπου τῶν υἱῶν 'Ιούδα, ὅτι ἐπέσκεπται αὐτοὺς Κύριος ὁ Θεὸς αὐτῶν, καὶ ἀπέστρεψε τὴν αἰχμαλωσίαν αὐτῶν»

Οἱ γὰρ περισῳζόμενοι, φησίν, ἐκ τῆς τοῦ 'Ιούδα φυλῆς πάσης δὴ τῆς παραθαλαττίου καθέξουσι μερίδος, καὶ πᾶσαν αὐτὴν ὡς οἰκείαν νεμήσονται χώραν, ὥστε τοὺς τῆς 'Ασκάλωνος — βούλεται δὲ ἐκ μιᾶς τὰς ὅλας τῶν ἀλλοφύλων πόλεις εἰπεῖν, καθὼς εἴωθεν, ἀπὸ μέρους τὸ ὅλον καλῶν — ὑφορωμένους τῶν υἱῶν 'Ιούδα τὴν ἰσχύν, μετὰ πολλοῦ τοῦ δέους ἐν τοῖς οἰκείοις διάγειν· τὸ γάρ «δείλης καταλύσουσι»[5] τοῦτο λέγει· ἐπειδὴ γὰρ τό «μεσημβρίας»[6] εἴληφεν ἐπὶ τοῦ προφανῶς, τό «δείλης» ἔλαβεν ἐπὶ τοῦ δέους, ὡς τῶν λανθανόντων φευγόντων μὲν τὸν ἡμερινὸν καιρὸν ἐπὶ δὲ τὸν ἑσπέριον κατατρέχειν εἰωθότων ἐλπίδι τοῦ λαθεῖν.

1. Ψαλ. 104,11. **2.** Σοφ. 2,5. **3.** 'Αμ. 1,5. **4.** Πρβλ. Σοφ. 2,6. **5.** Σοφ. 2,7. **6.** Σοφ. 2,4.

Ταῦτα δέ, φησίν, ἔσται, ἐπειδὰν ἐπισκεψάμενος ὁ Θεὸς τοὺς τῆς Ἰούδα φυλῆς ἀπαλλάξειέ τε αὐτοὺς τῆς αἰχμαλωσίας καὶ πρὸς τὰ οἰκεῖα πάλιν μετὰ τῆς ἰδίας ἐπαναγάγοι βοηθείας. Εἶτα ἀπὸ τῶν ἀλλοφύλων ἐφ' ἑτέρους μετάγων τὸν λόγον.

2,8-9 «Ἤκουσα ὀνειδισμοὺς Μωὰβ καὶ κονδυλισμοὺς υἱῶν Ἀμμών, ἐν οἷς ὠνείδιζον τὸν λαόν μου καὶ ἐμεγαλύνοντο ἐπὶ τὰ ὅρια αὐτοῦ. Διὰ τοῦτο ζῶ ἐγώ, λέγει Κύριος τῶν δυνάμεων ὁ Θεὸς Ἰσραήλ, ὅτι Μωὰβ ὡς Σόδομα ἔσται καὶ οἱ υἱοὶ Ἀμμὼν ὡς Γόμοῤῥα»

292 Καὶ τὰ παρὰ Μωαβιτῶν δὲ καὶ Ἀμμανιτῶν εἰς τοὺς ἐμοὺς γινόμενα ἑώρων, ἅτε ἔλεγον αὐτοῖς ὀνειδίζοντες, ὡς οὐδὲν ἐκ τῆς ἐμῆς ὠφελουμένοις θεραπείας, ὅσα τε αὐτοῖς κατὰ τὴν δύναμιν τὴν οἰκείαν ἐπῆγον κακά, ὥστε καὶ μεθ' ὑπερβαλλούσης τῆς μεγαλαυχίας τῶν ὁρίων ἐφάπτεσθαι τῶν ἐμῶν, ὡς ἂν αὐτοῖς προσήκειν ὀφειλόντων λοιπόν. Ὑπὲρ ὧν δὴ Σοδόμων τε καὶ Γομόῤῥων μιμήσονται τὴν ἐρημίαν.

2,9 «Καὶ Δαμασκὸς ἐκλελικμημένη ὡς θημωνιὰ ἅλωνος καὶ ἠφανισμένη εἰς τὸν αἰῶνα· καὶ οἱ κατάλοιποι λαοῦ μου διαρπῶνται αὐτούς, καὶ οἱ κατάλοιποι ἔθνους μου κληρονομήσουσιν αὐτούς»

[464] Καὶ ἡ Δαμασκὸς δέ, φησίν, ὡς ἂν θημωνία ἐν ἅλωνι[1] συντριβεῖσά τε καὶ πατηθεῖσα ἀφανισθείη, οὕτως ἀφανὴς γενήσεται ἐξ ὄγκου μεγίστου καὶ ὑπερηφανίας πολλῆς εἰς ταπεινότητα καταχθεῖσα μεγίστην, ὥστε τοὺς ὑπολιμπανομένους τῶν ἐμῶν καὶ τῆς ἐπανόδου τυχόντας, ἐν διαρπαγῇ τε ποιήσασθαι πάντας αὐτοὺς καὶ κτῆσιν ἰδίαν σχεῖν τὰ ἐκείνων.

2,10 «Αὕτη αὐτοῖς ἀντὶ τῆς ὕβρεως αὐτῶν, διότι ὠνείδισαν καὶ ἐμεγαλύνθησαν ἐπὶ τὸν λαὸν Κυρίου Παντοκράτορος»

Ταῦτα γάρ, φησίν, πείσονται ὑπὲρ ὧν ἐτόλμησαν εἰς Θεὸν ἐξυβρίζειν ὀνειδίζοντες τοῖς ἐμοῖς ἐπ' ἐμοί, κατεπαιρόμενοι αὐτῶν ὡς ἂν ἐν συμφοραῖς ὄντων ἐσχάταις.

---

1. Πρβλ. Σοφ. 2,9.



2,11 «Ἐπιφανὴς ἔσται Κύριος ἐπ' αὐτοὺς καὶ ἐξολοθρεύσει πάντας τοὺς θεοὺς τῶν ἐθνῶν τῆς γῆς, καὶ προσκυνήσουσιν αὐτῷ ἕκαστος ἐκ τοῦ τόπου αὐτοῦ, πᾶσαι αἱ νῆσοι τῶν ἐθνῶν»

Περιφανῆ τοίνυν ποιήσεται τὴν οἰκείαν ἐκδικίαν ὁ Θεός, ὥστε πάντας τοὺς ἀλλοτρίους μετὰ τῶν παρ' αὐτοῖς θρησκευομένων ἀπολέσαι θεῶν[1], ἅπαντάς τε τοὺς πανταχοῦ λοιπὸν ἀνθρώπους, εἴτε ἐν πόλεσιν εἴτε ἐν νήσοις πολλὴν ἐπὶ τοῖς παρὰ τοῦ Θεοῦ γινομένοις τὴν ἔκπληξιν λαβόντας, κοινὴν αὐτῷ τὴν προσκύνησιν ἀποδι**293**δόναι ἐν τοῖς ἰδίοις ἑκάστου τόποις ὁμολογοῦντος τῆς δυνάμεως αὐτοῦ τὴν ὑπερβολήν.

2,12 «Καὶ ὑμεῖς, Αἰθίοπες, τραυματίαι ῥομφαίας μού ἐστε»

Καὶ αὐτοὶ δὲ ξίφει διὰ τῶν ἐμῶν τιμωρηθήσεσθε, ὑπὲρ ὧν πεπλημμελήκατε εἰς αὐτούς. «Αἰθίοπας»[2] δὲ καὶ νῦν τοὺς πλησιάζοντας Αἰγύπτῳ λέγει. Ταυτὶ μὲν οὖν καθ' ὁμοιότητα τοῦ μακαρίου Ἀμὼς τοῦ προφήτου φησίν, ὃς τά τε τῷ Ἰσραὴλ τά τε τῇ Ἰερουσαλὴμ συμβησόμενα λέγων[3] μέμνηται καὶ τῶν ἀλλοτρίων, ὁπόσα πείσονται καὶ αὐτοί, Δαμασκηνοί τε λέγω καὶ Τύριοι, Ἰδουμαῖοι καὶ Ἀμμανῖται[4] καὶ πάντες δὲ ὁπόσων πεποίηται μνήμην. Τὸν αὐτὸν γὰρ δὴ τρόπον καὶ ὁ μακάριος Σοφονίας τὰ περὶ τὴν Ἰερουσαλὴμ ἐσόμενα παρὰ τῶν Βαβυλωνίων ἐν τούτοις λέγων μέμνηται καὶ τῶν ὅσα τοῖς ἀλλοτρίοις κατ' ἐκεῖνον συμβαίνειν ἤμελλε τὸν καιρόν, ὅθεν δὴ μετὰ τὰ προῤῥηθέντα ἐπὶ τοὺς Ἀσσυρίους τε καὶ τὴν Νινευὴ μετάγει τὸν λόγον, ἐπειδὴ τότε Βαβυλώνιοι καὶ τὴν Ἀσσυρίων καθεῖλον ἀρχήν, τὴν βασιλεύουσαν ἐν αὐτοῖς πόλιν τὴν Νινευὴ λέγω, ἐκπορθήσαντές τε καὶ ἐρημίᾳ παντελεῖ παραδόντες. Ὅθεν ἐπάγει.

2,13-14 «Καὶ ἐκτενεῖ τὴν χεῖρα αὐτοῦ ἐπὶ βοῤῥᾶν καὶ ἀπολεῖ τὸν Ἀσσύριον καὶ θήσει τὴν Νινευὴ εἰς ἀφανισμὸν ἄνυδρον ὡς ἔρημον· καὶ νεμήσεται ἐν μέσῳ αὐτῆς ποίμνια καὶ πάντα τὰ θηρία τῆς γῆς, καὶ χαμαιλέοντες καὶ ἐχῖνοι ἐν τοῖς φατνώμασιν αὐτῆς

1. Πρβλ. Σοφ. 2,11. **2.** Σοφ. 2,12. **3.** Πρβλ. Ἀμ. 2,5. **4.** Πρβλ. Ἀμ. 1,3-5. 9-15.

κοιτασθήσονται, καὶ θηρία φωνήσει ἐν τοῖς διορύγμασιν αὐτῆς καὶ κόρακες ἐν τοῖς πυλῶσιν αὐτῆς, διότι κέρδος τὸ ἀνάστημα αὐτῆς»

Καὶ γὰρ καὶ παρὰ τῶν Ἀσσυρίων τότε δὴ λήψομαι δίκας μετὰ τοιαύτης γνώμης ἐπελθεῖν ἐπιχειρησάντων τῇ Ἰερουσαλήμ· ἀφανιῶ γὰρ αὐτῶν καὶ Νινευὴ τὴν βασιλίδα πόλιν, ὥστε γενέσθαι μὲν αὐτὴν ἔρημον παντελῶς, ἐν μέσῳ δὲ αὐτῆς ποίμνιά τε νέμεσθαι **[465]** καὶ θηρία διάγειν καὶ τὰ λοιπὰ δὴ ζῶα[1], ὁπόσα ἐν τοῖς ἐρημοτάτοις ἐμφωλεύειν **294** εἴωθε τόποις. Ταύτην γὰρ δώσει δίκην δικαίαν, ὑπὲρ ὧν μέγα κατὰ πασῶν ἐφρόνει τῶν πόλεων ὡσανεὶ κέδρου δίκην πρὸς τὰ λοιπὰ κρινομένης φυτὰ ὑπερφέρουσα τῶν ἁπάντων.

2,15 «Αὕτη ἡ πόλις ἡ φαυλίστρια, ἡ κατοικοῦσα ἐπ' ἐλπίδι, ἡ λέγουσα ἐν καρδίᾳ αὐτῆς Ἐγώ εἰμι, καὶ οὐκ ἔστι μετ' ἐμὲ ἔτι»

Εὔδηλον δέ, ὅτι ἐκ τῆς πόλεως τῶν ἐνοικούντων τὸ φρόνημα λέγει· οὐ γὰρ δὴ περὶ τῶν ἀψύχων λίθων ταῦτά φησιν. Αὕτη τοίνυν, φησίν, ἐστὶν ἡ φαυλίστρια, ἀντὶ τοῦ, ἡ πάντα μὲν ἐκφαυλίζουσα καὶ μηθὲν εἶναι τοὺς λοιποὺς ἡγουμένη πρὸς ἑαυτήν, ἀρκεῖν δὲ ἑαυτῇ πρὸς ἅπαντα ὑπειληφυῖα. Τοῦτο γάρ ἐστι τό, «κατοικοῦσα ἐπ' ἐλπίδι»[2], ἀντὶ τοῦ, ἐλπίδα περὶ ἑαυτῆς ἔχουσα, ὡς οὐδὲν οὐδέποτε πεισομένη παρ' ἑτέρου κακόν. Διακειμένη τε, φησίν, ὡς μόνη τε οὖσα καὶ οὐδὲ ἐν τῷ εἶναι κρίνεσθαι ἀξίων οὐσῶν τῶν λοιπῶν πόλεων πρὸς αὐτήν. Εἶτα ὀνειδιστικῶς ταῦτα εἰπὼν καὶ τὴν κατὰ πάντων ὀνειδίσας ὑπεροψίαν αὐτῇ, κάλλιστα ἐπάγει.

2,15 «Πῶς ἐγένετο εἰς ἀφανισμόν, νομὴ θηρίων· πᾶς ὁ παραπορευόμενος αὐτῆς συριεῖ καὶ κινήσει τὰς χεῖρας αὐτοῦ»

Ἀλλὰ γὰρ οἵαν ὑπομεμένηκας τὴν μεταβολήν, ὅπως δὲ εἰς ἐρημίαν καταστὰς νομὴ γέγονας θηρίων[3]; ὥστε ἅπαντας τοὺς παριόντας συρίττειν τε ἐπὶ σοὶ καὶ κινεῖν τὰς χεῖρας, θαυμάζοντάς σου τὴν τοσαύτην μεταβολήν; καὶ τί λέγειν;

---

1. Πρβλ. Σοφ. 2,13-14. **2.** Σοφ. 2,15. **3.** Ἔνθ' ἄν.

3,1-2 «Ὦ ἡ ἐπιφανὴς καὶ λελυτρωμένη, πόλις ἡ περιστερά· οὐκ εἰσήκουσε φωνῆς οὐδὲ ἐδέξατο παιδείαν, ἐπὶ τῷ Κυρίῳ οὐκ ἐπεποίθει καὶ πρὸς τὸν Θεὸν αὐτῆς οὐκ ἤγγισεν»

Ταῦτα, φησίν, ἐροῦσιν ἅπαντες, ὁπόση τις ἦν ἡ ταύτης περιφάνεια, ὅπως ἁπάντων ἐκεχώριστο τῶν κακῶν — τοῦτο γὰρ λέγει «λελυτρωμένη»[1] — ὁπόση τις αὐτῆς ἦν ἡ εὐπρέπεια. Τὴν γὰρ περιστερὰν τοῦτό φησιν, ἐπειδή πως τερπνὸν ἐν ὀρνέοις εἶναι δοκεῖ τὸ ζῶον **295** καὶ σοβαρῶς βαδίζον. Οὕτω καὶ ὁ μακάριος λέγει Δαβίδ, «ἐὰν κοιμηθῆτε ἀνὰ μέσον τῶν κλήρων, ἐκεῖ πτέρυγες περιστερᾶς περιηργυρωμέναι, καὶ τὰ μετάφρενα αὐτῆς ἐν χλωρότητι χρυσίου»[2]. Ἀπολαβόντας τὴν γῆν τῆς ἐπαγγελίας ἁπάντων φανεῖσθαι τοὺς Ἰσραηλίτας τερπνοτέρους λέγων τῇ τῆς περιστερᾶς ὁμοιώσει. Οὕτως κἀνταῦθα εἰπεῖν ἠβουλήθη ἀντὶ τοῦ, ἡ ὡραία, ἡ ἐπιτερπής, ὡς καὶ ὁ μακάριος Ναοὺμ ὀνειδίζων αὐτῇ λέγει τό «πόρνη καλὴ καὶ ἐπίχαρις»[3]. Τοιαύτη, φησίν, οὖσα τῆς τοῦ πεμφθέντος πρὸς αὐτὴν Προφήτου φωνῆς οὐκ εἰς τέλος ἤκουσεν, οὐδὲ παντελῆ τὴν ἐκεῖθεν ἐδέξατο διδασκαλίαν πρὸς μικρὸν δὲ μεταβάλλεσθαι δοκοῦσα αὖθις ἐπὶ τὴν ἑαυτῆς ἀνέδραμε κακίαν, οὐδὲ γοῦν λόγον τινὰ τοῦ τὸν Προφήτην ἀποστείλαντος ἐποιήσατο Θεοῦ, οὐδὲ ἐδοκίμασεν αὐτῷ λοιπὸν προσανέχειν, τοιαύτην εἰληφυῖα πεῖραν. Τοὐναντίον μὲν οὖν ἀπέστη τε αὐτοῦ παντελῶς καὶ πρὸς πόλεμον αὐτοῦ κατέστη μετὰ τὴν τῶν δέκα φυλῶν ἀναίρεσιν ἐπεληλυθυῖα τῇ Ἰερουσαλήμ, ἐν ᾗπερ εἶναι τοῦ Θεοῦ συνέβαινε τὸν ναόν. Ἐνταῦθα πάλιν οἱ θαυμαστοὶ μυθολόγοι τῶν Σύρων, **[468]** «Ἰωνᾶ», φασίν, λέγεται κατὰ τὴν Σύρων γλῶτταν ἡ περιστερά· ὁ μὲν οὖν προφήτης, Ἰωνᾶ τοῦ προφήτου πόλιν αὐτὴν βούλεται λέγειν διὰ τὸ αὐτόθι κηρύξαι, ὁ ἑρμηνεύσας δὲ περιστερὰν αὐτὴν εἶπε διασφαλείς. Περὶ μὲν οὖν τοῦ μὴ τοὺς ἑβδομήκοντα ἐσφάλθαι, τὸν δὲ εἰς τὴν Σύρων γλῶτταν ἡρμηνευκότα τὴν Γραφὴν πολλῷ δικαιότερον ἂν νομισθῆναι τοῦτο πεπονθέναι, εἴρηται πρόσθεν ἡμῖν ἀρκούντως· ἐκεῖνο δὲ οἱ θαυμαστοὶ μυθολόγοι πῶς οὐ συνεῖδον, ὅτι ὀνειδίζων τῇ πόλει λέγει, «Ὦ ἡ ἐπιφανὴς καὶ λελυτρωμένη

1. Σοφ. 3,1. 2. Ψαλ. 67,14. 3. Ναοὺμ 3,4.

πόλις ἡ περιστερά;»[1] Τοιαῦτα γὰρ καὶ τὰ ἑξῆς. Οἷόν ἐστι καὶ παρὰ τῷ Ναοὺμ τό «πόρνη καλὴ καὶ ἐπίχαρις»[2]. Ὁμοίως γὰρ αὐτῇ κἀνταῦθα ὀνειδίζει ἐφ' ᾗ πρόσθεν ἐσεμνύνετο εὐπρεπείᾳ. Ἰωνᾶ δὲ πόλιν αὐτὴν τοῦ Προφήτου διὰ τὸ ἐξ ἐκείνου σεσῶσθαι οὐκ ἄν ποτε ὀνειδίζων ἔφη. Ἀλλ' οἱ μὲν οὐ νενοηκότες τὸ εἰρημένον ἐπὶ Συριακούς τε καὶ γραώδεις ἐτράποντο μύθους. Ὁ δὲ Προφήτης ἀκολούθως καὶ **296** τὰ ἑξῆς ἐπάγει, τὴν παλαιὰν εὐπραγίαν αὐτῆς εἰρωνικῶς τε ἅμα λέγων καὶ ὀνειδιστικῶς.

3,3 «Οἱ ἄρχοντες αὐτῆς ἐν αὐτῇ ὡς λέοντες ὠρυόμενοι»

Οὕτω δυνατοὶ καὶ κατὰ πάντων θρασυνόμενοι.

3,3 «Οἱ κριταὶ αὐτῆς ὡς λύκοι τῆς Ἀραβίας, οὐχ ὑπελίποντο εἰς τὸ πρωΐ»

Ὀξεῖς περὶ τὸ πέρας ἐπιτιθέναι τοῖς πράγμασιν, ὥστε αὐθημερὸν ἅπαντα τέμνειν καὶ μηδὲν ἀτελὲς εἰς τὴν ἑξῆς ἀφιέναι.

3,4 «Οἱ προφῆται αὐτῆς πνευματοφόροι, ἄνδρες καταφρονηταί»

Καὶ οἱ ἐν αὐτῇ δέ, φησίν, μαντεύεσθαι ἐπαγγελλόμενοι μετὰ πολλῆς ὑπεροψίας τὰ δοκοῦντα ἐφθέγγοντο.

3,4 «Οἱ ἱερεῖς αὐτῆς βεβηλοῦσι τὰ ἅγια καὶ ἀσεβοῦσιν εἰς τὸν νόμον»

Καὶ οἱ δοκοῦντες δὲ παρ' αὐτοῖς ἱερατεύειν εἴς τε τὸν νόμον τὸν ἐμὸν εἴς τε τὸν ναὸν ἠσέβουν, διεγείρειν ἐπὶ ταῦτα τοὺς πειθομένους αὐτοῖς πᾶσαν ἔχοντες τὴν σπουδήν. Οἷς ἀκολούθως ἐπήγαγεν.

3,5 «Ὁ δὲ Κύριος δίκαιος ἐν μέσῳ αὐτῶν καὶ οὐ μὴ ποιήσῃ ἄδικον· πρωῒ πρωῒ δώσει κρίμα αὐτοῦ εἰς φῶς»

Ἀλλὰ γὰρ οὐθὲν ὄφελος αὐτοῖς γέγονε τῆς παρανομίας ἐκείνης, καὶ γὰρ καὶ ἀκόντων αὐτῶν ἐν μέσῳ Θεὸς ὑπῆρχεν, εἰ καὶ μη-

---

1. Σοφ. 3,1. 2. Ναοὺμ 3,4.

δένα λόγον αὐτοῦ ποιεῖσθαι ἐβούλοντο, ὃς πολλὴν ἔχων τοῦ δικαίου φροντίδα οὐδὲ νῦν ἀνέξεται τῆς παρὰ τούτων ἐπιτελουμένης ἀδικίας ἐπὶ πολὺ κρατούσης, ἄδικον δὲ ἡγησάμενος τὸ ἀτιμωρήτους ἀφεῖναι τοιούτους ὄντας, ὀξεῖαν κρίσιν τῶν κατ' αὐτοὺς ποιήσεται καὶ πρόδηλον αὐτοῖς ἐπάξει τὴν ὑπὲρ τῶν ἐπταισμένων τιμωρίαν. Τὸ γάρ «πρωῒ πρωΐ»[1] τὴν ἄγαν ταχύτητα λέγει. Εἶτα τίνα τὰ ἐκ τούτου γινόμενα λέγων.

3,6 «Ἐν διαφθορᾷ κατέσπασα ὑπερηφάνους, ἠφανίσθησαν γωνίαι αὐτῶν· ἐξερημώσω τὰς ὁδοὺς αὐτῶν τὸ παράπαν τοῦ μὴ διοδεύεσθαι· ἐξέλιπον αἱ πόλεις αὐτῶν παρὰ τὸ μηδένα ὑπάρχειν μηδὲ κατοικεῖν»

Διαφθορᾷ μὲν γὰρ αὐτοὺς διὰ τὴν ὑπερηφανίαν αὐτῶν παραδέδωκα, **297** ἀφανιῶ δὲ πάσας αὐτῶν τὰς πόλεις εἰς τοσαύτην τε ἐρημίαν ἄξω τὰ παρ' αὐτοῖς, ὥστε καὶ τὰς ὁδοὺς λοιπὸν ἀδήλους εἶναι ἐρημίᾳ τῶν διοδευόντων, ἧπερ οὖν παραδώσω καὶ τὰς πόλεις αὐτῶν ἁπάσας, ὥστε μηθένα οἰκοῦντα εὑρίσκεσθαι ἐν αὐταῖς[2]. Ἀλλὰ γὰρ δηλώσας ἐν τού**[469]**τοις καὶ τῆς Νινευὴ τὴν ἐρημίαν τῆς τε τῶν Ἀσσυρίων ἀρχῆς τὴν καθαίρεσιν, τρέπει πρὸς τοὺς τῆς Ἰουδαίας τὸν λόγον καί φησιν.

3,7 «Εἶπον Πλὴν φοβεῖσθέ με καὶ δέξασθε παιδείαν, καὶ οὐ μὴ ἐξολοθρευθῆτε ἐξ ὀφθαλμῶν αὐτῆς διὰ πάντα ὅσα ἐξεδίκησα ἐπ' αὐτήν»

Ἤδη μὲν οὖν προλαβὼν διεμαρτυράμην ὑμῖν διὰ τῶν Προφητῶν, ὥστε ἐν φόβῳ μὲν ἔχειν ἐμέ, ἅτε ῥᾳδίως ὑμᾶς εἰ πταίοιτε, καὶ τιμωρεῖσθαι δυνάμενον, δέξασθαι δὲ τὴν προσαγομένην ὑμῖν διδασκαλίαν[3]. Ἐπαγγειλάμενος οὔτε ἀφανίζειν ὑμᾶς, εἰ ταῦτα ποιοῖτε, τῆς προσόψεως τῆς ἐμῆς ἀφαιρεθέντας τῶν τόπων, ἐν οἷσπερ διατέτακται τῆς θεραπείας ὑμᾶς ἐπιμελεῖσθαι τῆς ἐμῆς, οὔτε τι διαπράξασθαι τούτων, ἃ νῦν ἐπήγαγον ὑμῖν εἰς ἐκδικίαν, ὧν πεπλημμελήκατε πολλάκις.

---

1. Σοφ. 3,5. **2.** Πρβλ. Σοφ. 3,6. **3.** Πρβλ. Σοφ. 3,7.

3,7 «Ἑτοιμάζου ὄρθρισον, διέφθαρται πᾶσα ἡ ἐπιφυλλὶς αὐτῶν»

Ἀλλ᾽ ἐπειδὴ τότε τὸ δέον παρελίπετε καὶ πεπόνθατε τοιαῦτα, νῦν γοῦν ἑαυτοὺς παρασκευάσατε εἰς τὸ μετὰ πάσης ἐπιμελείας τε καὶ σπουδῆς τῶν παρ᾽ ἐμοῦ διατεταγμένων ἀντέχεσθαι, ἅτε καὶ τῆς κηδεμονίας μου τῆς περὶ ὑμᾶς ἀπόδειξιν ἔχοντες τὸ πᾶσαν παντελῶς ἀφαιρεθῆναι τὴν δύναμιν τῶν ὑμετέρων ἐχθρῶν.

3,8 «Διὰ τοῦτο ὑπόμεινόν με, λέγει Κύριος, εἰς ἡμέραν ἀναστάσεώς μου εἰς μαρτύριον»

Καὶ διατελεῖτε δὴ πρὸς ἐμὲ ἀφορῶντες καὶ τὴν παρ᾽ ἐμοῦ βοήθειαν ἀναμένοντες, ἣν κατὰ καιρὸν ὑμῖν παρέξω, ὡς ἐκ νεκρῶν ὑμᾶς ἀνιστῶν καὶ ἀπαλλάττων μὲν τῆς αἰχμαλωσίας, ἐπανάγων δὲ πάντας ὑμᾶς ἐπὶ τὰ οἰκεῖα. Ταῦτα γὰρ πάλαι τε διὰ τῶν Προφητῶν καὶ νῦν ὑμῖν ἐπήγγελμαι παρέξειν, ὡς ἂν μαρτυρίαν τῆς ἀληθείας τῶν **298** παρ᾽ ἐμοῦ προηγορευμένων ἔχοιτε τῶν γινομένων τὴν ἔκβασιν.

3,8 «Διότι τὸ κρίμα μου εἰς συναγωγὰς ἐθνῶν τοῦ εἰσδέξασθαι βασιλεῖς τοῦ ἐκχέαι ἐπ᾽ αὐτοὺς τὴν ὀργήν μου, πᾶσαν ὀργὴν θυμοῦ μου· διότι ἐν πυρὶ ζήλου μου καταναλωθήσεται πᾶσα ἡ γῆ»

Τότε γὰρ δὴ μάλιστα σαφῆ τὴν κρίσιν ἐπιδείξομαι τὴν ἐμήν, ἣν ὑπὲρ ὑμῶν ποιήσομαι τοὺς πανταχόθεν ἀθροιζομένους τῶν ἐθνῶν ὑπὸ τιμωρίαν ἄγων. Πολλοὺς γὰρ δὴ βασιλέας τε καὶ σατράπας σὺν τοῖς οἰκείοις στρατοπέδοις ἐπὶ τὴν Ἱερουσαλὴμ χωροῦντας εἰσδέξομαι, τουτέστιν ἐλθεῖν ἐάσω, ὥστε σαφῆ μέν μου τὴν κηδεμονίαν, τὴν περὶ ὑμᾶς ἐξ αὐτῶν ποιῆσαι τῶν πραγμάτων, πολλὴν δέ τινα τὴν ἐπ᾽ αὐτοὺς ὀργὴν ἐκχέαι, πᾶσάν τε αὐτὴν κατ᾽ αὐτῶν κινῆσαι, ἐπειδὴ ὡσανεὶ διὰ πυρὸς ἀναλώσω πάντας αὐτοὺς ζήλῳ τινὶ λαμβανόμενος[1], ὅτι κατὰ τῶν οἰκείων τῶν ἐμῶν τετολμήκασι τοσοῦτον. Λέγει δὲ τῶν περὶ τὸν Γὼγ ἕνεκεν, οὓς μετὰ τὴν ἐπάνοδον ἐπεληλυθότας αὐτοῖς ἀναριθμήτους ὄντας ἀπώλεσεν ἅπαντας.

1. Πρβλ. Σοφ. 3,8.

3,9 «Ὅτι τότε μεταστρέψω ἐπὶ λαοὺς γλῶσσαν εἰς γενεὰς αὐτῶν τοῦ ἐπικαλεῖσθαι πάντας τὸ ὄνομα Κυρίου τοῦ δουλεύειν αὐτῷ ὑπὸ ζυγὸν ἕνα»

Θαῦμα γοῦν κοινὸν ἅπαντας λήψεται τοὺς πανταχοῦ τῶν ἀνθρώπων ἐπὶ τῇ καινότητι τῶν γινομένων, ὥστε ὡσανεὶ μιᾷ γλώττῃ κεχρημένους τοὺς ἐν διαφόροις τε καθεστῶτας τόποις καὶ εἰς διάφορα συντελοῦντας ἔθνη, συμφώνως Θεόν τε ὁμολογεῖν τὸν τῶν Ἰσραηλιτῶν Θεόν, καὶ ὥσπερ ὑφ' ἑνὶ ζυγῷ πάντας καταστάντας μακαριστὴν ἡγεῖσθαι τὴν ὑπ' αὐτῷ δουλείαν[1], **[472]** ἀφ' ὧν αὐτοί γε ἀξιοῦσθαι μέλλετε παρ' ἐμοῦ.

3,10 «Ἐκ περάτων ποταμῶν Αἰθιοπίας προσδέξομαι τοὺς ἱκετεύοντας μετὰ τῶν διεσπαρμένων οἴσουσι θυσίας μοι»


Ἐλεύσονται γοῦν τῇ δουλείᾳ προστρέχοντες τῇ ἐμῇ ἀπὸ τῶν Αἰθιοπίας μερῶν, οἳ μεθ' ὑμῶν δὴ τῶν νῦν μὲν διεσπαρμένων ἐν τῇ αἰχμαλωσίᾳ ἐπανεληλυθότων δὲ τότε, κοινάς μοι προσάξουσι τὰς θυσίας.

3,11 «Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ οὐ μὴ καταισχυνθῇς ἐκ πάντων τῶν ἐπιτηδευμάτων σου, ὧν ἠσέβησας εἰς ἐμέ· ὅτι τότε περιελῶ ἀπὸ σοῦ τὰ φαυλίσματα τῆς ὕβρεώς σου, καὶ οὐκέτι οὐ μὴ προσθῇς τοῦ μεγαλαυχῆσαι ἐπὶ τὸ ὄρος τὸ ἅγιόν μου»

299 Κατ' ἐκεῖνον δὴ τὸν καιρὸν οὐχ ὑπομενεῖς οὐθὲν τῶν ὅσα διὰ τὰς ἀσεβείας σου πάσχουσα νῦν αἰσχύνῃ περιβέβλησαι πλείστῃ· πάντα γὰρ ὅσα πεποιήκατε ἐκφαυλίζοντές τε τὰ ἐμὰ καὶ παντοίας ὕβρεώς μοι διὰ τῆς περὶ τὰ εἴδωλα θεραπείας γινόμενοι πρόξενοι, περιελῶ δὴ ἐξ ἁπάντων ὑμῶν, ἅτε καὶ τὰς ἐπὶ τούτοις ἐπαχθείσας ὑμῖν τιμωρίας ἀφαιρῶν, ὡς μηκέτι μηδὲ ὑμᾶς ἐν τῷ ὄρει τῷ πρὸς θεραπείαν ἐμὴν καθεστῶτι μετὰ ὑπερηφανίας διάγειν τοσαύτης[2] ἀμελοῦντας μὲν τῶν κατ' ἐμέ, θεραπείαν δὲ πᾶσαν προσάγοντας τοῖς εἰδώλοις.

---

1. Πρβλ. Σοφ. 3,9. **2.** Πρβλ. Σοφ. 3,11.



3,12 «Καὶ ὑπολείψομαι ἐν σοὶ λαὸν πρᾶον καὶ ταπεινόν»

Ἐπανάξω γὰρ ὑμᾶς πεπαιδευμένους ἐκ τῆς αἰχμαλωσίας, ὥστε πραότητι καὶ ταπεινότητι συζῶντας δι' εὐλαβείας ἔχειν τὰ ἐμά. Ὅθεν ἐπάγει.

3,12-13 «Καὶ εὐλαβηθήσονται ἀπὸ τοῦ ὀνόματος Κυρίου οἱ κατάλοιποι τοῦ Ἰσραήλ, καὶ οὐ ποιήσουσιν ἀδικίαν καὶ οὐ λαλήσουσι μάταια, καὶ οὐ μὴ εὑρεθῇ ἐν τῷ στόματι αὐτῶν γλῶσσα δολία, διότι αὐτοὶ νεμήσονται, καὶ οὐκ ἔσται ὁ ἐκφοβῶν αὐτούς»

Διαμενεῖτε γὰρ οἱ ἐπανεληλυθότες ἐκ τῆς αἰχμαλωσίας ἐν φόβῳ μὲν ἔχοντες τὴν ἐμὴν ὀνομασίαν, ἀδικίας δὲ ἀπεχόμενοι πάσης καὶ τῶν ἀτοπιῶν καθαρεύοντες, ἃς δὴ μετῄειτε πρότερον, φυλάξεσθε δὲ τότε καὶ τὸ δολερᾷ τῇ διανοίᾳ προσποιεῖσθαι μὲν τὴν ἐμὴν θεραπείαν, προσκεῖσθαι δὲ τοῖς εἰδώλοις. Ἐντεῦθεν γοῦν ὑμῖν προσέσται καὶ τὸ μετὰ πάσης ἀδείας νέμεσθαί τε καὶ ἀπολαύειν τῶν οἰκείων, ἐν ἁπάσῃ τε διάγειν ἀναπαύσει, μηδενὸς ὑμᾶς ἐκταράττειν τε καὶ ἀφιστᾶν τῶν οἰκείων τόπων οἵου τε ὄντος. Ταῦτα ὑποσχόμενος αὐτοῖς περιέσεσθαι ἐκ τῆς ἐπανόδου, ἐπάγει λοιπόν.

3,14-15 «Χαῖρε, θύγατερ Σιών, σφόδρα, κήρυσσε, θύγατερ Ἰερουσαλήμ· εὐφραίνου καὶ κατατέρπου ἐξ ὅλης τῆς καρδίας σου, θύγατερ Ἰερουσαλήμ. Περιεῖλε Κύριος τὰ ἀδικήματά σου, λελύτρωταί σε Κύριος ἐκ χειρὸς ἐχθρῶν σου· βασιλεύσει Κύριος ἐν μέσῳ σου, οὐκ ὄψει κακὰ οὐκέτι»

300 Ἐν ἡδοναῖς δὴ λοιπὸν διάγε παντοίαις, ὦ Ἰερουσαλήμ, μετ' εὐφροσύνης καὶ τέρψεως διάγουσα παντελοῦς. Ἀφελὼν γάρ σου πάντα τὰ παρανομήματα ὁ Θεὸς ἀναγκαίως σε καὶ τῆς τῶν ἐχθρῶν ἀφεῖλε δυναστείας[1], ὑφ' οὓς ἐπεπτώκεις τῆς τιμωρίας διδοῦσα δίκας· ἔσται τε Κύριος ἐν σοὶ λοιπὸν διὰ τῆς εἰς σὲ κηδεμονίας τὴν οἰκείαν βασιλείαν δεικνύων, ὡς μηδὲν ἔτι σοι προσεγγίσαι οἷόν τε εἶναι κακόν.

1. Πρβλ. Σοφ. 3,14-15.

3,16-18 «Ἐν τῷ καιρῷ ἐκείνῳ ἐρεῖ Κύριος τῇ Ἱερουσαλὴμ Θάρσει, Σιών, μὴ παρείσθωσαν αἱ χεῖρές σου. Κύριος ὁ Θεός σου ἐν σοί, δυνατὸς σώσει σε, ἐπάξει ἐπὶ σὲ εὐφροσύνην καὶ καινιεῖ σε ἐν τῇ ἀγαπήσει αὐτοῦ καὶ εὐφρανθήσεται ἐπὶ σοὶ ἐν τέρψει ὡς ἐν ἡμέρᾳ ἑορτῆς. Καὶ συνάξει τοὺς συντετριμμένους»

[473] Τότε δὴ πάσης ἐκλύσεως ἀπαλλάξει τὴν Ἱερουσαλὴμ ὁ Θεός, αὐτὸς αὐτὴν διὰ τῆς οἰκείας περισῴζων δυνάμεως, ἐν πολλῇ τε καθιστὰς εὐφροσύνῃ ἀνακαινιεῖ τὴν περὶ ὑμᾶς ἀγάπην[1]. Τοιαῦτα δὴ πράττων τε καὶ ἐπιδεικνύμενος τῆς ὑμετέρας ἕνεκεν σωτηρίας, οἷάπερ ἐπεδείξατό ποτε μετὰ πολλῶν τεράτων τε καὶ θαυμάτων ἐξαγαγὼν ὑμᾶς τῆς Αἰγύπτου· οὕτω γὰρ δὴ καὶ νῦν ὑμᾶς ὑπὸ τῆς αἰχμαλωσίας συντριβέντας ἀπαλλάξει τε τῶν κατεχόντων κακῶν καὶ ἀποδώσει τοῖς οἰκείοις πάλιν.

3,18-19 «Οὐαί, τίς ἔλαβεν ἐπ' αὐτὴν ὀνειδισμόν; Ἰδοὺ ἐγὼ ποιῶ ἐν σοὶ ἕνεκεν ἐμοῦ, λέγει Κύριος»

Ἀλλὰ γὰρ ἐλεεινότατοι οἵ τι πεπλημμεληκότες εἰς αὐτήν, εἰς οὓς ὑπὲρ ὑμῶν τὴν οἰκείαν ἐπιδείξεται δύναμιν ὁ Θεός, ὥστε καὶ παρὰ πᾶσιν ἀνθρώποις ὀνομαστοὺς ὑμᾶς ἐπὶ τοῖς γεγονόσιν ὑμῶν γε ἕνεκεν εἶναι.

3,19 «Ἐν τῷ καιρῷ ἐκείνῳ σώσω τὴν ἐκπεπιεσμένην καὶ τὴν ἀπωσμένην εἰσδέξομαι»

Τιμωρήσομαι μὲν γὰρ ἐκείνους, περισώσω δὲ τοὺς ὑπὸ τηλικούτων κακῶν πιεσθέντας, τοὺς ἀπωσμένους τε τῶν οἰκείων ἐπανάξω πάλιν **301** ἐπὶ τὰ οἰκεῖα[2].

3,19 «Καὶ θήσομαι αὐτοὺς εἰς καύχημα καὶ ὀνομαστοὺς ἐν πάσῃ τῇ γῇ»

Ὥστε αὐτοὺς ἐκ τῶν παρ' ἐμοῦ περὶ αὐτοὺς γιγνομένων ἐν θαύματί τε καὶ ἐπαίνοις παρὰ πᾶσιν ἀνθρώποις εἶναι.

---

1. Πρβλ. Σοφ. 3,16-17. **2.** Πρβλ. Σοφ. 3,19.

3,20 «Καὶ καταισχυνθήσονται ἐν τῷ καιρῷ ἐκείνῳ, ὅταν καλῶς ὑμῖν ποιήσω, καὶ ἐν τῷ καιρῷ, ὅταν εἰσδέξωμαι ὑμᾶς»

Περιβληθήσονται γὰρ αἰσχύνῃ πάσῃ οἱ ὑμέτεροι πολέμιοι, ἐπειδὰν τὰ κάλλιστα περὶ ὑμᾶς διαπραττόμενος εἰς τὰ οἰκεῖα πάλιν ὑμᾶς ἐπαναγάγω.

3,20 «Διότι δώσω ὑμᾶς ὀνομαστοὺς καὶ εἰς καύχημα ἐν πᾶσι τοῖς λαοῖς τῆς γῆς ἐν τῷ ἐπιστρέφειν με τὴν αἰχμαλωσίαν ὑμῶν ἐνώπιον ὑμῶν, λέγει Κύριος»

Τοσαῦτα γὰρ καὶ τηλικαῦτα περὶ ὑμᾶς τε καὶ ὑπὲρ ὑμῶν κατὰ τῶν ἐχθρῶν ἐργάσομαι τῶν ὑμετέρων, ὥστε ἅπαντας τοὺς πανταχοῦ διὰ μνήμης τε ἔχειν ὑμᾶς καὶ ἐπαίνων, θαυμάζοντας ᾧτινι δὴ τῷ τρόπῳ τῆς τοιαύτης αἰχμαλωσίας ὑμᾶς ἀπαλλάξας ἐπανήγαγον εἰς τὰ οἰκεῖα[1].

1. Πρβλ. Σοφ. 3,20.

ΕΡΜΗΝΕΙΑ ΑΓΓΑΙΟΥ ΤΟΥ ΠΡΟΦΗΤΟΥ

303 [473] Ὥσπερ μὲν καὶ Ἰωὴλ καὶ Ἀμὼς καὶ Μιχαίας οἱ μακάριοι προφῆται κοινὸν πρὸς ἅπαντα τὸν Ἰσραηλιτικὸν λαὸν ἐποιοῦντο τὸν λόγον τούς τε τῶν δέκα φυλῶν, ὧν ἐβασίλευεν ἡ Σαμάρεια, καὶ μὴν καὶ τοὺς τῆς Ἰούδα φυλῆς τούς τε τὴν Ἱερουσαλὴμ οἰκοῦντας, ἀμφοτέρους ὁμοίως ἐπί τε ταῖς ἀσεβείαις καὶ ταῖς **[476]** παρανομίαις ἐλέγχοντες, αἷς διεπράττοντο ποικίλως, προστίθεντες δὲ καὶ τὰ ὑπὲρ τούτων αὐτοῖς ἀμετανοήτως πταίουσι συμβησόμενα κακά, τά τε ταῖς δέκα φυλαῖς πρότερον ὑπὸ τῶν Ἀσσυρίων συμβάντα καὶ τὰ τοῖς τοῦ Ἰούδα φυλῆς ὑπὸ Βαβυλωνίων ὕστερον γεγονότα. Οἵσπερ οὖν καὶ τὴν ἐπὶ τὸ κρεῖττον αὐτῶν μεταβολὴν ἐπισυνῆπτον ταῖς προρρήσεσι ταῖς ἑαυτῶν, ὅτι τε ἀφεθέντες τῆς αἰχμαλωσίας ἐπὶ τὴν χώραν πάλιν ἀνελεύσονται τὴν οἰκείαν. Ἀβδιοὺ μὲν τοῦ μακαρίου τὴν Ἰδουμαίοις κατὰ τὸν τῆς ἐπανόδου καιρὸν ἐπαχθησομένην λέγοντος τιμωρίαν, Ἰωνᾶ δὲ τοῦ μακαρίου τὴν καταστροφὴν ἀπειλήσαντος Νινευΐταις, εἰ μὴ τῆς ἑαυτῶν μεταβάλοιντο κακίας, τοῦ μακαρίου δὲ Ναοὺμ σαφῶς τήν τε πολιορκίαν τῆς Νινευὴ καὶ τὴν καθαίρεσιν ἁπάσης τῆς τῶν Ἀσσυρίων βασιλείας μηνύοντος προδήλως, ἣν ὑπὸ Βαβυλωνίων ἤμελλον ὑπομένειν. Ἀμβακοὺμ δὲ καὶ Σοφονίας οἱ μακάριοι προφῆται, ἤδη τῶν ἐν ταῖς δέκα φυλαῖς ἐκπορθηθέντων τε ὑπὸ τῶν Ἀσσυρίων καὶ παντελῆ τήν τε αἰχμαλωσίαν καὶ τὴν ἐκ τῶν τόπων τῶν οἰκείων μετάστασιν δεξαμένων, τοὺς τῆς Ἰούδα φυλῆς μόνους τούς τε ἐπὶ τῆς Ἱερουσαλὴμ οἰκοῦντας ἐπὶ ταῖς ἀσεβείαις αὐτῶν ἐλέγχουσι καὶ ταῖς παρανομίαις, λέγοντες τὴν διὰ τῶν Βαβυλωνίων ἐπὶ τούτοις ἐπαχθησομένην αὐτοῖς παρὰ τοῦ Θεοῦ τιμωρίαν οὐ μετὰ πολύν γε ἐσομένην τὸν χρόνον, ἀλλ' ὡς **304** εὐθύ γε καὶ παραχρῆμα τῶν μηνυομένων κακῶν ἐπελευσομένων αὐτοῖς ἁπάντων, καὶ ἐγγυτέραν γε τῶν ἐσομένων τὴν ἔκβασιν Σοφονίου μηνύοντος ἔσεσθαι τοῦ προφήτου.

Ἀγγαῖος δὲ ὁ μακάριος προφήτης, οὗ δὴ πρόκειται νῦν ἡμῖν Θεοῦ χάριτι ποιεῖσθαι τὴν σαφήνειαν, οὐ τῆς αἰχμαλωσίας μόνον ἤδη γεγενημένης τῆς ὑπὸ Βαβυλωνίων τοῖς κατὰ τὴν Ἱερου-

σαλὴμ ἐπαχθείσης ποιεῖται τὴν προφητείαν, ἀλλὰ γὰρ ἀπαλλαγέντων μὲν τῶν Ἰσραηλιτῶν ἤδη τῆς αἰχμαλωσίας ἐπανεληλυθότων δὲ πάλιν εἰς τὴν χώραν τὴν οἰκείαν παρὰ πᾶσαν ἀνθρωπίνην ἐλπίδα χάριτι θείᾳ τοῖς λόγοις κέχρηται τοῖς οἰκείοις, τοὺς ἐπανεληλυθότας τε καὶ ἐπὶ τῆς οἰκείας διάγοντας χώρας τῆς τοσαύτης τε χάριτος παραδόξως τετυχηκότας ἐλέγχων ἐπὶ τῇ περὶ τὴν οἰκοδομὴν τοῦ ναοῦ ῥᾳθυμίᾳ. Οὗ τῆς οἰκοδομῆς πρόδηλον ὡς οὐχ ἑαυτοῦ γε ἕνεκεν εἶχε φροντίδα πολλὴν ὁ Θεός, ὡς αὐτὸς περὶ ἑαυτοῦ φησιν· «Ὁ οὐρανός μοι θρόνος, ἡ δὲ γῆ ὑποπόδιον τῶν ποδῶν μου· ποῖον τοῦτον οἶκον οἰκοδομήσετέ μοι, λέγει Κύριος; ἢ τίς τόπος τῆς καταπαύσεώς μού ἐστιν;»[1]. Καίτοι γε μικρὸν καὶ τοῦτο, εἰ πρὸς τὸ μέγεθος τὰ εἰρημένα σκοποῖτο τὸ θεῖον, ἁπάντων γε τῶν ὄντων προδήλως ὑπερκείμενον, οὐδ' ὁπόσον εἰπεῖν τε ἢ νοῆσαι δύναιτο ἄν τις, ἀλλ' ὑπὲρ αὐτῶν γε τῶν Ἰσραηλιτῶν ὁ τῶν ἀνθρωπείων ψυχῶν κηδόμενος τῆς οἰκοδομῆς τοῦ ναοῦ πολὺν ποιεῖται τὸν λόγον. Ἐπειδὴ γὰρ διετάξατο μὲν ἐν ἐκείνῳ τῷ τε τόπῳ καὶ τῷ ναῷ συνιόντας τὴν καθήκουσαν αὐτῷ τοῖς νομικοῖς παραγγέλμασιν ἀκολούθως ἀποδιδόναι θρησκείαν, διὰ πάντων δὲ τούτων ἐπὶ τῆς εὐσεβείας ἐβούλετο συνέχεσθαι τὸν λαόν, ὡς ἂν προσηκόντως ἐκεῖθεν κατὰ καιρὸν ὀφθείη τὸν δέοντα ὑπὲρ τῆς ἁπάντων σωτηρίας ὁ Δεσπότης τὸ κατὰ σάρκα Χριστός· ἀναγκαίως τῆς κατασκευῆς ἐπιμέλειαν ἐποιεῖτο τοῦ ναοῦ, ὡς ἂν ὁ λαὸς διὰ τῆς **[477]** ἐν αὐτῷ συναγωγῆς τὴν βελτίωσιν δέχοιτο ὑπὲρ ἁπάντων, ὡς ἔφην, ἀνθρώπων τῆς οὕτω πολλῆς τε καὶ μεγίστης ἀξιούμενος ἐπιμελείας. Ὡς γὰρ θυσιῶν ἀνέχεται καὶ τῶν ἄλλων δὴ τῶν τοιούτων ὁ Θεός, **305** οὐθὲν τούτων δεόμενος καθάπαξ αὐτός, διὰ τὴν ἡμετέραν χρείαν, οὕτω καὶ τῆς περὶ τὸν ναὸν εἴχετο φροντίδος, οὐχ ἑαυτοῦ γε ἕνεκεν, ἀλλ' ὑπὲρ ἐκείνων, οὓς αὐτόθι συνιέναι τε καὶ τὴν καθήκουσαν τῷ Θεῷ θεραπείαν ἀποδιδόναι προσῆκον ἦν, ὑπὲρ ἁπάντων γε ἀνθρώπων, ὥσπερ οὖν ἔφθην πρόσθεν εἰπών. Ἔχει δέ τινα καὶ μήνυσιν ἐσομένων τὸ βιβλίον, τῶν περὶ τὸν Γὼγ φημι, ἣν ἀπ' αὐτῶν τῶν γεγραμμένων ἄμεινον ἴδοι τις ἄν. Ἀλλ'

---

1. Ἠσ. 66,1. Πράξ. 7,49.



οὗτος μὲν ὁ τοῦ βιβλίου σκοπός· προσεκτέον δὲ τοῖς κατὰ μέρος λοιπόν.

1,1 «Ἐν δὲ τῷ δευτέρῳ ἔτει ἐπὶ Δαρείου τοῦ βασιλέως ἐν τῷ μηνὶ τῷ ἕκτῳ μιᾷ τοῦ μηνὸς ἐγένετο λόγος Κυρίου ἐν χειρὶ Ἀγγαίου τοῦ προφήτου λέγων»

Ἐν δευτέρῳ μὲν ἔτει Δαρείου Περσῶν βασιλεύοντος[1] τοῦ τετάρτου μετὰ Κῦρον, ὃς πρῶτος Μήδων τε καὶ Περσῶν κατὰ ταὐτὸν ἐβασίλευσεν, ἐπανεληλυθότων ἤδη εἰς τὰ οἰκεῖα τῶν τε τῆς Ἰούδα φυλῆς καὶ τῶν λοιπῶν, ὁπόσοι περ αὐτοῖς συνανελθεῖν προθυμίαν ἔσχον καὶ δὴ καὶ τῆς Ἰερουσαλὴμ ἀπειληφότων τὴν οἴκησιν, Ἀγγαῖον τὸν μακάριον προφήτην ἀποκαλύψεως ἠξιῶσθαι θείας φησίν, ἐπὶ τῷ τὴν τῶν προσηκόντων διάλεξιν πρὸς τοὺς ἀνεληλυθότας ποιήσασθαι τῶν Ἰουδαίων, καὶ πρό γε τῶν ἄλλων τῆς οἰκοδομῆς καταμελοῦντας ἐλέγξαι τοῦ ναοῦ, ὃν δὴ μάλιστα ἐπανεληλυθότας ἀπὸ τῆς αἰχμαλωσίας μετὰ πολλῆς ἀνεγεῖραι τῆς προθυμίας προσῆκον ἦν. Ἐπισημαίνεται δὲ καὶ τὸν μῆνα καὶ τὴν ἡμέραν καθ' ἣν ἐξ ἀποκαλύψεως θείας ὁ Προφήτης ἐχρῆτο τοῖς πρὸς Ἰουδαίους λόγοις, ὡς ἂν τεταγμένως δείξειεν, ὅπως μὲν αὐτοῖς τῆς οἰκοδομῆς ἀμελοῦσι τοῦ ναοῦ τὰ πράγματα διακεῖσθαι συνέβαινεν, ὅσην δὲ μετάστασιν ἐπὶ τὸ κρεῖττον ἔλαβον, ὁπηνίκα τῆς περὶ τὸν ναὸν οἰκοδομῆς τὴν προσήκουσαν ἔχειν ἤρξαντο φροντίδα. Τίνα δὲ ἦν ἅπερ εἰπεῖν πρὸς αὐτοὺς ὁ Προφήτης ἐκελεύσθη παρὰ τοῦ Θεοῦ ἑξῆς φησιν.

1,1-2 «Εἶπον πρὸς Ζοροβαβὲλ τὸν τοῦ Σαλαθιὴλ ἐκ φυλῆς Ἰούδα καὶ πρὸς Ἰησοῦν τὸν τοῦ Ἰωσέδεκ τὸν ἱερέα τὸν μέγαν λέγων· Τάδε λέγει Κύριος παντοκράτωρ λέγων· Ὁ λαὸς οὗτος λέγουσιν Οὐχ ἥκει ὁ καιρὸς τοῦ οἰκοδομῆσαι τὸν οἶκον Κυρίου»

306 Κελεύει γὰρ αὐτῷ πρός τε τὸν Ζοροβαβέλ, ὃς ἐκ τῆς Ἰούδα φυλῆς ὑπάρχων[2] ἔκ τε τοῦ μακαρίου Δαβὶδ καταγόμενος κατὰ τὰς ἐπαγγελίας τὰς θείας ἐβασίλευε τότε τοῦ λαοῦ, καὶ μὴν καὶ

1. Πρβλ. Ἀγγ. 1,1. **2.** Ἔνθ' ἄν.

πρὸς τὸν τοῦ Ἰωσέδεκ Ἰησοῦν, ὃς τὸ τῆς ἀρχιερωσύνης ἔργον ἀκολουθίᾳ γένους κατὰ τὴν Μωσαϊκὴν διάταξιν ἐκ τοῦ Ἀαρὼν καταγόμενος ἐκτελεῖν ἐπεπίστευτο, εἰπεῖν ταῦτα, ἅπερ οὖν ἐπ' ἐλέγχῳ τῆς περὶ τὸν ναὸν τοῦ λαοῦ ῥᾳθυμίας διδάξαι προσῆκον ἦν. Ταῦτα γὰρ δὴ πρὸς τούτους μάλιστα ὡς ἡγουμένους εἰκότως ἐλέγετο, ἅτε καὶ τοὺς λοιποὺς διεγείρειν ἐπὶ τὸ πρᾶγμα ὀφείλοντας. Φαίνεται οὐκ αὐτοῖς ἐν τῷ λόγῳ καταμεμφόμενος, ἀλλὰ τῷ λαῷ, ὡς δῆλον εἶναι, ὅτι οἱ μὲν τὴν προσήκουσαν εἶχον περὶ τὸ πρᾶγμα προθυμίαν, ἐκτελεῖν δὲ ὅπερ ἐβούλοντο ἀδυνάτως εἶχον, οὐκ ἐθέλοντος αὐτοῖς τοῦ λαοῦ πρὸς τοῦτο συμπράττειν. Διόπερ τούτοις τὰ ἐπ' ἐλέγχῳ τοῦ λαοῦ συντείνοντα λέγει, ὡς ἂν οὗτοί τε μᾶλλον ἐπὶ τὸ ἔργον διεγερθεῖεν, κἀκεῖνοι δὲ διόρθωσιν **[480]** δέξαιντο τὴν προσήκουσαν εἰς τὸ πάσῃ τῇ προθυμίᾳ τὰ συντείνοντα εἰς τὴν οἰκοδομὴν τοῦ ναοῦ διαπράττεσθαι, καὶ μετὰ πολλῆς γε πείθεσθαι τοῖς ἡγουμένοις τῆς ἑτοιμότητος πρὸς ἅπερ ἂν αὐτοῖς περὶ τούτου κελεύωσιν ὡς κατὰ βούλησιν θείαν τὸ ἐπίταγμα ποιουμένοις. Τρεπόμενος δὲ ἐπὶ τὸν ἔλεγχον τοῦ λαοῦ καλῶς ἐκ τῆς πεπλασμένης αὐτῶν ἀπολογίας ποιεῖται τὴν ἀρχήν, ᾗπερ κεχρημένοι εὐπροσώπως καταμελεῖν ἐδόκουν τοῦ ἔργου. Λέγουσι γάρ, φησίν, οὔπω παρεῖναι τῆς οἰκοδομῆς τοῦ ναοῦ τὸν καιρόν[1], ὡς ἂν δικαίως ἀμελοῦντες φαίνοιντο τοῦ ἔργου. Εἶτα πεπλασμένην ἐλέγχων τὴν ἀπολογίαν ἐκ κακίας ηὑρημένην εἰς προκάλυμμα τῆς ῥᾳθυμίας ἐπάγει.

1,3-4 «Καὶ ἐγένετο λόγος Κυρίου ἐν χειρὶ Ἀγγαίου τοῦ προφήτου λέγων· Εἰ καιρὸς μὲν ὑμῖν ἐστι τοῦ οἰκεῖν ἐν οἴκοις ὑμῶν κοιλοστάθμοις, ὁ δὲ οἶκος οὗτος ἐξηρήμωται;»

Εἶτά φησιν· περὶ μὲν τὰς οἰκοδομὰς τὰς οἰκείας οὕτως ἐσπουδάκατε **307** οὐ μόνον μετὰ πολλῆς αὐτὰς ἀνεγείροντες τῆς προθυμίας, ἀλλὰ καὶ καλλωπίζοντες αὐτὰς σὺν πάσῃ δυνάμει, τῷ δὲ ναῷ μόνῳ καιρὸς οἰκοδομῆς οὐ πάρεστιν; οὐδὲ αἰσχύνεσθε τὸν πάσης ὑμῖν τῆς σωτηρίας αἴτιον ἐν τοσαύτῃ τυγχάνοντα περιορῶντες

1. Πρβλ. Ἀγγ. 1,2.

ἐρημίᾳ, ὡς τὰ μὲν οἰκήματα ὑμῶν καὶ γεγονέναι μετὰ σὲ κεκαλλωπίσθαι μετὰ πολλῆς ἄγαν τῆς ἐπιμελείας, τοῦ ναοῦ δὲ τὸν τόπον ἐρημίᾳ παραδεδόσθαι ἔτι[1], μηθὲν ὑμῶν εἰς οἰκοδομὴν αὐτοῦ ποιῆσαι καθάπαξ ἑλομένων;

1,5 «Καὶ νῦν τάδε λέγει Κύριος παντοκράτωρ Τάξατε τὰς καρδίας ὑμῶν εἰς τὰς ὁδοὺς ὑμῶν»

Ἀναλογίσασθε, φησίν, τὰ καθ' ἑαυτοὺς καὶ δοκιμάσατε μέν, ἃ πεπράχατε τοῦ ναοῦ καταῤῥᾳθυμοῦντες τοῦ θείου, τίνα δὲ ὑμῖν ἐκ τούτου συμβέβηκεν. Εὔδηλον γὰρ ὅτι ὁδοὺς αὐτῶν[2] τὰς πράξεις αὐτῶν καλεῖ, καθὼς εἴωθεν. Εἶτα λέγει·

1,6 «Ἐσπείρατε πολλὰ καὶ εἰσηνέγκατε ὀλίγα, ἐφάγετε καὶ οὐκ εἰς πλησμονήν, ἐπίετε καὶ οὐκ εἰς μέθην, περιεβάλεσθε καὶ οὐκ ἐθερμάνθητε ἐν αὐτοῖς, καὶ ὁ τοὺς μισθοὺς συνάγων συνήγαγεν εἰς δεσμὸν τετρυπημένον»

Ἐννοήσατε γὰρ ἐν ὅσῃ διὰ τὴν ῥᾳθυμίαν ἐκείνην κατέστητε ἐνδείᾳ τε καὶ σπάνει τῶν ἀναγκαίων, ὡς ἀπὸ πολλῶν μὲν σπερμάτων βραχὺν συλλέγειν καρπόν, ἀπολαύειν δὲ μὴ τροφῆς, μὴ πότου, μὴ ἐνδυμάτων πρὸς κόρον τῆς κατεπειγούσης χρείας, ἅτε πάντων σπανιζόντων ὑμῖν τῶν ἀναγκαίων. Ἐκ δὲ τούτου καὶ τὰ μισθώματα ὑμῖν, ὡς εἰκός, ὅσαπερ ἐποιεῖσθε ἀγρούς τε ἐκμισθοῦντες καὶ ὁπόσα δὴ τοιαῦτα, εἰς οὐδὲν ἐγίνετο ὄφελος, ἐπειδὴ τῶν καρπῶν ἀπολλυμένων οὐδὲ τὰ μισθώματα ὑμῖν παρὰ τῶν ἐκλαμβανόντων τελεῖσθαι δυνατὸν ὑπῆρχεν. Ὥσπερ δὲ ἐν βαλλαντίῳ ἢ ῥάκει ἤ τινι ὅλως ἀποδέσμῳ, εἰ τετρυπημένον εἴη, συλλέγεσθαι ἀργύριον οὐδαμῶς δυνατὸν διεκπίπτον καὶ ἀπολλύμενον πάντως, οὕτως τῇ τῶν καρπῶν ἀπωλείᾳ καὶ τὰ μισθώματα ὑμῖν συνδιαφθείρεσθαι ἀναγκαῖον ὑπῆρχεν.

1,7-8 «Τάδε λέγει Κύριος παντοκράτωρ· Θέσθε τὰς καρδίας ὑμῶν εἰς τὰς ὁδοὺς ὑμῶν· ἀνάβητε ἐπὶ τὸ ὄρος καὶ κόψατε ξύλα καὶ

---

1. Πρβλ. Ἀγγ. 1,4. 2. Πρβλ. Ἀγγ. 1,5.

οἴσατε καὶ οἰκοδομήσατε τὸν οἶκον, καὶ εὐδοκήσω ἐν αὐτῷ καὶ ἐνδοξασθήσομαι, εἶπε Κύριος»

308 Ἀλλὰ γὰρ ταῦτα ἀναλογισάμενοι διορθώσασθε μὲν τὰ νῦν παρ' ὑμῶν ἀμελούμενα καὶ φροντίσατε τῆς οἰκοδομῆς τοῦ ναοῦ, ξύλα τε ἐκτεμόντες καὶ τὰ λοιπὰ δὴ πρὸς **[481]** τὴν οἰκοδομὴν ἐπιτήδεια[1] μετὰ πολλῆς εἰσενέγκαντες τῆς προθυμίας. Ἀρεσθεὶς δὲ καὶ αὐτὸς τῇ γενομένῃ παρ' ὑμῶν οἰκοδομῇ τοῦ ναοῦ τοιαῦτα εἰς ὑμετέραν εὐεργεσίαν ἐργάσομαι, ἃ παρὰ πᾶσί με ποιήσει γνώριμον, ὡς μέγιστα τοὺς εὐνοίᾳ μοι πείθεσθαι βουλομένους δυνάμενον ὠφελεῖν. Εἶτα πάλιν ὑπομιμνήσκων αὐτούς, ὧν τὸ πρότερον διὰ τὴν ῥᾳθυμίαν ὑπέμενον, καὶ εἰπών,

1,9 «Ἐπεβλέψατε εἰς πολλά, καὶ ἐγένετο ὀλίγα· καὶ εἰσηνέχθη εἰς τὸν οἶκον, καὶ ἐξεφύσησα αὐτά»

Ἵνα εἴπῃ, ὅτι οὔτε τοὺς καρποὺς ὑμῖν ἐκ τῆς γῆς παρέχεσθαι εἴων καὶ τὰ δοκοῦντα γίνεσθαι ἀπώλλυον. Ἑτέρως ἐπάγει.

1,9-11 «Διὰ τοῦτο τάδε λέγει Κύριος παντοκράτωρ, Ἀνθ' ὧν ὁ οἶκός μου ἐστιν ἔρημος, ὑμεῖς δὲ διώκετε ἕκαστος εἰς τὸν οἶκον αὐτοῦ, διὰ τοῦτο ἀνέξει ὁ οὐρανὸς ἀπὸ δρόσου, καὶ ἡ γῆ στελεῖται τὰ ἐκφόρια αὐτῆς ἐφ' ὑμᾶς· καὶ ἐπάξω ῥομφαίαν ἐπὶ τὴν γῆν καὶ ἐπὶ τὰ ὄρη καὶ ἐπὶ τὸν σῖτον καὶ ἐπὶ τὸν οἶνον καὶ ἐπὶ τὸ ἔλαιον καὶ ἐπὶ πάντα ὅσα ἐκφέρει ἡ γῆ καὶ ἐπὶ τοὺς ἀνθρώπους καὶ ἐπὶ τὰ κτήνη καὶ ἐπὶ πάντας τοὺς πόνους τῶν χειρῶν αὐτῶν»

Βούλεται δὲ διὰ τούτων αὐτούς, ὧν ἀμελοῦντες τοῦ ναοῦ πεπόνθεσαν, ὑπομνῆσαι. Ὅτε γάρ, φησίν, τὸν οἶκον τὸν ἐμὸν ἐν ἐρημίᾳ τυγχάνοντα περιορῶντες περὶ τὴν οἰκοδομὴν τῶν οἴκων ἐσπουδάζετε τῶν ἰδίων, τότε, φησίν, ὅτε ὁ ὑετὸς ἐπείχετο, καὶ ἡ γῆ τὸν **309** καρπὸν οὐκ ἐδίδου[2], καὶ ὥσπερ τινὶ ξίφει πάντας τοὺς ἐπὶ τῆς γῆς ἠφάνιζον καρπούς, ἁπτόμενος καὶ ἀνθρώπων καὶ κτηνῶν πολλάκις, πάντα τε συντόμως εἰπεῖν ἀπολλύς, ὑπὲρ ὧν ἐπονεῖτε[3]. Ἐπὶ γὰρ τῇ προτροπῇ τοῦ ἀναβῆναι καὶ κόψαι ξύλα ἐνεγκεῖν τε

1. Πρβλ. Ἀγγ. 1,8. **2.** Πρβλ. Ἀγγ. 1,9-10. **3.** Πρβλ. Ἀγγ. 1,11.

καὶ φροντίσαι τῆς οἰκοδομῆς ταῦτα ἐπήγαγεν[1], τῇ μνήμῃ τῶν γεγονότων φοβῶν αὐτούς, μὴ ῥᾳθύμως δέξασθαι τὸ ἐπίταγμα. Ἐπάγει γοῦν.

1,12 «Καὶ ἤκουσε Ζοροβαβὲλ ὁ τοῦ Σαλαθιὴλ ἐκ φυλῆς Ἰούδα καὶ Ἰησοῦς ὁ τοῦ Ἰωσέδεκ ὁ ἱερεὺς ὁ μέγας καὶ πάντες οἱ κατάλοιποι τοῦ λαοῦ τῆς φωνῆς Κυρίου τοῦ Θεοῦ αὐτῶν καὶ τῶν λόγων Ἀγγαίου τοῦ προφήτου, καθότι ἐξαπέστειλεν αὐτὸν Κύριος ὁ Θεὸς αὐτῶν πρὸς αὐτούς, καὶ ἐφοβήθη ὁ λαὸς ἀπὸ προσώπου Κυρίου»

Δεικνὺς ὅτι οὐκ ἀνωφελεῖς οἱ λόγοι γεγόνασι πρὸς αὐτούς, πάντες δὲ τὴν ἐκ τῶν εἰρημένων φοβηθέντες ἀπειλὴν ἔνευσαν πρὸς τὸ δέον, ὥστε καὶ ἀποσταλέντα παρὰ τοῦ Θεοῦ τὸν Προφήτην εἰπεῖν πρὸς αὐτούς.

1,13 «Ἐγώ εἰμι μεθ' ὑμῶν, λέγει Κύριος»

Ὡς ἂν δείξειεν, ὅτι ἅμα τε μετεβάλοντο τὸν τρόπον καὶ περὶ τὴν οἰκοδομὴν τοῦ ναοῦ τὴν σπουδὴν ἔσχον, καὶ εὐθὺς ἐπηγγείλατο Θεὸς ἐν ἅπασιν αὐτοῖς τὴν ἑαυτοῦ παρασχεῖν κηδεμονίαν. Τοῦτο γὰρ δηλοῖ τό «εἰμὶ μεθ' ὑμῶν, λέγει Κύριος»[2], ἀντὶ τοῦ, συνών τε ὑμῖν καὶ κηδόμενος καὶ πᾶσαν χρείαν ὑμῖν πληρῶν.

1,14 «Καὶ ἐξήγειρε Κύριος τὸ πνεῦμα Ζοροβαβὲλ τοῦ Σαλαθιὴλ ἐκ φυλῆς Ἰούδα καὶ τὸ πνεῦμα Ἰησοῦ τοῦ Ἰωσέδεκ τοῦ ἱερέως τοῦ μεγάλου καὶ τὸ πνεῦμα τῶν καταλοίπων παντὸς τοῦ λαοῦ, καὶ εἰσῆλθεν, καὶ ἐποίουν ἔργα ἐν τῷ οἴκῳ Κυρίου παντοκράτορος Θεοῦ αὐτῶν»

Οὐ γὰρ ἐπηγγείλατο μόνον αὐτὸς τὴν οἰκείαν κηδεμονίαν ὁ **[484]** Θεός, ἀλλὰ καὶ τὴν προθυμίαν κατὰ ταὐτὸν τῶν τε ἡγουμένων ἐπέῤῥωσε καὶ παντὸς τοῦ λαοῦ, ὥστε πάντα δὴ τὰ λοιπὰ παρωσαμένους περὶ **310** τὴν οἰκοδομὴν ἀσχολεῖσθαι τοῦ ναοῦ καὶ τὸ ὅπως ἂν αὐτοῖς εἰς τέλος ἀφίκοιτο τὸ ἔργον. Εἶτα καὶ τὴν προθυμίαν αὐτῶν ἐπὶ πλέον ἐπιῤῥωννὺς ὁ Θεὸς ἐπιφαίνεται πάλιν τῷ Προφήτῃ ταυτὶ λέγων.

---

1. Πρβλ. Ἀγγ. 1,8. **2.** Ἀγγ. 1,13.

2,2-5 «Εἶπον δὴ πρὸς Ζοροβαβὲλ τὸν τοῦ Σαλαθιὴλ ἐκ φυλῆς Ἰούδα καὶ πρὸς Ἰησοῦν τὸν τοῦ Ἰωσέδεκ τὸν ἱερέα τὸν μέγαν καὶ πρὸς πάντας τοὺς καταλοίπους τοῦ λαοῦ λέγων· Τίς ἐξ ὑμῶν ὃς εἶδεν τὸν οἶκον τοῦτον ἐν τῇ δόξῃ αὐτοῦ τῇ ἔμπροσθεν; καὶ πῶς ὑμεῖς βλέπετε αὐτὸν νῦν καθὼς οὐχ ὑπάρχοντα ἐνώπιον ὑμῶν; Καὶ νῦν κατίσχυε, Ζοροβαβέλ, λέγει Κύριος, καὶ κατίσχυε, Ἰησοῦς ὁ τοῦ Ἰωσέδεκ ὁ ἱερεὺς ὁ μέγας, καὶ κατισχυέτω πᾶς ὁ λαὸς τῆς γῆς, λέγει Κύριος παντοκράτωρ, καὶ τὸ πνεῦμά μου ἐφέστηκεν ἐν μέσῳ ὑμῶν»

Εἰ γάρ τις ὑμῶν, φησίν, τὴν παλαιὰν τοῦ οἴκου τούτου δόξαν ἠπίστατο, καὶ οἷάπερ τὰ περὶ αὐτὸν παρ' ἐμοῦ γεγονότα πολλάκις εἴτε περὶ τὸν λαὸν τῆς ἐν αὐτῷ τελουμένης σπουδῆς ἕνεκεν, συνεῖδεν ἄν, ὁπόση τῶν τότε καὶ νῦν ἐστιν ἡ μεταβολή[1]· νῦν γὰρ ἐκεῖνα μὲν οὐκ εἰδότες ὑμῶν οἱ πολλοὶ τὰ παρόντα δὲ ὁρῶντες, ὡς ἂν οὐκ ὄντα διὰ τὴν κατέχουσαν αὐτὸν ἐρημίαν ὁρᾶτε. Ἀλλὰ γὰρ ἐπιμείνατε τῇ περὶ τὴν οἰκοδομὴν προθυμίᾳ καὶ πάντα δὴ μετὰ τῆς προσηκούσης ἐπιτελεῖτε σπουδῆς εἰς ἐκπλήρωσιν τοῦ ναοῦ. Αἰσθήσεσθε γὰρ τῆς ἐμῆς κηδεμονίας τότε, καὶ οἷον τὰ καθήκοντα ἐν τῷ ναῷ περὶ τὸν Θεὸν πληροῦντες τεύξεσθε τοῦ λοιποῦ. Ἔσομαι δέ, φησίν, ἐν ὑμῖν δι' αὐτῶν τῶν πραγμάτων δεικνύμενος, καὶ τῆς χάριτος τεύξεσθε τῆς ἐξ ἐμοῦ μόνον οὐκ ἐφεστώσης ὑμῖν οἰκονομούσης τε καὶ διοικούσης τὰ καθ' ὑμᾶς. Τὸ γάρ «πνεῦμά μου»[2] τὴν χάριν τὴν ἐξ αὐτοῦ λέγει, ἐπειδὴ Πνεύματος Ἁγίου ὑπόστασιν ἰδίαν ὡς ἐν προσώπῳ γνωριζομένην οἰκείῳ παρὰ τὸν Θεὸν οἱ τῆς Παλαιᾶς οὐκ ἠπίσταντο Διαθήκης, πάντων τῶν πρὸ τῆς τοῦ Δεσπότου Χριστοῦ παρουσίας Θεὸν εἰδότων καὶ κτίσιν, ἕτερον δὲ οὐδένα τε καὶ τῆς θείας Γραφῆς τοῦτο παιδευούσης τοὺς οἰκείους ἐν **311** τῷ τότε καιρῷ, ἐν ἀοράτῳ δὲ κτίσει μοναδικὸν μὲν οὐδὲν ἐπισταμένης, Ἀγγέλους δὲ καὶ Δυνάμεις κοινῶς καλούσης ἁπάσας τὰς ἀοράτους καὶ λειτουργικὰς οὐσίας, ἃς ὑπηρετεῖσθαι ἐν ἅπασιν ἐδίδασκε τοῖς νεύμασι τοῖς θείοις. Πνεῦμα τοίνυν Ἅγιον ἐν ἰδίᾳ ὑποστάσει παρὰ τὸν Θεὸν εἰδέναι οὐκ ἠδύναντο. Οὔτε γὰρ

1. Πρβλ. Ἀγγ. 2,3. 2. Ἀγγ. 2,5.

ἐν λειτουργικοῖς ἀριθμεῖν οἷόν τε ἦν τὸ μοναδικόν, οὔτε Θεῷ συντάττειν ἐν ἰδίῳ τι λέγοντας προσώπῳ, ἐπεὶ μηδὲν ᾔδεσαν τοιοῦτο. Ταῦτα δὲ ἡμᾶς ὁ Δεσπότης Χριστὸς ἐξεδίδαξεν, ὃς τοῖς ἑαυτοῦ παρέδωκεν Ἀποστόλοις τό, «πορευθέντες μαθητεύ**[485]**σατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος»[1], ἀφ' ὧν δὴ μανθάνομεν Πατρός τε πρόσωπον ἴδιον καὶ Υἱοῦ πρόσωπον ἴδιον καὶ Πνεύματος Ἁγίου πρόσωπον ἴδιον, τῆς θείας καὶ ἀιδίου οὐσίας ἕκαστον τούτων εἶναι νομίζοντες ὁμοίως· ἅτε μιᾶς μὲν τῆς μαθητείας οὔσης, ἣν ἐπὶ διδασκαλίᾳ τῆς θείας ἐξεπαιδεύοντο γνώσεως, ἑνὸς δὲ τοῦ Βαπτίσματος τοῦ ἐπ' ὀνόματι τούτων πληρουμένου. Ἡ Παλαιὰ δέ, ὡς ἔφην, Πνεῦμα Ἅγιον ἐν ἰδίῳ προσώπῳ καὶ ὑποστάσει ἰδίᾳ κεχωρισμένως τοῦ Θεοῦ οὐκ ἠπίστατο, Πνεῦμα δὲ Ἅγιον ἐκάλει ἤτοι Πνεῦμα Θεοῦ τὴν χάριν αὐτοῦ ἢ τὴν ἐπιστασίαν ἢ τὴν κηδεμονίαν ἢ τὴν περί τι διάθεσιν, ἢ εἴ τι τοιοῦτον. «Ποῦ πορευθῶ ἀπὸ τοῦ πνεύματός σου, καὶ ἀπὸ τοῦ προσώπου σου ποῦ φύγω;»[2]. Βούλεται γὰρ εἰπεῖν, ὅτι ἔξω τῆς ἐπιστασίας σου γενέσθαι οὐ δυνατόν, ἐπειδὴ πάρει τοῖς πᾶσιν· ἐπάγει γοῦν πρὸς τὸν Θεὸν οὐκέτι Πνεύματος μεμνημένος· «ἐὰν ἀναβῶ εἰς τὸν οὐρανόν, σὺ εἶ ἐκεῖ»[3], ἵνα εἴπῃ, ὅτι ὅπου ποτ' ἂν ὦ, ὑπὸ τὴν ἐξουσίαν καθέστηκα τὴν σήν, καθ' ἣν ὅπως ἂν ἐθέλῃς τε τοῖς πᾶσι παρὼν τὰ κατ' ἐμὲ διοικεῖς. «Τὸ πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ»[4], ἵνα εἴπῃ, ἀγαθότητι πάντοτε τὰ κατ' ἐμὲ διοικήσας κατὰ ταύτην με καὶ νῦν ἐπανάξεις. «Τὸ πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ»[5], ἵνα εἴπῃ, τὴν ἐξαίρετόν σου καὶ ἐξειλεγμένην κηδεμονίαν ἀπ' ἐμοῦ μὴ ἀφέλῃς. Οὕτως καὶ ἐν**312**ταῦθα λέγει, «καὶ τὸ πνεῦμά μου ἐφέστηκεν ἐν μέσῳ ὑμῶν»[6], ἵνα εἴπῃ, ἡ χάρις ἡ ἐμὴ καὶ ἡ περὶ ὑμᾶς διάθεσις συνέσται ὑμῖν ἐφεστῶσά τε καὶ τὴν ἑαυτῆς ὑμῖν παρέχουσα ὠφέλειαν. Ὡς γὰρ τὴν ψυχὴν ἐπὶ τοῦ Θεοῦ λέγει, οὐχ ὑπόστασίν τινα τὴν δὲ περί τι διάθεσιν οὕτως ὀνομάζων, οἷον ὅταν λέγῃ «τὰς νεομηνίας ὑμῶν καὶ τὰ σάββατα μισεῖ ἡ ψυχή μου»[7], ἵνα τὴν διάθεσιν εἴπῃ, καθ' ἣν ἐμίσει τὰ παρ' αὐτῶν γινόμενα, μοχθηρῶν

---

1. Ματθ. 28,19. **2.** Ψαλ. 138,7. **3.** Ψαλ. 138,8. **4.** Ψαλ. 142,10. **5.** Ψαλ. 50,13. **6.** Ἀγγ. 2,5. **7.** Ἡσ. 1,14.

ὄντων τὸν τρόπον, οὕτως καὶ τὸ πνεῦμα λέγει. Ἀλλὰ γὰρ ταῦτα μὲν ὑπὲρ πλείονος εἰρήσθω τῆς ἀκριβείας. Ὁ δέ γε Θεὸς ἐπειδὴ διήγειρε μὲν ἐν τοῖς προειρημένοις τὸν λαὸν διὰ τοῦ Προφήτου περὶ τὸ ἔργον τῆς οἰκοδομῆς αὐτάρκως, καὶ προθυμοτέρους εἰργάσατο, ἑώρα δὲ συλλογιζομένους, πόθεν ἂν αὐτοῖς προσγένοιτο τοσαῦτα ἔτι πενομένοις ἐκ τῆς αἰχμαλωσίας, ἀφ' ὧν δυνατὸν κατὰ τὸ προσῆκόν τε ἀπαρτισθῆναι τὸν ναὸν καὶ πᾶσαν αὐτῷ τὴν προσήκουσαν εὐπρέπειαν ἀποδοθῆναι, οἵαν δὴ τὸ πρότερον εἶχεν ἐν οἰκοδομαῖς τε καὶ σκεύεσιν ἁγίοις καὶ τοῖς λοιποῖς, ἐπάγει.

2,5 «Θαρσεῖτε· μὴ δὴ φοβεῖσθε»

Περὶ τούτων, φησίν, καὶ πῶς ἔνεστι «μὴ φοβεῖσθε».

2,6-9 «Διότι τάδε λέγει Κύριος παντοκράτωρ· Ἔτι ἅπαξ ἐγὼ σείω τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὴν θάλασσαν καὶ τὴν ξηράν· καὶ συσσείσω πάντα τὰ ἔθνη, καὶ ἥξει τὰ ἐκλεκτὰ πάντων τῶν ἐθνῶν, καὶ πλήσω τὸν οἶκον τοῦτον δόξης, λέγει Κύριος παντοκράτωρ. Ἐμὸν τὸ ἀργύριον καὶ ἐμὸν τὸ χρυσίον, λέγει Κύριος παντοκράτωρ. Διότι μεγάλη ἡ δόξα τοῦ οἴκου τούτου ἡ ἐσχάτη ὑπὲρ τὴν πρώτην, λέγει Κύριος παντοκράτωρ· καὶ ἐν τῷ τόπῳ τούτῳ δώσω εἰρήνην, λέγει Κύριος παντοκράτωρ, καὶ εἰρήνην ψυχῆς εἰς περιποίησιν παντὶ τῷ κτίζοντι τοῦ ἀναστῆσαι τὸν ναὸν τοῦτον»

[488] Περὶ δὴ τῆς σπάνεως τῶν ἐπιτηδείων, φησίν, μὴ φροντίζετε· μόνον γὰρ οὐχ ἅπαντα συσσείσας τὰ ἔθνη πολλά τε καὶ πολλοῦ γέμοντα **313** πλούτου ἐφ' ὑμᾶς ἐλθεῖν ἐάσω — λέγει δὲ τοὺς περὶ τὸν Γώγ[1] —· ὧν ἐληλυθότων τότε δὴ τῆς δόξης τοῦ οἴκου τούτου τὸ μέγεθος ἐκφανὲς ποιήσω διὰ τῆς κηδεμονίας τῆς ἐμῆς. Καὶ γὰρ καὶ τὸ ἀργύριον τὸ προσὸν ἐκείνοις, καὶ τὸ χρυσίον, καὶ πάντα δὴ συντόμως εἰπεῖν τὰ προσόντα ἐκείνοις ἐμά, ἅτε δὴ πάντα ὄντα ἐμά[2], ἐπεὶ καὶ πᾶσα ἔργον ἡ κτίσις ἐμόν, ἅπερ οὖν ἀφελὼν εἰς ὑμᾶς μεταστήσω, οὐκ ἀδικῶν τοὺς ἔχοντας, οἵ γε εἶχον τὰ μὴ αὐτῶν, τὰ ἐμὰ δὲ εἰκότως διδοὺς τοῖς ἐμοῖς, ὥστε τὴν τότε δεικνυμένην περὶ τὸν οἶκον τοῦτον δόξαν ἀφ' ὧν διαπράττομαι δεχόμε-

1. Πρβλ. Ἀριθ. 24,7. **2.** Πρβλ. Ἀγγ. 2,7-8.

νός τε ὑμῶν τὰς ἐν αὐτῷ δεήσεις, καὶ παρέχων ὑμῖν τὸ κατὰ τῶν πολεμίων κράτος, τοσούτων τε ὄντων καὶ τοιούτων, ὡς ἀριθμὸν μὲν αὐτοὺς τῷ πλήθει νικᾶν, ἀκαταμαχήτους δὲ εἶναι διὰ δύναμίν τε καὶ πολεμικὴν ἐμπειρίαν τοῖς πᾶσι δοκεῖν, μείζονα φαίνεσθαι τῆς ποτε περὶ τὸν οἶκον τοῦτον φανείσης δόξης[1], ἅτε καὶ τοῦ ἔργου μείζονος ὄντος ἢ πρότερον ἐπί τε τῶν Ἀσσυρίων, ἢ καί τινων ἑτέρων ἐγένετο, διὰ τὸ οὐ πλήθει μόνον ἀλλὰ καὶ δυνάμει καὶ ἐμπειρίᾳ πολεμικῇ τοὺς νῦν ὑπεραίρειν τῶν πάλαι· ὧν δὴ πάντων τῇ ἐμῇ δυνάμει παραδόξως περιγεγονότες ἐν εἰρήνῃ παντελεῖ γενήσεσθε, ἀθόρυβοί τε ταῖς ψυχαῖς διαμένοντες διὰ τὸ παντὸς ἀπηλλάχθαι πολεμίου, καὶ πλεῖστα ὅσα ἐκ τῶν τοῖς πολεμίοις προσόντων λάφυρα συναγαγόντες· ἃ περιποιήσαντες ἑαυτοῖς εὔκολον ἕξετε βουληθέντες τὴν δύναμιν τοῦ τὸν ναὸν τοῦτον κατασκευάσαι τε καὶ ἀνεγεῖραι, ὡς ἂν τὴν οἰκείαν εὐπρέπειαν ἔχοι τῆς τῶν ἐν αὐτῷ συνιόντων ἕνεκεν εὐχῆς τε καὶ θεραπείας.

Διὰ δὴ πάντων τῶν προειληφότων ἀρκούντως αὐτοὺς προτρεψάμενός τε καὶ παρορμήσας ἐπὶ τὸ ἔργον τῆς οἰκοδομῆς καὶ δὴ καὶ ταῖς ἐπαγγελίαις εὐέλπιδας ποιήσας, ὅτι πολλῆς μεθέξουσι τῆς εὐπορίας κεκρατηκότες τῶν πολεμίων, ὡς ἂν ἅπαντα πρός τε τὴν οἰκοδομὴν τοῦ ναοῦ καὶ πρὸς ὅ, τι ἂν ἐθέλοιεν ἄφθονα ἔχοιεν τοῦ λοιποῦ, καλῶς ἔχειν ἡγήσατο καὶ τὴν ἐν ἑτέροις διόρθωσιν αὐτοῖς προσαγαγεῖν, ἐν οἷσπερ ἡμάρτανον. Λέγει δὲ οὕτως·

2,10-14 «Τῇ τετράδι καὶ εἰκάδι τοῦ ἐνάτου μηνός, ἔτους δευτέρου ἐπὶ Δαρείου, ἐγένετο λόγος Κυρίου πρὸς Ἀγγαῖον τὸν προφήτην λέγων· Τάδε λέγει Κύριος παντοκράτωρ Ἐπερώτησον τοὺς ἱερεῖς νόμον λέγων· Ἐὰν λάβῃ ἄνθρωπος κρέας ἅγιον ἐν τῷ ἄκρῳ τοῦ ἱματίου αὐτοῦ καὶ ἅψηται τὸ ἄκρον τοῦ ἱματίου αὐτοῦ ἄρτου ἢ ἑψέματος ἢ οἴνου ἢ ἐλαίου ἢ παντὸς βρώματος, εἰ ἁγιασθήσεται; Καὶ ἀπεκρίθησαν οἱ ἱερεῖς καὶ εἶπον· Οὐχί. Καὶ εἶπεν Ἀγγαῖος· Ἐὰν ἅψηται μεμιασμένος ἐπὶ ψυχῇ ἀπὸ πάντων τούτων, εἰ μιανθήσεται; Καὶ ἀπεκρίθησαν οἱ ἱερεῖς καὶ εἶπον· Μιανθήσεται. Καὶ ἀπεκρίθη Ἀγγαῖος καὶ εἶπεν· Οὕτως ὁ λαὸς οὗτος

1. Πρβλ. Ἀγγ. 2,9.

καὶ οὕτως τὸ ἔθνος τοῦτο ἐνώπιον ἐμοῦ, λέγει Κύριος, καὶ οὕτως πάντα τὰ ἔργα τῶν χειρῶν αὐτοῦ, καὶ ὃς ἐὰν ἐγγίσῃ ἐκεῖ, μιανθήσεται»

314 [489] Βούλεται μὲν αὐτοὺς ἐλέγχειν, ὡς τῶν σκευῶν τῶν ἱερατικῶν καὶ τῶν λοιπῶν δὴ τῶν τῇ τοῦ θείου θεραπείᾳ προσηκόντων ἀμελῶς καὶ προχείρως ἐφαπτομένους καὶ οὐ μετὰ τοῦ προσήκοντος δέους· ὑπὲρ οὗ δὴ τοῖς ἱερεῦσι προσαγαγεῖν τὴν ἐρώτησιν ταύτην προσέταξε τῷ Προφήτῃ, ἅτε ἐν ἐκείνοις ὂν τὸ τὰ τοιαῦτα ἐν ἀμελείᾳ ποιεῖσθαι ἢ μετὰ τοῦ προσήκοντος δέους. Κάλλιστα δὲ καὶ τὴν ἐρώτησιν ἀπὸ εὐτελῶν ἐποιήσατο, ἵνα μειζόνως τὸ κατὰ τὰ σκεύη τὰ ἅγια πλημμέλημα αὐξήσῃ. Λέγει τοίνυν, ὅτι, εἴ τις κρέας ἅγιον τὸ ἀπὸ θυσίας ἤ τινος προσφορᾶς ἡγιασμένον ἐν μέρει τινὶ τοῦ ἱματίου ἐμβάλῃ τοῦ οἰκείου, εἶτα τοῦτο δὴ τὸ ἄκρον ἑτέρου τινὸς ἅψεται οἴνου ἢ ἐλαίου ἢ ὅτου δήποτε τῶν βρωτῶν, ἆρα ἅγιον ἔσται τὸ τοιοῦτο διὰ τὴν τοῦ ἄκρου τοῦ ἱματίου ἁφήν, ἐν ᾧπερ ἀπέκειτο τὸ κρέας; Οἱ δὲ ἀκολούθως ἔφασαν, ὅτι μὴ ἅγιον γίνεται τὸ τοιοῦτο[1], ὡς οὐκ αὐτάρκως ἔχοντος τοῦ ἄκρου τοῦ ἱματίου διὰ τὸ ἐγκείμενον κρέας ἅγιον ἑτέρῳ βρωτῷ τὸν ἁγιασμὸν παρέχειν. Εἶτα πάλιν ἐρωτᾷ· ἐὰν δέ τις μεμιασμένος ἐφ' ὅτῳ δήποτε ἅψηται τῶν τοιούτων, μιαίνει ἄρα πάντως αὐτὰ ἢ οὐ; Οἱ δὲ ἔφασαν μιαίνειν[2].

315 Ἠβουλήθη δὲ διὰ τούτων εἰπεῖν, ὅτι ὥσπερ τὸ ἄκρον τοῦ ἱματίου οὐ διὰ τὸ ἐπικείμενον ἅγιον ἁγιάζειν δύναται τὸ προσεγγίζον, ὁ μεμιασμένος δὲ ἁπτόμενος τῶν τοιούτων μιαίνει πάντως αὐτά, οὕτω χρὴ νομίζειν καὶ ὑμᾶς ἁπτομένους προχείρως καὶ οὐ μετὰ τοῦ προσήκοντος σεβάσματος τῶν ἱερατικῶν σκευῶν ἢ τῶν ὅπως ποτὲ τῷ Θεῷ προσηκόντων, ὅτι οὐχ ὁ ἐκείνων ἁγιασμὸς ὑμᾶς ἁγιάζει, ὁ δὲ ὑμέτερος τρόπος μεμιασμένος ὢν ὕβριν προστρίβεται τοῖς ἁγίοις, εἴπερ οὖν αὐτῶν ἔξω τοῦ προσήκοντος ἐφαπτόμενοι φαίνοισθε. Ὅθεν καὶ ὁ Προφήτης ἀποκρίνεται, ὡς τοῦ Θεοῦ εἰπόντος, ὅτι τοιοῦτο δὴ καὶ τὸ παρ' ὑμῶν γινόμενόν ἐστιν, ὅταν ἅπτησθέ τινος τῶν ἐμοὶ προσηκόντων ἁγίων, ὥστε προσή-

---

1. Πρβλ. Ἀγγ. 2,12. **2.** Πρβλ. Ἀγγ. 2,13.

κειν ὑμᾶς εἰδέναι, ὅτι πᾶς ἐγγίζων ἐμοί — ἐγγίζειν γὰρ ἐμοὶ λέγω τὸ τῶν ἐμοὶ προσηκόντων τε καὶ ἀνακειμένων ἐφάπτεσθαι —, εἰ προχείρως καὶ ἐν ἀμελείᾳ καὶ καταφρονήσει τοῦτο ποιοίη, οὐ μόνον οὐθενὸς ἀπολαύει κέρδους ἐκ τῆς ἀφῆς, ἀλλὰ γὰρ καὶ μολύνεται προσαδικούμενος καὶ προσβλαπτόμενος, ὑπὲρ ὧν τῶν οὕτως ἁγίων ἥψατο προχείρως.

2,14 «Ἕνεκεν τῶν λημμάτων αὐτῶν τῶν ὀρθρινῶν ὀδυνηθήσονται ἀπὸ προσώπου πονηριῶν αὐτῶν· καὶ ἐμισεῖτε ἐν πύλαις ἐλέγχοντας»

«Λημμάτων αὐτῶν»[1], ἵνα εἴπῃ, ὧν ἐπελαμβάνοντο πράττοντες οὐ δεόντως· ὑπὲρ γὰρ ὧν, φησίν, ἐπεχειρεῖτε πράξεσιν ἀτόποις ὄρθριοι εἰς τοῦτο διανιστάμενοι καὶ μετὰ πάσης τὰ ἄτοπα τῆς σπουδῆς ἐπιτελοῦντες, τῇ βαρύτητι τῶν προσγεγονότων ὑμῖν περιπεπτώκατε κακῶν, καὶ πολλῷ γε πλέον ἐπειδὴ τὸν παρὰ τῶν Προφητῶν ἔλεγχον οὐκ ἐδέχεσθε, ἐδυσχεραίνετε δὲ πρὸς αὐτοὺς ἐπὶ ταῖς πύλαις ἑστῶτας, ὡς ἂν κοινὴν ἅπασι τοῖς εἰσιοῦσί τε καὶ ἐξιοῦσι τὴν ἀπὸ τῶν λεγομένων προσάγοιεν διόρθωσιν.

2,15-19 «Καὶ νῦν θέσθε δὴ ἐπὶ τὰς καρδίας ὑμῶν ἀπὸ τῆς ἡμέρας ταύτης καὶ ὑπεράνω πρὸ τοῦ θεῖναι λίθον ἐπὶ λίθον ἐν τῷ ναῷ Κυρίου, τίνες ἦτε· ὅτε ἐνεβάλλετε εἰς κυψέλην εἴκοσι σάτα, καὶ ἐγίνετο δέκα σάτα κριθῆς· καὶ εἰσεπορεύετο εἰς τὸ ὑπολήνιον ἐξαντλῆσαι πεντήκοντα μετρητάς, καὶ ἐγίνοντο εἴκοσι. Ἐπάταξα ὑμᾶς ἐν ἀφορίᾳ καὶ ἐν ἀνεμοφθορίᾳ καὶ ἐν χαλάζῃ πάντα τὰ ἔργα τῶν χειρῶν ὑμῶν, καὶ οὐκ ἐπεστρέψατε πρός με, λέγει Κύριος παντοκράτωρ. Τάξατε δὴ τὰς καρδίας ὑμῶν ἀπὸ τῆς ἡμέρας ταύτης καὶ ἐπέκεινα· ἀπὸ τῆς τετράδος καὶ εἰκάδος τοῦ ἐνάτου μηνὸς καὶ ἀπὸ τῆς ἡμέρας, ἧς ἐθεμελιώθη ὁ ναὸς Κυρίου, θέσθε ἐν ταῖς καρδίαις ὑμῶν, εἰ ἔτι ἐπιγνωσθήσεται ἐπὶ τῆς ἅλω καὶ εἰ ἔτι ἡ ἄμπελος καὶ ἡ συκῆ καὶ ἡ ῥόα καὶ τὰ ξύλα τῆς ἐλαίας τὰ οὐ φέροντα καρπόν, ἀπὸ τῆς ἡμέρας ταύτης εὐλογήσω».

316 [492] Παραθέσει πάλιν τῶν τε πρότερον, ὅτε περ ἠμέλουν τῆς οἰκοδομῆς τοῦ ναοῦ καὶ τῶν νῦν, ἐξότε περ σπουδάζειν ἤρξαντο

1. Ἀγγ. 2,14.

περὶ τὸ ἔργον, ἠβουλήθη δεῖξαι τῶν γεγονότων περὶ αὐτοὺς τὴν διαφορὰν καὶ ἐν ὅσῃ μὲν ἀμελοῦντες ἀφορίᾳ γεγόνεσαν, ὅσων δὲ ἀγαθῶν ἐν πείρᾳ κατέστησαν, ἐπειδὴ τῇ τοῦ ναοῦ προσέχειν οἰκοδομῇ προθυμίαν ἔσχον πολλήν. 'Αναλογίσασθε οὖν, φησίν, τὰ τῆς ἡμέρας ἀνώτερα, ὅτε οὔπω τῆς οἰκοδομῆς ἐφροντίζετε τοῦ ναοῦ, ἐν οἵοις ἦτε, ὅτι συνελέγετε μὲν δράγματα ἱκανὰ καρπὸν εἴκοσι σάτων ἀποδιδόναι, μόγις δὲ ἐξεδίδοτο δέκα ἐκ τοῦ τοὺς καρποὺς διεφθάρθαι. Καὶ μὴν καὶ τῆς ἀμπέλου καρποῦ συνελέγετε πρὸς πεντήκοντα μετρητῶν ἀρκοῦντα φοράν, καὶ μόγις ἐκομίζεσθε εἴκοσι διὰ τὸ κἀκεῖνα ἐξηράνθαι τῷ ἀέρι. Κἀγὼ μὲν ἐπήγαγον ὑμῖν πληγὰς ἀφορίας τε καὶ ἀνεμοφθορίας καὶ δὴ καὶ χαλάζῃ πάντας ὑμῶν ἠφάνισα τοὺς πόνους, ἐμένετε δὲ ἀκαμπεῖς καὶ πρὸς ἐκεῖνα[1]. 'Αλλὰ ταῦτα μὲν πρὸ τούτου φησίν· ἀναλογίσασθε δὲ ἐπ' ἐκείνοις οἷάπερ ὑμῖν ἀπὸ τῆς ἡμέρας ἐκείνης προσγέγονεν, ἐν ᾗπερ περὶ τὴν οἰκοδομὴν ἐσπουδάσατε τοῦ ναοῦ. Εὑρήσετε γὰρ οὔτε τὸν τῆς ἅλωνος καρπὸν οὔτε τὸν τῶν δένδρων παραθέσει τῶν τότε ἐπιγνωσθῆναι δυνάμενον. Πρότερον μὲν γὰρ ὑμῖν οὐδεὶς ἐξ αὐτῶν ἐδίδοτο καρπός, ἐξότε δὲ περὶ τὸν ναὸν ἐσπουδάσατε τὸν ἐμὸν πάντα εὐλογίας πληρώσας τὰ προσόντα ὑμῖν ἄφθονον ἔχειν ἐποίησα τῶν καρπῶν τὴν ἀπόλαυσιν[2]. Εἶτα τούτοις αὐτοὺς πάλιν προτρεψάμενος καὶ διεγείρας περὶ τὸ **317** ἔργον τῇ τε μνήμῃ τῶν παλαιῶν καὶ τῇ παραθέσει τῶν ὕστερον, διὰ τὴν πενίαν ἀμφιβάλλοντας ἔτι τὴν οἰκείαν παραθαῤῥύνει πάλιν καί φησιν οὕτως·

2,20-22 «Καὶ ἐγένετο λόγος Κυρίου ἐκ δευτέρου πρὸς 'Αγγαῖον τὸν προφήτην ἐν τῇ τετράδι καὶ εἰκάδι τοῦ μηνὸς λέγων· Εἶπον πρὸς Ζοροβαβὲλ τὸν τοῦ Σαλαθιὴλ ἐκ φυλῆς 'Ιούδα λέγων· Ἔτι ἅπαξ ἐγὼ σείω τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὴν θάλασσαν καὶ τὴν ξηρὰν καὶ καταστρέψω θρόνους βασιλέων καὶ ἐξολοθρεύσω δύναμιν βασιλέως ἐθνῶν καὶ καταστρέψω ἅρματα καὶ ἀναβάτας, καὶ καταβήσονται ἵπποι καὶ ἀναβάται αὐτῶν ἕκαστοι ἐν ῥομφαίᾳ πρὸς τὸν ἀδελφὸν αὐτοῦ»

Τὰ αὐτὰ τοῖς προτέροις λέγει. Τοῦτο γὰρ δηλοῖ τό «καὶ ἐγένε-

1. Πρβλ. 'Αγγ. 2,15-17. 2. Πρβλ. 'Αγγ. 2,18-19.

το λόγος Κυρίου ἐκ δευτέρου πρὸς Ἀγγαῖον»[1]. Καίτοι γε φαίνεται ἐν τοῖς ἀνωτέροις πολλάκις ἀποκάλυψίν τε θείαν δεξάμενος ὁ Προφήτης καὶ κατὰ ταύτην διαλεχθεὶς τῷ λαῷ, ἀλλὰ τοῦτό φησιν «ἐκ δευτέρου», ὅτι τὰ περὶ τοῦ Γὼγ νῦν πάλιν αὐτὸς ἐπαγγέλλεται, ἵνα μὴ διὰ τὸ μέγεθος ἀπιστῶσι τῷ λεγομένῳ, ἀναμφίβολον δὲ ἔχωσι τὴν γνώμην ἐκ τοῦ μὴ **[493]** μόνον ἅπαξ, ἀλλὰ καὶ δεύτερον ἐπαγγείλασθαι τὰ αὐτὰ τὸν Θεόν. Εἶπε γὰρ αὐτῷ, φησίν, ὅτι μόνον οὐχὶ συσσείσας ἅπαντα καταστροφὴν ἐργάσομαι πολλῶν βασιλέων θρόνοις βασιλικοῖς κοσμουμένων, τὴν δύναμίν τε πᾶσαν αὐτῶν ἀφανίζων καὶ καταστρέφων τὰ ἅρματα σὺν τοῖς ἐπαναβεβηκόσιν αὐτοῖς, ὥστε εἰς ἀλλήλους αὐτοὺς συμπεσόντας τούς τε ἵππους καὶ τοὺς ἐπιβεβηκότας τῶν ἵππων ἀλλήλων γενέσθαι σφαγέας, καὶ πολὺν ἀποτελεσθῆναι τὸν φόνον, ἀναιρουμένων αὐτῶν ὑπ' ἀλλήλων[2]. Ὅπερ οὖν ἐργάσομαι ὥστε δῆλον ἐξ ἁπάντων γενέσθαι, ὅτι οὐ τῆς ὑμετέρας ἐστὶ χειρὸς ἔργον ἡ τροπὴ τοῦ πολέμου καὶ ἡ νίκη, ὑπὸ δὲ τῆς δυνάμεως ἀποτετέλεσται τὸ πᾶν τῆς ἐμῆς.

2,23 «Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, λέγει Κύριος παντοκράτωρ, λήψομαί σε Ζοροβαβὲλ τὸν τοῦ Σαλαθιὴλ τὸν δοῦλόν μου, λέγει Κύριος, καὶ θήσομαί σε ὡς σφραγῖδα, διότι σε ᾑρέτισα, λέγει Κύριος παντοκράτωρ»

318 Τότε δή σε, φησίν, ὦ Ζοροβαβέλ, τῆς οἰκείας ἀξιώσας βοηθείας ἡγούμενον τοῦ Ἰσραηλιτικοῦ λαοῦ πάντων κρατῆσαι παρασκευάσω, ὥστε ἐξ αὐτῶν δῆλον γενέσθαι τῶν ἔργων, ὅτι ψήφῳ τῇ ἐμῇ βασιλεύς τε ᾕρησαι βεβαίως καὶ ἀρεσκείᾳ τῇ ἐμῇ εἰς τὴν ἀξίαν προκεχείρισαι ταύτην, παντὸς συνέντος ἂν ῥᾳδίως, ὅτι δυνηθῆναί σε ταῦτα οὐδαμῶς οἷόν τε ἦν, εἰ μὴ κατὰ γνώμην ἐμὴν τὸ βασιλεύειν ἔχων ἐμῇ τῇ ῥοπῇ καὶ τὴν τοσαύτην κατεπράξω νίκην. Ἐπειδὴ γὰρ ἡ σφραγὶς ἐπιτιθεμένη ἀσφάλειάν τινα τοῖς ἐμβαλλομένοις παρέχειν δοκεῖ, τοῦτο λέγει τό «θήσομαί σε ὡς σφραγῖδα»[3], ἀντὶ τοῦ, δείξω σε ἀσφάλειαν καὶ βεβαίωσιν ὄντα

---

1. Ἀγγ. 2,20. **2.** Πρβλ. Ἀγγ. 2,21-22. **3.** Ἀγγ. 2,23.

παντὸς τοῦ λαοῦ ἅτε τοσούτων τῇ ἡγεμονίᾳ τυγχάνοντος τῇ σῇ, ἐπειδὴ ψήφῳ πρὸς τοῦτο ᾕρησαι τῇ ἐμῇ. Οὕτως καὶ ἐν τοῖς Εὐαγγελίοις λέγει· «τοῦτον γὰρ ὁ Πατὴρ ἐσφράγισεν ὁ Θεός»[1], ἀντὶ τοῦ, τοῦτον βεβαίως ἀπέδειξε πρόξενον ἅπασιν ἀνθρώποις τῶν μεγίστων ἀγαθῶν. Καὶ ὁ μακάριος δὲ Παῦλος· «ἡ γὰρ σφραγὶς τῆς ἐμῆς ἀποστολῆς ὑμεῖς ἐστε»[2], ἀντὶ τοῦ, βεβαιοῦτέ μοι τὴν ἀποστολὴν ὑμεῖς οἱ πεπιστευκότες. Τὸν αὐτὸν οὖν τρόπον κἀνταῦθα λέγει τό, «θήσομαί σε ὡς σφραγῖδα»[3], ἀντὶ τοῦ, βεβαίαν ἀποδείξω τὴν βασιλείαν τὴν σὴν ἐπ' ἀσφαλεῖ ἁπάντων τῶν οἰκείων ἀρεσκείᾳ προβεβλημένην τῇ ἐμῇ. Εἰκότως δὲ ἁπανταχοῦ κοινῇ πρός τε τὸν Ζοροβαβὲλ καὶ τὸν Ἰησοῦν διαλεγόμενος ἐνταῦθα πρὸς τὸν Ζοροβαβὲλ μόνον ἐποιήσατο τὸν λόγον, ἐπειδή πως τοῦ πολέμου τὴν ἡγεμονίαν τῷ βασιλεῖ μάλιστα προσήκειν ἐχρῆν.

---

1. Ἰω. 6,27. **2.** Α' Κορ. 9,2. **3.** Ἀγγ. 2,23.

ΕΡΜΗΝΕΙΑ ΖΑΧΑΡΙΟΥ ΤΟΥ ΠΡΟΦΗΤΟΥ

319 [493] Κατὰ τὸν αὐτὸν καιρὸν Ἀγγαίῳ τῷ μακαρίῳ προφήτῃ δῆλός ἐστι καὶ ὁ μακάριος προφητεύων Ζαχαρίας. Ἐν ἔτει **[496]** γὰρ δευτέρῳ Δαρείου, καθὼς ἐξ αὐτῆς ἐστι μαθεῖν τῆς θείας Γραφῆς, ἐκεῖνός τε κατὰ ἀποκάλυψιν θείαν ἄρξασθαι λέγει τῆς προφητείας καὶ μὴν καὶ οὗτος ὁμοίως, ὡς μετὰ τὴν ἐπάνοδον τοῦ Ἰσραηλιτικοῦ λαοῦ ἀπὸ τῆς Βαβυλῶνος εἰς τὴν Ἰουδαίαν ἐπαναχθέντος ἀμφοτέρους προδήλως φαίνεσθαι ποιουμένους τὴν προφητείαν. Κύρου γάρ, τοῦ πρώτου Περσῶν τε καὶ Μήδων κατὰ ταὐτὸν βασιλεύσαντος, ἐπανελθεῖν αὐτοῖς εἰς τὴν οἰκείαν ἐπιτρέψαντος χώραν, ἀνελήλυθε μὲν πλῆθος εἴς τε τὴν Ἱερουσαλὴμ καὶ τὴν Ἰουδαίαν οὐκ ὀλίγον, ἡγουμένου τοῦ Ζοροβαβέλ, οἳ καὶ τοὺς θεμελίους κατεβάλοντο τοῦ ναοῦ καὶ τὸ θυσιαστήριον ἀνήγειραν ἐν αὐτῷ[1]. Ὡς δὲ τὸ ἔργον ἀχθῆναι πρὸς πέρας ἐκωλύετο νῦν μὲν διὰ τὴν τῶν ἐνοχλούντων αὐτοῖς κακίαν, αὖθις δὲ διὰ τὴν αὐτῶν ἐκείνων ῥᾳθυμίαν, Ἀγγαῖος μὲν ὁ μακάριος προφήτης κατὰ θείαν ἀποκάλυψιν ἐμέμφατό τε αὐτοῖς περὶ τῆς ῥᾳθυμίας καὶ μοχθηρίᾳ γνώμης ἀμελοῦντας ἐλέγξας τοῦ ἔργου, ἀφ᾽ ὧν περὶ μὲν τοὺς ἑαυτῶν ἐσπούδαζον οἴκους, ὅπως ἂν αὐτοὺς μὴ ποιοῖεν μόνον ἀλλὰ καὶ μετὰ πολλῆς ἐργάζοιντο τῆς εὐπρεπείας, τοῦ δὲ οἴκου κατημέλουν τοῦ θείου, διήγειρεν ἅπαντας ἐπὶ τὸ ἔργον, ὡς αὐτὴ δείκνυσιν ἡ τοῦ Προφήτου βίβλος.

Ζαχαρίας δὲ ὁ μακάριος κατὰ ἀποκάλυψιν θείαν καὶ αὐτὸς ὁμοίως βεβαιοῖ μὲν ταῖς οἰκείαις προρρήσεσι τὴν ἐπάνοδον τοῦ λαοῦ, πιστοῦται δὲ τὸ καὶ τὴν Ἱερουσαλὴμ ἐπὶ τῆς οἰκείας ἔσεσθαι πάλιν εὐπρεπείας βασιλέως τε ἐν αὐτῇ τοῦ κατὰ θείαν γεγενημένου ψῆφον καὶ τῆς ἐκεῖθεν ἠξιωμένου ῥοπῆς διέποντός τε τὰ **320** κατ᾽ αὐτὴν καὶ προμαχοῦντος ἁπάντων εἰς τοὺς κατὰ τῶν ἀλλοτρίων πολέμους τῆς ἱερωσύνης τε πάλιν μετὰ τῆς παλαιᾶς φαιδρότητος τὸν οἰκεῖον ἀπολαβούσης κόσμον, ὡς ἂν διὰ τούτων καὶ τοὺς ἀνεληλυθότας ἤδη πείσειεν, βεβαίαν αὐτοῖς ἐσομένην

1. Πρβλ. Β´ Παρλ. 36,23. Β´ Ἔσδρ. 1,3.

ἡγεῖσθαι τὴν ἐπὶ τῶν τόπων οἴκησιν, περὶ ἧς εἰκὸς ἦν αὐτοὺς καὶ ἐπανεληλυθότας ἀμφίβολον ἔτι τὴν γνώμην ἔχειν, εἰ μενοῦσι βεβαίως εἴτε διὰ τὴν γεγενημένην βαρύτητα τῆς αἰχμαλωσίας, ἣν οὐκ ἄν ποτε ἤλπισαν ὑπομένειν, εἴτε καὶ διὰ τὸ τῆς ἐπανόδου παράδοξον, καὶ δὴ καὶ ἑτέρους τῶν ἐπὶ τῆς αἰχμαλωσίας ὄντων ἔτι διδάξειεν εἰς τὴν Ἰουδαίαν ἐπανελευσομένους, ὃ δὴ μάλιστα καὶ τοῖς ἀνελθοῦσι τοῦ βεβαίου τῆς ἐπανόδου πίστις ἐγίνετο.

Φαίνεται δὲ πολλάς τινας καὶ διαφόρους ἀποκαλύψεις βλέπων, ὧν ἑκάστης τὴν δύναμιν ἐξηγεῖται. Μηνύει δὲ καὶ τῶν περὶ τὸν Γὼγ τὴν ἔφοδον, τήν τε ἀπώλειαν αὐτῶν ἐσομένην παντελῶς, καὶ ὅτι παραδόξως καὶ παρὰ πᾶσαν ἀνθρωπίνην ἐλπίδα κρατήσουσιν αὐτῶν Ἰουδαῖοι ὑπὸ τῷ Ζοροβαβὲλ βασιλευόμενοί τε καὶ στρατηγούμενοι. Μέμνηται δὲ καὶ τῶν μετ' ἐκεῖνο προσεσομένων αὐτοῖς λυπηρῶν, ἃ κατὰ τοὺς τῶν Μακκαβαίων αὐτοῖς ἐπεγένετο χρόνους ὑπὸ τῶν διαδόχων τῆς Μακεδονικῆς βασιλείας. Θαυμάζειν δὲ οὐ προσῆκεν, εἴ τινα καὶ γεγονότα ἤδη ὡς ἐσόμενα δι' ἀποκαλύψεως δηλοῖ, ὡς ὅταν λέγῃ, ὅτι τέσσαρα κέρατα διασκορπίσαντα τὸν Ἰσραὴλ εἶδε συντριβόμενα[1]· ταῦτα γὰρ εὔδηλον ὅτι οὐκ ἔσεσθαι ἤμελλεν, ἀλλ' ἐγεγόνει. Εἰ μὲν γὰρ τὸν Ἀσσύριον καὶ Βαβυλώνιον καὶ Μῆδον καὶ Πέρσην σημαίνει διὰ τῶν τεσσάρων κεράτων, ὡς ὁ ἐνίων βούλεται **[497]** λόγος πρόδηλον μέν, ὅτι καὶ Ἀσσύριοι καὶ Βαβυλώνιοι δεδώκεσαν ἤδη δίκας κατὰ τὸν καιρὸν ἐκεῖνον. Μήδους δὲ Κῦρος καθεῖλεν, μεθ' ὃν τέταρτος γέγονε Δαρεῖος· παρὰ Περσῶν δὲ οὐδὲ γέγονέ τι χαλεπὸν τοῖς Ἰσραηλίταις, τοὐναντίον μὲν οὖν εὖ ὑπὸ τῆς βασιλείας ἔπαθον ἐκείνης, πρότερον μὲν αὐτοὺς Κύρου τοῦ πρώτου βασιλεύσαντος ἀφέντος τῆς αἰχμαλωσίας[2], μετ' ἐκεῖνο δὲ Δαρείου τοῖς λοιποῖς τῶν Ἰουδαίων τοῦ ἀνελθεῖν εἰς τὰ οἰκεῖα παρασχόντος τὴν ἄδειαν. Εἰ δὲ καὶ ἕτερά τις βούλοιτο σημαίνεσθαι τὰ **321** τέσσαρα κέρατα κακῶς διατεθεικότα τοὺς Ἰσραηλίτας ἐπὶ τοῦ τῆς αἰχμαλωσίας καιροῦ, πρόδηλον ὅτι κἀκεῖνα πέρας εἰλήφει. Ἀλλ' ἔοικεν ὁ Προφήτης τῶν τοιούτων διὰ τοῦτο μνημονεύειν, ὡς ἂν καὶ τῆς θείας χάριτος διὰ τοῦτο

1. Πρβλ. Ζαχ. 1,19. **2.** Πρβλ. Β' Παρλ. 36,23. Ἔσδρ. 1,3.

νῦν αὐτῷ τοῦτο δεικνυούσης, ἵν' ἐκ τῆς ἀποκαλύψεως τῆς θείας αὐτός τε βεβαίαν ἔχῃ τῶν γεγονότων τὴν πίστιν, καὶ τοὺς ἀκούοντας δὲ ἀκριβῶς πεπεῖσθαι διδάσκῃ, ὅτι μένει μὲν ἡ τῶν λελυπηκότων αὐτοὺς τιμωρία, μένει δὲ καὶ αὐτοῖς βέβαια τὰ τῆς δοθείσης εὐεργεσίας. Εἴρηται δὲ ταῦτα ἡμῖν οὐχ ἁπλῶς, ἀλλ' ἵνα μὴ ἐπὶ τῆς κατὰ μέρος ἑρμηνείας ὁρῶντές τινα μηνυόμενα ὡς ἂν ἐσόμενα ἃ γέγονεν ἤδη θαυμάζωμεν ἢ διαπορῶμεν περὶ τοῦ σχήματος τοῦ λεγομένου. Τὰ μὲν δὴ τῆς ὑποθέσεως ἐν τούτοις, κατὰ μέρος δὲ προσεκτέον λοιπόν, καθὼς ἂν ἡ θεία χάρις διδῷ.

1,1 «Ἐν τῷ ὀγδόῳ μηνὶ ἔτους δευτέρου ἐπὶ Δαρείου ἐγένετο λόγος Κυρίου πρὸς Ζαχαρίαν τὸν τοῦ Βαραχίου υἱὸν Ἐδδὼ τὸν προφήτην λέγων»

Τὸν μὲν χρόνον ἐδήλωσεν ἐν τούτοις, καθ' ὃν ἠξιώθη τῆς ἀποκαλύψεως τῆς θείας[1]. Τίνα δέ, ἅπερ ἐκελεύσθη πρὸς τὸν λαὸν εἰπεῖν, ἑξῆς ἐπάγει.

1,2 «Ὠργίσθη Κύριος ἐπὶ τοὺς πατέρας ὑμῶν ὀργὴν μεγάλην»

Πρέπον τῷ καιρῷ τὸ προοίμιον ἐποιήσατο ὁ Προφήτης. Ἐπειδὴ γὰρ νεαρὰν καὶ ἔναυλον τῶν τῆς αἰχμαλωσίας κακῶν εἶχον τὴν μνήμην, ἄρτι τε αὐτῆς ἀπαλλαγέντες καὶ εἰς τὰ οἰκεῖα ἐπανελθεῖν δυνηθέντες, εἰκότως πρὸ παντὸς λόγου τῆς συμφορᾶς αὐτοὺς ὑπομιμνήσκει τῆς ἀρτίως γεγενημένης, ὡς ἂν τῇ μνήμῃ τῶν γεγονότων φυλάττοιντο εἰς πεῖραν τῶν αὐτῶν καταστῆναι πάλιν. Ἴστε γάρ, φησίν, ὀργισθεὶς ἡλίκην τοῖς πατράσι τοῖς ὑμετέροις ἐπήγαγον τιμωρίαν[2] οἵων τε αὐτοὺς διὰ τὴν ἀπείθειαν ἐν πείρᾳ κατέστησα κακῶν, ἀφελὼν μὲν τῆς γῆς τῆς οἰκείας, ἀπαγαγὼν δὲ αἰχμαλώτους εἰς γῆν ἀλλοτρίαν, ἣν οὔπω πρότερον εἶδον. Τί οὖν;

1,3-4 «Καὶ ἐρεῖς πρὸς αὐτούς, Τάδε λέγει Κύριος παντοκράτωρ, Ἐπιστρέψατε πρός με, λέγει Κύριος τῶν δυνάμεων, καὶ ἐπιστραφήσομαι πρὸς ὑμᾶς, λέγει Κύριος τῶν δυνάμεων. Καὶ μὴ γί-

---

1. Πρβλ. Ζαχ. 1,1. **2.** Πρβλ. Ζαχ. 1,2.

νεσθε καθὼς οἱ πατέρες ὑμῶν, οἷς ἐνεκάλεσαν αὐτοῖς οἱ προφῆται οἱ ἔμπροσθεν λέγοντες, Τάδε λέγει Κύριος παντοκράτωρ, Ἀποστρέψατε δὴ ἀπὸ τῶν ὁδῶν ὑμῶν τῶν πονηρῶν καὶ ἀπὸ τῶν ἐπιτηδευμάτων ὑμῶν τῶν πονηρῶν, καὶ οὐκ ἤκουσαν καὶ οὐ προσέσχον τοῦ εἰσακοῦσαί μου, λέγει Κύριος παντοκράτωρ»

322 Ἀλλὰ νῦν γοῦν ἀποστάντες τῆς **[500]** μιμήσεως τῶν Πατέρων τῶν οἰκείων πρός με ἀποβλέψατε[1], καὶ πρὸς τὰ παρ' ἐμοῦ λεγόμενα ὑμῖν καὶ συμβουλευόμενα τεταμένον ἔχετε τὸ ὄμμα, ὡς ἂν καὶ αὐτὸς ἐφορᾶν τε ὑμῖν καὶ δι' ἐπιμελείας ἔχειν τὰ καθ' ὑμᾶς ἑλοίμην, φυλάξασθε δὴ πᾶσαν μίμησιν τὴν πρὸς τοὺς Πατέρας τοὺς ὑμετέρους, οἳ πολλὴν καὶ συχνὴν παρὰ τῶν Προφητῶν τῶν πρότερον γενομένων συμβουλὴν δεξάμενοι καὶ παραίνεσιν, ὥστε τῆς κακίας ἀποστῆναι τῆς οἰκείας καὶ κερδᾶναι τὴν ὑπὲρ τῶν κακῶς πεπραγμένων αὐτοῖς τιμωρίαν, οὔτε προσέχειν οὔτε λόγον τινὰ ποιεῖσθαι τῶν διδασκόντων ἐβούλοντο[2].

1,5-6 «Οἱ πατέρες ὑμῶν ποῦ εἰσι; καὶ οἱ προφῆται μὴ εἰς τὸν αἰῶνα ζήσονται; πλὴν τοὺς λόγους μου καὶ τὰ νόμιμά μου δέχεσθε, ὅσα ἐγὼ ἐντέλλομαι ἐν πνεύματί μου τοῖς δούλοις μου τοῖς προφήταις, οἳ κατέλαβον τοὺς πατέρας ὑμῶν;»

Καίτοι γε καλῶς ἂν ἔχοι κἀκεῖνο ὑμᾶς συλλογίσασθαι, ὅτι οὔτε οἱ Πατέρες ὑμῶν εἰσιν ἔτι οὔτε οἱ Προφῆται[3], προκατελάβετο δὲ κἀκείνους καὶ τούτους ὁ κοινὸς τῆς φύσεως θάνατος, ἐπὶ πλεῖστον ἐκτεταμένην ἔχειν τὴν οἰκείαν ζωὴν οὐκ ἐῶν. Ἀλλ' οἱ μὲν ἀπεληλύθασι τὴν ἐκ τῆς ἀπειθείας δεξάμενοι τιμωρίαν, οἱ Προφῆται δὲ καὶ παυσάμενοι τοῦ παρόντος βίου τῶν οἰκείων ῥημάτων ἔργοις ἐπέδειξαν τὴν ἀλήθειαν, ἐπεὶ καὶ τετελευτηκότων αὐτῶν οὐθὲν ἧττον ἅπερ εἶπον εἰς πέρας ἐξήγετο, ἅτε κατ' ἐμὴν εἰρημένα γνώμην· πρὸς δὴ τοῦτο ἀφορῶντας προσήκοι ἂν μὴ πάρεργα ποιεῖσθαι τὰ παρ' ἐμοῦ διὰ τῶν Προφητῶν λεγόμενα, δέχεσθαι δὲ πάντα[4] **323** ὅσαπερ ὑμῖν διὰ πνευματικῆς λέγουσι τῆς χά-

---

1. Πρβλ. Ζαχ. 1,3. **2.** Πρβλ. Ζαχ. 1,4. **3.** Πρβλ. Ζαχ. 1,5. **4.** Πρβλ. Ζαχ. 1,6.

ριτος, ἐπεὶ μήτε ψευσθῆναι οἷόν τέ τι τῶν λεγομένων παρ' αὐτῶν, μήθ' ὑμῖν ἀκίνδυνον ἀμελεῖν ἐθέλουσι τῶν παρ' αὐτῶν λεγομένων. Ἐπὶ δὴ τούτοις εἰκότως κατανυγέντες τοῖς ῥήμασιν οἱ τοῦ λαοῦ, ἅτε τῶν πραγμάτων τῇ τῶν λεγομένων ἀληθείᾳ μαρτυρούντων αὐτάρκως, ἀπόκρισιν ἐποιήσαντο σαφῆ τῆς εὐγνωμοσύνης ἑαυτῶν παρεχόμενοι τὴν ἀπόδειξιν·

1,6 «Καὶ ἀπεκρίθησαν γάρ, φησίν, καὶ εἶπον, Καθὼς παρατέτακται Κύριος παντοκράτωρ τοῦ ποιῆσαι ἡμῖν κατὰ τὰς ὁδοὺς ἡμῶν καὶ κατὰ τὰ ἐπιτηδεύματα ἡμῶν, οὕτως ἐποίησεν ἡμῖν»

Τό «παρατέτακται»[1] παρετέτακτο λέγει. Οὐ γὰρ περὶ παρόντων διαλέγεται ἀλλὰ περὶ τῶν γεγονότων ἤδη. Ὁμολογοῦμέν φησιν, ὅτι οἷάπερ ὁ Θεὸς ἀπεφήνατο γενέσθαι περὶ ἡμᾶς ἀνάλογον οἷς ἐπράττομεν ἐκβαλὼν τὴν ἀπόφασιν, τοιαῦτα δὴ καὶ πεπόνθαμεν, ὥστε σφόδρα ἡμᾶς πεπεῖσθαι, ὅτι ἀναντίῤῥητος τῶν παρὰ Θεοῦ λεγομένων ἡ ἀλήθεια, καὶ οὐκ ἀκίνδυνον ἡμῖν ἀμελεῖν βουλομένοις τῶν παρ' αὐτοῦ λεγομένων. Τούτων οὕτως εἰρημένων ἀποκάλυψιν λοιπὸν ὁ Προφήτης διηγεῖται δειχθεῖσαν αὐτῷ παρὰ τοῦ Θεοῦ, ἀφ' ἧς αὐτός τε ἀκριβῆ τῶν περὶ τὸν λαὸν ἀγαθῶν τὴν πίστιν ἐλάμβανε καὶ τοῖς ἀκούουσι θαῤῥούντως εὐηγγελίζετο τὰ φαινόμενα. Λέγει δὲ οὕτως.

1,7 «Τῇ τετράδι καὶ εἰκάδι τῷ ἑνδεκάτῳ μηνί, οὗτός ἐστιν ὁ μὴν Σαβάτ, ἐν δὲ τῷ δευτέρῳ ἔτει ἐπὶ Δαρείου ἐγένετο λόγος Κυρίου πρὸς Ζαχαρίαν τὸν τοῦ Βαραχίου υἱὸν Ἐδδὼ τὸν προφήτην λέγων»

Τό «ἐγένετο λόγος Κυρίου»[2], ἀντὶ τοῦ, ἀποκαλύψεως ἠξιώθην θείας, ὅθεν τὴν ἀποκάλυψιν λέγων λοιπόν.

1,8 «Ἑώρακα», φησίν, «τὴν νύκτα»

Οὐ **[501]** γὰρ ὁ λόγος τοῦ Κυρίου, οὐδ' ὁ Κύριος ἤμελλε λέγειν «ἑώρακα τὴν νύκτα»[3], ἀλλὰ δηλονότι ὁ Προφήτης φησὶ δι' ἐκείνου τοίνυν **324** δηλώσας ἀποκάλυψιν αὐτῷ γεγενῆσθαι θείαν, ἐν τού-

---

1. Ζαχ. 1,6. **2.** Ζαχ. 1,7. **3.** Ζαχ. 1,8.

τοις τὴν ἀποκάλυψιν τίς ἐστι διηγεῖται. Διὸ λέγει «ἑώρακα τὴν νύκτα» ἀντὶ τοῦ εἶδον ἀποκάλυψιν τοιάνδε. Εἶτα καὶ λέγει τοιαύτην ἥτις ἐστίν.

1,8-11 «Καὶ ἰδοὺ ἀνὴρ ἐπιβεβηκὼς ἐπὶ ἵππον πυῤῥόν, καὶ οὗτος εἱστήκει ἀνὰ μέσον τῶν ὀρέων τῶν κατασκίων, καὶ ὀπίσω αὐτοῦ ἵπποι πυῤῥοὶ καὶ ποικίλοι καὶ λευκοί. Καὶ εἶπον, Τί οὗτοι, Κύριε, καὶ εἶπε πρός με ὁ ἄγγελος ὁ λαλῶν ἐν ἐμοί· Ἐγὼ δείξω σοι τί ἐστι ταῦτα. Καὶ ἀπεκρίθη ὁ ἀνὴρ ὁ ἐφεστηκὼς ἀνὰ μέσον τῶν ὀρέων καὶ εἶπε πρός με, Οὗτοί εἰσιν οὓς ἐξαπέστειλε Κύριος περιοδεῦσαι τὴν γῆν. Καὶ ἀπεκρίθησαν τῷ ἀγγέλῳ Κυρίου τῷ ἐφεστῶτι ἀνὰ μέσον τῶν ὀρέων καὶ εἶπον· Περιωδεύσαμεν τὴν γῆν πᾶσαν, καὶ ἰδοὺ πᾶσα ἡ γῆ κατοικεῖται καὶ ἡσυχάζει»

Εὔδηλον ὅτι πάντα δὴ τὰ τῷ Προφήτῃ δειχθέντα γνωρίσματά τινων ὑπῆρχε πραγμάτων. Ὡς γὰρ ὁ Ἰωσὴφ εἶδε δράγματα καὶ ἥλιον καὶ σελήνην καὶ ἀστέρας[1], ἕκαστον δὲ τούτων πράγματός τινος ἐσομένου δήλωσιν εἶχεν, καὶ ὁ Φαραὼ στάχυάς τε καὶ βόας τοὺς μὲν εὐπαθεῖς τοὺς δὲ λεπτούς[2], ἦν δὲ καὶ ἐν τούτοις ἕτερα τὰ ἐκ τῶν δεικνυμένων σημαινόμενα[3], τὸν αὐτὸν δὴ τρόπον καὶ ὁ Προφήτης ταῦτα μὲν δι' ἀποκαλύψεως ὁρᾷ θείας, ἕκαστον δὲ τῶν δεικνυμένων αὐτῷ σημεῖόν τι καὶ δήλωσιν πράγματος εἶχεν. Οὕτω καὶ ὁ μακάριος Πέτρος εἶδε σινδόνα ἀπ' οὐρανοῦ καταφερομένην μεστὴν παντοδαπῶν ζώων καθαρῶν τε καὶ ἀκαθάρτων[4], τὰ φαινόμενα δὲ ἑτέρων τινῶν δήλωσιν εἶχεν. Τὸν αὐτὸν δὴ τρόπον καὶ ὁ μακάριος Ζαχαρίας τὴν ἀποκάλυψιν διηγούμενος λέγει πρὸ τῶν ἄλλων, ὅτι «ἄνδρα εἶδεν ἐπὶ ἵππον ἐπιβεβηκότα πυῤῥόν, ὃς ἀνὰ μέσον τῶν ὀρέων εἱστήκει τῶν κατασκίων»[5].

325 Πολλῆς δὴ πλανῆς καὶ ἀνοίας ἐστὶ μεστὸν καὶ οὐδὲ ἀσεβείας ἀφεστὸς τὸ παρά τινων λεγόμενον ὅτι τὸν υἱὸν ἑώρα τοῦ Θεοῦ, ἐνταῦθα δήλου γε ὄντος, ὅτι τῶν πρὸ τῆς τοῦ Δεσπότου Χριστοῦ παρουσίας οὐδεὶς ἠπίστατο Πατέρα καὶ Υἱὸν οὐ Πατέρα Θεὸν Υἱοῦ Θεοῦ Πατέρα, οὐχ Υἱὸν Θεὸν Υἱὸν Πατρὸς Θεοῦ

1. Πρβλ. Γεν. 37,6-7. **2.** Πρβλ. Γεν. 37,9. **3.** Πρβλ. Γεν. 41,1-7. **4.** Πρβλ. Πράξ. 10,11-12, 14. **5.** Ζαχ. 1,8.

τοῦτο ὄντα ὅπερ ἐστὶν ὁ Πατήρ, ἅτε καὶ ὄντα ἐξ αὐτοῦ. Ἐπειδὴ Πατρὸς μὲν ὀνομασία καὶ Υἱοῦ, **[504]** ἐπὶ τῆς Παλαιᾶς ἦν Διαθήκης, Πατρὸς μὲν κοινῶς κατὰ κηδεμονίαν τοῦ Θεοῦ λεγομένου τῶν τῆς ἐκεῖθεν ἐπιμελείας ἀξιουμένων ἀνθρώπων, υἱῶν δὲ τῶν ἐχόντων τι πλέον κατὰ οἰκείωσιν Θεοῦ· Πατέρα δὲ Θεόν, ὥσπερ οὖν ἔφην ἤδη, Υἱοῦ Θεοῦ καὶ Υἱὸν Θεὸν Θεοῦ Πατρὸς ἠπίστατο τῶν τότε καθάπαξ οὐδείς. Θεὸν γὰρ καὶ κτίσιν μόνον ᾔδεσαν οἱ πρὸ τῆς τοῦ Δεσπότου Χριστοῦ παρουσίας παιδευόμενοι τὴν εὐσέβειαν, Θεὸν μὲν τὸν ἀίδιον γνωρίζοντες οὐσίαν καὶ πάντων αἰτίαν, κτίσιν δὲ πάντα συντόμως εἰπεῖν τὰ ὑπ' αὐτοῦ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παρεληλυθότα[1]. Καὶ τούτου γε ἀπόδειξις αὐτάρκης ἐκ τῶν μακαρίων Ἀποστόλων γένοιτο ἄν, οἳ ἐπὶ τῆς τοῦ Δεσπότου Χριστοῦ παρουσίας ἐπὶ μακρῷ τῷ χρόνῳ συγγεγονότες αὐτῷ Χριστὸν μὲν αὐτὸν ὡμολόγουν ἐγνωκότες διὰ πολλῆς διδασκαλίας, Υἱὸν δέ, καθ' ὃν ἔφην Λόγον[2], Θεοῦ οὐκ ἠπίσταντο, πλὴν ὅσον κατὰ οἰκείωσιν ἔλεγον Θεοῦ Υἱὸν τὸν Χριστὸν κατὰ τὸ τῶν πρόσθεν ἔθος Ἁγίων τε καὶ δικαίων. Ἐντεῦθεν ὁ Φίλιππος λέγει πρὸς τὸν Κύριον, «δεῖξον ἡμῖν τὸν πατέρα σου, καὶ ἀρκεῖ ἡμῖν»[3], οὐκ ἄν γε τοῦτο εἰπών, εἰ ἠπίστατο, τίς δὲ ὁ Πατήρ· ἠπίστατο γὰρ πάντως, ὡς καὶ ἀθέατον ἡ θεία φύσις, ὅθεν καὶ ὁ Κύριος λέγει πρὸς αὐτόν, «τοσοῦτον χρόνον μεθ' ὑμῶν εἰμι καὶ οὐκ ἔγνωκάς με, Φίλιππε;»[4]. Δεικνὺς ὅτι οὐδὲ αὐτὸν ἠπίστατο, ὃν εἰδέναι ᾤετο, καὶ τούτου γε ἕνεκεν καὶ τὸν Πατέρα ἰδεῖν αἰτεῖ πράγματος ἐφιέμενος ἀδυνάτου· ἐπάγει γοῦν **326** Πατέρα ἰδεῖν αἰτεῖ πράγματος ἐφιέμενος ἀδυνάτου· ἐπάγει γοῦν, «ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν πατέρα»[5], δεικνὺς ὅτι κατὰ τὴν θεότητα τοῦτό ἐστιν ὅπερ ὁ Πατήρ, ἀθέατος ὁμοίως ἐκείνῳ, καὶ ὄψις αὐτὴ ἐκείνου ἡ καὶ τούτου. Καὶ ἑτέρωθι δὲ σαφέστερον πρὸς αὐτοὺς ὁ Κύριος λέγει, «ταῦτα ἐν παροιμίαις λελάληκα ὑμῖν· ἀλλ' ἔρχεται ὥρα ὅτε οὐκέτι ἐν παροιμίαις λαλήσω ὑμῖν, ἀλλὰ παῤῥησίᾳ περὶ τοῦ πατρὸς ἀπαγγελῶ ὑμῖν»[6], δεικνὺς ὅτι ὡς ἐν αἰνίγματι τὴν τοῦ Πατρὸς ἤκουον φωνὴν ἐπὶ τῆς ἀνθρωπείας φύσεως κατὰ σχέσιν αὐτὴν ἐκλαμβάνοντες, γνώσον-

1. Πρβλ. Ρωμ. 4,17. **2.** Πρβλ. Ἰω. 9,22. **3.** Ἰω. 14,8. **4.** Ἰω. 14,9. **5.** Ἰω. 14,9. **6.** Ἰω. 16,25.

ται δὲ ἀληθῶς Υἱὸν ὅταν γνῶσι Θεὸν ἐκ Θεοῦ κατ' οὐσίαν ὄντα ἐξ αὐτοῦ, καὶ τοῦτο ὄντα τὴν οὐσίαν ὅπερ ἐκεῖνος. Εἰ δὲ οἱ Προφῆται καὶ οἱ πρόσ[505]θεν δὴ πάντες ἠπίσταντο Πατέρα καὶ Υἱὸν καὶ δὴ τοῦτο ἐκ τῶν θείων ἐδιδάσκοντο Γραφῶν, πρὸ τῶν ἄλλων ᾔδεσαν ἂν οἱ 'Απόστολοι τοῦτο, ἀλλ' εὔδηλον ὡς οὐκ ᾔδεσαν ἔμαθον δὲ ὁπηνίκα τοῦ Πνεύματος ἔλαβον τὴν χάριν φοιτήσασαν ἐπ' αὐτούς[1] μετὰ τὴν εἰς οὐρανοὺς ἄνοδον τοῦ Δεσπότου Χριστοῦ. Ὅθεν καὶ ὁ Κύριός φησι πρὸς αὐτούς, «ἔτι πολλὰ ἔχω λέγειν, ἀλλ' οὐ δύνασθε βαστάζειν ἄρτι· ὅταν δὲ ἔλθῃ ἐκεῖνος, τὸ πνεῦμα τῆς ἀληθείας ὁδηγήσει ὑμᾶς εἰς πᾶσαν τὴν ἀλήθειαν»[2].

Εἰ δὲ τὴν θεότητα τοῦ Μονογενοῦς ἠπίσταντο καὶ δὴ καὶ Πατέρα τὸν ὡς Θεὸν Θεοῦ Πατέρα, τί δὴ τούτων μεῖζον ἦν, ὃ μανθάνειν ἤμελλον ὕστερον; τὴν τοίνυν θεότητα τοῦ Μονογενοῦς οὔτε ἠπίστατό τις τῶν πρὸ τῆς τοῦ Δεσπότου Χριστοῦ παρουσίας οὔτε τις τῶν Προφητῶν περὶ ταύτης διαλέγεται, ἐπεὶ κἀκεῖνο πάσης ἀνοίας ἐστὶ μεστόν, ἀληθέστερον δὲ εἰπεῖν φρενοβλαβείας, τὸ **327** λέγειν, ὅτι ὅταν ἀγγέλου τε μέμνηται καὶ Κυρίου κατὰ τοῦτον ἡ Παλαιὰ τὸν Υἱὸν τοῦ Θεοῦ λέγει. Οὓς ἐχρῆν αἰσχυνθῆναι γοῦν τοῦ μακαρίου Παύλου τὴν φωνὴν διαιροῦντος ἐκ τῶν 'Αγγέλων τὸν Υἱὸν καὶ δεικνύντος, ὡς πολὺ τούτου τε κἀκείνου τὸ μέσον ἐστὶ καὶ τοσοῦτον, ὅσον γε ὑπηρέτου καὶ Δεσπότου. Λέγει γοῦν οὕτως· «καὶ πρὸς μὲν τοὺς ἀγγέλους λέγει· ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα· πρὸς δὲ τὸν υἱόν· ὁ θρόνος σου ὁ Θεὸς εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, ῥάβδος εὐθύτητος ἡ ῥάβδος τῆς βασιλείας σου»[3], δεικνὺς ὁπόσον ἐστὶ τὸ διάφορον Υἱοῦ τε καὶ 'Αγγέλων καὶ ὅτι μηδὲ συνελθεῖν οἷόν τε τὰς φωνὰς ἀλλήλαις ταύτας, τῶν μὲν ἀοράτων δυνάμεων καὶ πρὸς λειτουργίαν ἐκτεταγμένων εἰκότως 'Αγγέλων καὶ λειτουργῶν διὰ τὴν ὑπουργίαν καλουμένων, εἰς ἣν ἐτύγχανον προβεβλημένοι, τοῦ Υἱοῦ δὲ ταύτας μὲν οὐ προσιεμένου τὰς φωνάς, μόνην δὲ ταύτην ἀναδεξαμένου τὴν φωνὴν δικαίως τήν «ὁ θρόνος σου ὁ Θεὸς εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, ῥάβδος εὐθύτητος ἡ ῥάβδος τῆς βασιλείας σου»[4] ὅπερ ἐστὶ λέγοντος ἀίδιον βασιλέα Κύριον τῶν ἁπάντων ἐν

1. Πρβλ. Πράξ. 2,4. **2.** 'Ιω. 16,12-13. **3.** Ἑβρ. 1,7-8. **4.** Ἑβρ. 1,8.

εὐθύτητι πάσῃ τὸ πᾶν διοικοῦντα. Πῶς οὖν οὐκ ἀνόητον καὶ μανικὸν τοσαύτης ὑπὸ τοῦ μακαρίου Παύλου τῆς διαφορᾶς ἡμῖν ὑποδεδειγμένης τολμᾶν συνάγειν τὰ ἀσύμβατα καὶ λέγειν καὶ ἄγγελον καὶ Κύριον δυνατὸν λέγεσθαι τὸν Υἱόν; ἀλλ' εὔδηλον ὅτι ὁπόταν τι τοιοῦτον ἐν τῇ θείᾳ φέρηται Γραφῇ, ἀγγέλου μὲν μέμνηται τοῦ πρὸς τὴν ὑπηρεσίαν ἐκτεταγμένου τῶν δεικνυμένων, ἐπειδὴ «πάντες εἰσὶ λειτουργικὰ πνεύματα εἰς διακονίαν ἀποστελλόμενα διὰ τοὺς μέλλοντας κληρονομεῖν σωτηρίαν»[1], ὡς ὁ μακάριος Παῦλός φησιν. Κύριον δὲ ὀνομάζει, οὐ τὸν ἄγγελον οὕτω καλῶν, ἐπὶ Θεὸν δὲ ἀναφέρων τοῦ γινομένου τὸ ἔργον, ὥσπερ οὖν καὶ οἱ Προφῆται πολλάκις τὰ ἁρμόττοντα **[508]** λέγουσιν, τῷ Θεῷ οὐχ ἑαυτοῖς λογιζόμενοι τὰ λεγόμενα, ἐπὶ Θεὸν δὲ αὐτῶν ἀναφέροντες τὴν αἰτίαν.

Καὶ τοῦτό γε εὐθὺς ἐκ τοῦ Προφήτου τοῦ παρόντος ἴδοι τις **328** ἄν· εἰπὼν γὰρ ὅτι «ἐγένετο λόγος Κυρίου πρὸς Ζαχαρίαν λέγων»[2], ἐπήγαγεν, «ὠργίσθη Κύριος ἐπὶ τοὺς πατέρας ὑμῶν ὀργὴν μεγάλην»[3]. Καίτοι γε ἦν ἀκόλουθον εἰ ἄρα εἰπεῖν ὅτι «ἐγένετο λόγος Κυρίου πρὸς Ζαχαρίαν λέγων, Ὠργίσθην ἐπὶ τοὺς πατέρας ὑμῶν», ὡς ἂν μὴ ὁ γεγονὼς λόγος τοῦ Κυρίου πρὸς τὸν Προφήτην περὶ ἑτέρου τινὸς φαίνηται κυρίου λέγων ὡς ὀργισθέντος, ἀλλ' εὔδηλον ὅτι τό «ἐγένετο λόγος Κυρίου» τὸν ἀποκαλύψαντα εἰπὼν ἐπάγει λοιπὸν τὰ ῥήματα ὁ Προφήτης, ἅπερ αὐτὸς εἶπεν ὁ Θεός, οὐχ οἰκεῖα λέγων τὰ δὲ παρὰ τοῦ Θεοῦ λελεγμένα ἐκτιθέμενος. Τὸν αὐτὸν δὴ τρόπον καὶ ὅταν ἄγγελον λέγῃ εἶτα καὶ Κύριον ὀνομάζῃ, τῷ μὲν ἀγγέλῳ τὸν ὑπουργοῦντα δείκνυσιν, τῇ δὲ τοῦ Κυρίου φωνῇ τὸν ἐπιτάξαντα διὰ τῶν Ἀγγέλων ἐκεῖνα γενέσθαι. Ἀλλὰ γὰρ εὔδηλον, ὅτι τοὺς Ἀγγέλους αἰσθητῶς φαινομένους τοῖς ἀνθρώποις ὅταν τοῦτο δοκῇ τῷ Θεῷ ἔθος ἀνθρώπων εἶδος μιμεῖσθαι, ὅπερ οἰκεῖόν ἐστι τοῖς ὁρῶσί τε καὶ παιδευομένοις. Τοῦτο δὲ καὶ ἐκ τῆς Καινῆς Διαθήκης οὐχ ἧττον μάθοι τις ἄν· τὰ γὰρ κατὰ τὴν ἀνάστασιν τοῦ Δεσπότου Χριστοῦ διηγουμένη ἡ θεία Γραφὴ λέγει ἄγγελον ὦφθαι τὸν ἀποκυλίσαντα τὸν λίθον[4], εἶτα διαγράφων οἷός τις ἦν καὶ ὅπως ὤφθη, «ἦν αὐτοῦ», φησίν, «ἡ εἰδέα

---

1. Ἑβρ. 1,14. **2.** Ζαχ. 1,1. **3.** Ζαχ. 1,2. **4.** Πρβλ. Ματθ. 28,2.

ὡς ἀστραπή, τὰ δὲ ἱμάτια λευκὰ ὡς χιών»[1]. Καὶ μετὰ τὴν ἄνοδον δὲ τοῦ Κυρίου τὴν εἰς οὐρανὸν κεχηνότων πρὸς τὴν τοῦ γεγονότος καινότητα τῶν μαθητῶν, «ἰδού», φησίν, «δύο ἄνδρες εἱστήκεισαν ἐν ἐσθῆτι λευκῇ»[2], ἦσαν δὲ Ἄγγελοι διδάσκοντες αὐτοὺς ἃ προσῆκον ἦν ἐπὶ τοῖς γεγονόσιν εἰδέναι[3]. Τὸν αὐτὸν δὴ τρόπον κἀνταῦθα ἐν ἀνθρώπου μορφῇ ἄγγελον θεωρεῖ πρὸς ὑπουργίαν ὑπὸ τῆς χάριτος τεταγμένον τῶν εἰς σωτηρίαν ἡκόντων ἀνθρωπίνην.

Ἡ μὲν οὖν ὄψις ἄγγελον ἐδήλου, τὰ περὶ αὐτὸν δὲ ἦν μηνυτικὰ πραγμάτων· ἵππου μὲν οὖν ἐπιβεβήκει εἰς δήλωσιν τοῦ τάχους, μεθ' οὗ πάντα ἐπιτελεῖν ταῖς ἀοράτοις δυνάμεσιν ἔργον ἐστίν, ἅπερ ἂν ἐπιτάττῃ Θεός· πυῤῥοῦ δέ, ὡς ἂν τὸν θυμὸν δεικνύῃ, ὃν ὑπὲρ αὐτῶν εἶχε κατὰ τῶν ἀλλοτρίων· ἐν μέσῳ δὲ κατασκίων **329**
ὀρέων εἱστήκει, τῶν μὲν ὀρέων τὸ ὑψηλὸν καὶ στεῤῥὸν τῆς δυνάμεως τοῦ λειτουργοῦντος φανερὸν ποιούντων, τῶν κατασκίων δὲ δήλωσιν ἐχόντων τῆς σκέπης, ἣν παρέχειν ὁ Θεὸς εὐηγγελίζετο τῷ λαῷ τῷ οἰκείῳ. Ἐρωτᾷ μὲν οὖν ὁ Προφήτης· «τί οὗτοι;». Τῆς ἀποκαλύψεως πρὸς τὴν ἐρώτησιν αὐτὸν κινησάσης ὡς ἂν καὶ ὁδὸν ἡ διδασκαλία λάβοι. «Ἀποκρίνεται» δέ, φησίν, «ὁ ἄγγελος ὁ λαλῶν ἐν ἐμοί, Ἐγὼ δείξω σοι τί ἐστι ταῦτα»[4]. Λέγει δὲ αὐτὸν τὸν ἄνδρα, ὃν ἐπιβεβηκότα ἐπὶ ἵππον εἶδε πυῤῥόν· διὰ τοῦτο καὶ τό «ὁ λαλῶν ἐν ἐμοί» **[509]** λέγει, ἐπειδὴ οὐχ ἔξωθεν φερομένης ἤκουε φωνῆς, ἀλλὰ κατὰ ἀποκάλυψιν ἐναποτυπουμένης αὐτοῦ τῇ διανοίᾳ. Ὡς καὶ ὁ μακάριος Πέτρος ἤκουε τό «ἀναστάς, Πέτρε, θῦσον καὶ φάγε»[5], εὔδηλον δὲ ὅτι οὐκ ἐξ οὐρανῶν ἐφέρετο τοιαύτη φωνὴ πρὸς αὐτόν, ἢ γὰρ ἂν καὶ πᾶσαν ἐπλήρωσε τὴν οἰκουμένην ἡ τοῦ λεγομένου γνῶσις, ἐναπετυποῦτο δὲ αὐτῷ ἡ φωνὴ ὡς ἂν οὐρανόθεν πρὸς αὐτὸν γιγνομένη. Ὅτι δὲ τὸν λαλοῦντα ἄγγελον αὐτῷ τὸν ἐπιβεβηκότα ἐπὶ τὸν ἵππον τὸν πυῤῥὸν λέγει δῆλον· ὡς γὰρ εἶπεν, «ἐγὼ δείξω σοι τί ἐστι ταῦτα», ἐπάγει, «καὶ ἀπεκρίθη ὁ ἀνὴρ ὁ ἐφεστηκὼς ἀνὰ μέσον τῶν ὀρέων καὶ εἶπε πρός με, Οὗτοί εἰσιν οὓς ἐξαπέστειλε Κύριος περιοδεῦσαι τὴν γῆν»[6]· σαφῶς δεικνύς, ὅτι αὐτὸς ἐκεῖνος ὁ ὀφθεὶς αὐτῷ ἀνὴρ ἐν μέσῳ «τῶν ὀρέων

---

1. Ματθ. 28,3. **2.** Πράξ. 1,10. **3.** Πρβλ. Ματθ. 28,5-7. **4.** Ζαχ. 1,9. **5.** Πράξ. 10,13. **6.** Ζαχ. 1,10.

τῶν κατασκίων» αὐτὸς ἦν ὁ λαλῶν ἐν αὐτῷ, ὃς καὶ διδάξειν αὐτὸν ὑπέσχετο, τίνα δὴ ταῦτα τὰ τῶν ἵππων· καὶ δὴ καὶ ἐδίδαξεν εἰπὼν καθεξῆς, ὅτι οὗτοί εἰσιν οἱ πέμπεσθαι εἰωθότες παρὰ τοῦ Θεοῦ ἐπὶ τῷ τὴν γῆν ἅπασαν ἐκπεριιέναι καὶ τὴν καθήκουσαν ἑκασταχοῦ πληροῦν λειτουργίαν κατὰ τὸ δοκοῦν τῷ Θεῷ.

Εὔδηλον μὲν οὖν ὅτι περὶ Ἀγγέλων φησίν· Ἀγγέλων γὰρ ἔργον τοῦτο, τοῦτο δὲ οὐ τοὺς ἵππους λέγει, οὐ γὰρ ἂν εἰς ἀλόγων ὄψιν τῶν Ἀγγέλων μετέπεσεν ἡ θεωρία, ἀλλ' ὅταν εἴπῃ «ἵπποι πυῤῥοὶ καὶ ποικίλοι καὶ λευκοί»[1], ἐμφαίνων τὸ μετά τινων ἐπιβεβηκότων αὐτοὺς ὦφθαι τοὺς ἵππους λέγει, ὅθεν καὶ ὁ ἑρμηνεύων ἀπεστάλθαι λέγει τούτους ἐπὶ τὸ περιοδεῦσαι τὴν γῆν, οὐ **330** τοὺς ἵππους ἀλλὰ τοὺς ἐπιβεβηκότας λέγων· ἀναγκαίως δὲ καὶ οὗτοι, ἅτε Ἄγγελοι, ἐφ' ἵππων ὤφθησαν κατὰ τὸν ἐπὶ τὸν ἵππον ἐπιβεβηκότα τὸν πυῤῥόν, τῶν μὲν ἵππων δηλούντων τὴν ταχύτητα τῆς λειτουργίας, ἄλλοι δὲ πυῤῥὸν τὸν θυμόν, ὃν ταῦτα τῶν ἀλλοτρίων εἶχον· καὶ τῶν λευκῶν δὲ εἰς μήνυσιν τῆς περιεσομένης τοῖς Ἰσραηλίταις λαμπρότητος ἐκ τῆς αὐτῶν ὑπουργίας, τῶν ποικίλων δέ, ἵνα τὸ πολυειδὲς εἴπῃ τῆς ἐνεργείας καὶ τῆς ὑπουργίας, ἣν ἐκτελοῦντες οἱ Ἄγγελοι τάς τε τιμωρίας ἐπάγουσι τοῖς τούτων ἀξίοις καὶ τὰς δωρεὰς παρέχουσιν, οὓς ἂν τοιούτοις ἀμείβεσθαι θέλῃ Θεός.

Ἡ δὲ τῶν λεγομένων ἀπόδειξις τὰ ἑξῆς. «Ἀπεκρίθησαν γάρ» φησίν, «τῷ ἀγγέλῳ Κυρίου τῷ ἐφεστῶτι ἀνὰ μέσον τῶν ὀρέων καὶ εἶπον, Περιωδεύσαμεν τὴν γῆν πᾶσαν, καὶ ἰδοὺ πᾶσα ἡ γῆ κατοικεῖται καὶ ἡσυχάζει»[2]. Οὐκ ἂν τοὺς ἵππους αὐτῷ ἀποκεκρίσθαι εἶπον — ποία γὰρ ἂν καὶ γένοιτο ἀπὸ ἵππων φωνή; —, ἀλλὰ δηλονότι τοὺς τῶν ἵππων ἐπιβεβηκότας λέγει, οἳ ἐν μορφῇ φαινόμενοι ἀνθρώπου παραπλησίως τοῦ «ἀνὰ μέσον τῶν ὀρέων τῶν κατασκίων»[3], ἐφ' ἵππου φανέντος πυῤῥοῦ εἰκότως ἀνάλογον τῇ ὄψει τὴν πρὸς αὐτὸν ποιεῖσθαι διάλεξιν ἤμελλον ἀφ' ἧς δὴ καὶ ὁ Προφήτης κατὰ ἀποκάλυψιν τῶν λεγομένων ἀκούων τὴν ἐξ αὐτῶν διδασκαλίαν ἐδέχετο. Εὔδηλον γὰρ ὅτι πᾶσα ἡ ἀποκάλυψις καὶ τὰ ἐπ' αὐτῆς θεωρούμενα καὶ εἴτε ἐρώτησις εἴτε ἀπόκρισις εἴθ' ὅ, τι

1. Ζαχ. 1,8. **2.** Ζαχ. 1,11. **3.** Ζαχ. 1,8.

δήποτε πάντα ἐπὶ τῆς ἀποκαλύψεως διετυποῦτο, ὡς ἂν διὰ πάντων τὴν διδασκαλίαν ὁ Προφήτης δεξάμενος αὐτός τε πίστιν περὶ τῶν ἐσομένων ἔχοι βεβαίαν καὶ εἰς ἑτέρους ἐκφέροι τὴν ὠφέλειαν. Ἔοικε δὲ τὸν ἐπιβεβηκότα ἐπὶ τὸν ἵππον ἀνὰ μέσον ὀρέων ἄγγελον αἰνίττεσθαι τὸν ἐφεστῶτα τῷ ἔθνει τῶν Ἰσραηλιτῶν κατὰ τὸ εἰρημένον **[512]** «ἔστησεν ὅρια ἐθνῶν κατὰ ἀριθμὸν ἀγγέλων Θεοῦ»[1]. Ὥσπερ οὖν οἱ λοιποὶ τῶν Ἀγγέλων κοινωνοῦντες ὡς εἰκὸς τῆς φροντίδος περὶ τῶν προκειμένων διελέγοντο, οἳ καὶ ἐμήνυσαν αὐτῷ τὸ πᾶσαν τὴν γῆν ἐν ἡσυχίᾳ καθεστάναι τότε, ἀφ' **331** ὧν δὴ καὶ χώραν ἐκεῖνος λαβὼν ὁ «ἀνὰ μέσον τῶν κατασκίων ὀρέων» ὀφθεὶς ὡς ἂν τὴν τοῦ λαοῦ φροντίδα πεπιστευμένος, καί τι καὶ παθὼν εἰ πάντα μέν ἐστιν ἐν ἡσυχίᾳ τὰ κατὰ τὴν Ἰερουσαλὴμ δὲ διατετάρακται μόνα, εὐχήν τινα καὶ δέησιν ὑπὲρ παντὸς τοῦ ἔθνους προσάγει τῷ Θεῷ.

1,12 «Ἀπεκρίθη» γάρ, φησίν, «ὁ ἄγγελος Κυρίου καὶ εἶπεν»

Ἐκεῖνος δὴ ὁ «ἀνὰ μέσον τῶν ὀρέων» ἐφεστώς, ὅπερ οὖν εἶπον οἱ λοιποὶ τὸ πᾶσαν τὴν γῆν κατοικεῖσθαι καὶ ἡσυχάζειν.

1,12 «Κύριε παντοκράτωρ, ἕως τίνος οὐ μὴ ἐλεήσῃς τὴν Ἰερουσαλὴμ καὶ τὰς πόλεις Ἰούδα, ἃς ὑπερεῖδες τοῦτο ἑβδομηκοστὸν ἔτος;»

Μόνον οὐχὶ λέγων πᾶσι τοῖς λοιποῖς ἔθνεσι τοῖς κατὰ γῆν ἀσφαλῆ παρέσχες τὴν οἴκησιν καὶ τὴν ἡσυχίαν, μεθ' ἧς ἔταξας διάγειν αὐτούς, μόνη δὲ ἡ σὴ ὡς ἔοικεν Ἰερουσαλὴμ καὶ αἱ λοιπαὶ τοῦ Ἰούδα πόλεις[2] τῆς κοινῆς ταύτης οὐκ ἀπολαύουσι δωρεᾶς. Ἀλλ' ἐπειδήπερ αἰτία τούτων αὐτοῖς τὰ ἁμαρτήματα γέγονε καὶ ἡ τῆς ἀσεβείας ἐπιμέλεια καὶ τὸ δυσπειθές, ἐλέῳ δὴ τὰ κατ' αὐτὰς ἴασαι[3] καὶ πρὸς τὸν ἀριθμὸν τῶν ἐτῶν ἀποβλέψας, ἐν οἷς ἐν ταῖς συμφοραῖς γεγόνασι ταύταις, ἀρκοῦσαν ὑπὲρ ὧν ἥμαρτον λογίσαι τὴν τιμωρίαν τῶν ἐν τοσούτῳ χρόνῳ περιεσχηκότων αὐτοὺς κακῶν, ἐλέῳ τε οἰκείῳ τὰ ἁμαρτήματα αὐτῶν παραγραψάμενος ἅπαντα καὶ τὴν παλαιὰν αὐτοῖς ἀποδοὺς εὐπραγίαν, ὥστε καὶ τὴν

---

1. Δευτ. 32,8. **2.** Πρβλ. Ζαχ. 1,12. **3.** Πρβλ. Σ. Σειρ. 16,14.

Ἱερουσαλὴμ οἰκισθῆναι κατὰ τὸ πρότερον σχῆμα καὶ τὰς λοιπὰς τοῦ Ἰούδα πόλεις αὖθις συστῆναι. Πρὸς δὴ ταῦτα ἐπάγει·

1,13 «Καὶ ἀπεκρίθη Κύριος παντοκράτωρ τῷ ἀγγέλῳ τῷ λαλοῦντι ἐν ἐμοὶ ῥήματα καλὰ καὶ λόγους παρακλητικούς»

Ἔδειξε καὶ διὰ τούτου ὅτι αὐτοῦ τοῦ «ἀνὰ μέσον τῶν ὀρέων τῶν κατασκίων» τοῦ λαλοῦντος ἐν αὐτῷ καὶ ἡ δέησις ἦν αὕτη, πρὸς ὃν λέγει τὸν Θεὸν ἀποκεκρίσθαι πολλῆς ἀγαθότητος γέμοντας λόγους καὶ πολλῶν ἀγαθῶν ἔχοντας ἐπαγγελίαν καὶ ἱκανοὺς παντοίαν **332** παράκλησιν[1] τοῖς ἐν τοσούτοις τε καὶ τοιαύταις προσαγαγεῖν ἀνάγκαις· ἐφ' οἷς δὴ καὶ ὁ ἄγγελος τὸ θαῤῥεῖν λαβὼν μηνύει τῷ Προφήτῃ οἷάπερ αὐτῷ εἴρητο παρὰ τοῦ Θεοῦ ἐπαγγελίαν μεγίστων ἔχοντα ἀγαθῶν, ἃ περὶ τὴν Ἱερουσαλὴμ ἐπιδείξεται τοῦ λοιποῦ. Λέγει δὲ οὕτως.

1,14-17 «Καὶ εἶπε πρός με ὁ ἄγγελος ὁ λαλῶν ἐν ἐμοί, Ἀνάκραγε λέγων, Τάδε λέγει Κύριος παντοκράτωρ· Ἐζήλωκα τὴν Σιὼν καὶ τὴν Ἱερουσαλὴμ ζῆλον μέγαν καὶ ὀργῇ μεγάλῃ ἐγὼ ὀργίζομαι ἐπὶ τὰ ἔθνη τὰ συνεπιτιθέμενα ἀνθ' ὧν ἐγὼ μὲν ὠργίσθην ὀλίγα, αὐτοὶ δὲ συνεπέθεντο εἰς κακά. Διὰ τοῦτο τάδε λέγει Κύριος· Ἐπιστρέψω ἐπὶ Ἱερουσαλὴμ ἐν οἰκτιρμῷ, καὶ ὁ οἶκός μου ἀνοικοδομηθήσεται ἐν αὐτῇ, λέγει Κύριος παντοκράτωρ, καὶ μέτρον ἐκταθήσεται ἐπὶ Ἱερουσαλὴμ ἔτι. Καὶ εἶπε πρός με ὁ ἄγγελος ὁ λαλῶν ἐν ἐμοί· Ἀνάγαγε λέγων Τάδε λέγει Κύριος παντοκράτωρ· Ἔτι διαχυθήσονται πόλεις ἐν ἀγαθοῖς, καὶ ἐλεήσει Κύριος ἔτι τὴν Σιὼν καὶ αἱρετιεῖ ἔτι τὴν Ἱερουσαλήμ»

Δεξάμενος γάρ, φησίν, ἀπόκρισιν παρὰ τοῦ Θεοῦ τοιαύτην ὁ ἄγγελος, αὐτός τε ἐπὶ τοῖς λε**[513]**γομένοις ἥσθη καὶ ἐμὲ θαῤῥεῖν ἐκέλευε περὶ πάντων εἰς τὸ ἑξῆς ὥστε καὶ θαῤῥοῦντα μηνύειν ἅπασιν, ὅτι σφόδρα ὑπὲρ τῆς Ἱερουσαλὴμ[2] ὀργίζεται κατὰ τῶν τοσαύτην ὠμότητα ἐπιδειξαμένων εἰς αὐτούς· οἳ μείζονα τῆς ὀργῆς τῆς ἐμῆς τὴν τιμωρίαν αὐτοῖς ἐκ τῆς ἰδίας ἐπήγαγον κακίας[3]. Τοιγαροῦν ἁπάντων ἕνεκεν πολλῷ χρήσομαι περὶ τὴν Ἱερουσαλὴμ τῷ

1. Πρβλ. Ζαχ. 1,13. **2.** Πρβλ. Ζαχ. 1,14. **3.** Πρβλ. Ζαχ. 1,15.

ἐλέῳ[1] ὥστε καὶ τὸν οἶκον τὸν ἐμὸν ἐν αὐτῇ γεγονότα τὴν συνήθη τοῖς ἐπ' αὐτὸν συνιοῦσιν ὠφέλειαν παρέχεσθαι καὶ τὴν Ἰερουσαλὴμ ἐπὶ μεῖζον ἢ νῦν ἐκταθῆναι καὶ πάσας δὲ συντόμως εἰπεῖν τὰς αὐτῇ προσηκούσας πόλεις ἐν ἀφθονίᾳ καταστῆναι πολλῶν. Τότε γὰρ ἐλέῳ χρήσομαι πολλῷ περὶ αὐτὴν δεδοκίμακα πᾶν ὅ, τὶ χρηστὸν ἐργάσασθαι εἰς αὐτήν τε καὶ τοὺς προσήκοντας αὐτῇ τοῦ λοιποῦ. Εὔδηλον δέ, **333** ὅτι ὅταν λέγῃ τό «ὀργίζομαι ἐπὶ τὰ ἔθνη τὰ συνεπιτιθέμενα ἀνθ' ὧν ἐγὼ μὲν ὠργίσθην ὀλίγα, συνεπέθεντο δὲ εἰς κακά»[2], περί τε τῶν ἐκπεπορθηκότων αὐτὴν Βαβυλωνίων λέγων καὶ τῶν ὅπως ποτὲ εἰς τοῦτο συμπραξάντων αὐτοῖς, τὴν γεγενημένην αὐτοῖς τιμωρίαν διὰ τούτων σημαίνει. Δεδώκεσαν μὲν γὰρ ἤδη Βαβυλώνιοι δίκας, καὶ καθῄρητο μὲν αὐτῶν ἡ βασιλεία, εἴληπτο δὲ ἡ πόλις παντελῶς ὑπὸ Κύρου τοῦ Περσῶν βασιλέως[3], τετιμώρηντο δὲ καὶ οἱ συμπράξαντες αὐτοῖς Ἰδουμαῖοί τε καὶ οἱ λοιποὶ δὴ πάντες, ὥστε δῆλον ἐκεῖνο εἶναι τὸ παρ' ἡμῶν ἐπὶ τῆς ὑποθέσεως εἰρημένον, ὅτι πολλῶν μέμνηται γεγονότων ἤδη, βεβαιῶν αὐτὰ ταῖς οἰκείαις ἐπαγγελίαις ὁ Θεός, ἐπεὶ καὶ σφόδρα τούτων ἔδει τότε τοῖς Ἰσραηλίταις ἐν ἀμφιβόλῳ καὶ μετὰ τὴν ἐπάνοδον τὴν σωτηρίαν ἔχουσι τὴν οἰκείαν, ὡς μηδὲ τὸν ναὸν τὸν θεῖον ἀρξαμένους τῆς οἰκοδομῆς δυνηθῆναι πρὸς πέρας ἐκβαλεῖν[4] εἴτε διὰ τὴν ἐνόχλησιν τῶν ἐναντίων εἴτε καὶ διὰ τὴν αὐτῶν ῥᾳθυμίαν αὐξανομένην ὡς εἰκὸς τῇ τῶν πολεμίων κακίᾳ[5]. Δύο μὲν δὴ ταῦτα ἐκ τῆς ἀποκαλύψεως ἐγνωκέναι ἔφη, ὅτι τε τοὺς ἠδικηκότας τὸν λαὸν τιμωρήσεται ὁ Θεὸς καὶ ὅτι τὴν Ἰερουσαλὴμ εἰς τὴν παλαιὰν εὐπραγίαν ἀποκαταστήσει πάλιν[6]. Ἐπὶ βεβαιώσει δὲ ἀμφοτέρων ἀποκαλύψεις καθεξῆς ἐκτίθεται ἑτέρας, ἃς ἰδὼν αὐτός τε τὴν ἐπὶ τοῖς εἰρημένοις ἤδη πίστιν εἶχε βεβαίαν, καὶ δὴ καὶ τοὺς τοῦ λαοῦ πάντας ἔπειθεν ὁμοίως ἡγεῖσθαι. Καὶ πρώτην γε περὶ τῆς τῶν ἐναντίων τιμωρίας λέγει, ἥνπερ οὖν καὶ ἐπὶ τῆς προκειμένης ἀποκαλύψεως πρότερον εἶπεν.

2,1-4 «Καὶ ἦρα τοὺς ὀφθαλμούς μου καὶ εἶδον καὶ ἰδοὺ τέσσαρα κέρατα. Καὶ εἶπον πρὸς τὸν ἄγγελον τὸν λαλοῦντα ἐν ἐμοί· Τί

---

1. Πρβλ. Ζαχ. 1,16. **2.** Ζαχ. 1,15. **3.** Πρβλ. Δαν. 5,30-31. **4.** Πρβλ. Β' Ἔσδρ. 4,4. Νεεμ. 14,7-8. 16,9. **5.** Πρβλ. Ἀγγ. 1,2,4,9. **6.** Πρβλ. Ζαχ. 1,17.

ἐστι ταῦτα, Κύριε; καὶ εἶπε πρός με· Ταῦτα τὰ κέρατα τὰ διασκορπίσαντα τὸν Ἰούδαν καὶ τὸν Ἰσραὴλ καὶ τὴν Ἱερουσαλήμ. Καὶ ἔδειξέ μοι Κύριος τέσσαρας τέκτονας. Καὶ εἶπον· Τί οὗτοι ἔρχονται ποιῆσαι, Κύριε; Καὶ εἶπε Ταῦτα τὰ κέρατα τὰ διασκορπίσαντα τὸν Ἰούδαν καὶ τὸν Ἰσραὴλ κατέαξαν, καὶ οὐδεὶς αὐτῶν ἦρε κεφαλήν· καὶ ἐξῆλθον αὐτοὶ τοῦ ὀξῦναι αὐτὰ εἰς χεῖρας αὐτῶν τὰ τέσσαρα κέρατα, τὰ ἔθνη τὰ ἐπαιρόμενα κέρας ἐπὶ τὴν γῆν Κυρίου τοῦ διασκορπίσαι αὐτήν»

334 Οἱ μὲν οὖν μυθολογεῖν ἐθέλοντες τέσσαρα κέρατα[1] τὸν Ἀσσύριον καὶ τὸν Βαβυλώνιον τόν τε Μῆδον καὶ τὸν Πέρσην φασίν. **[516]** Οὐ γὰρ προσέχειν ἐθέλοντες, ὅτι πολλάκις τὸν ἀριθμὸν ἡ θεία Γραφὴ οὐκ ἀριθμοῦ γε ἕνεκεν ἀκριβολογουμένη λέγει, ἐπὶ δηλώσει δὲ ἑτέρου τινός, φιλονεικοῦσι μὲν ἐφαρμόζειν ὀνομασίας τῷ ἀριθμῷ, μυθολογεῖν δὲ ὡς εἰκὸς ἀναγκάζονται εἰς τὴν τῶν πλασμάτων συνθήκην. Ὅπερ οὖν πολλαχοῦ μὲν καὶ ἑτέρωθι πεπόνθασιν, καὶ μὴν καὶ ἐπὶ τῆς τοῦ μακαρίου Μιχαίου προφητείας λέγοντος, ὅτι «ἐγερθήσονται ἐπὶ τὸν Ἀσσύριον ἑπτὰ ποιμένες καὶ ὀκτὼ δήγματα ἀνθρώπων»[2], ἑπτὰ μὲν ἀνθρώπους τοὺς ποιμένας ὀκτὼ δὲ ἀνθρώπους τὰ δήγματα ἀριθμεῖν φιλονεικοῦντες ἀναγκαζόμενοί τε διὰ ταύτην τὴν αἰτίαν πλείστου γέλωτος ἄξια λέγειν.

Τὸν αὐτὸν δὲ τρόπον κἀνταῦθα τέσσαρα κέρατά φασι τοὺς προῤῥηθέντας ἡμῖν, οὐκ ἐννοοῦντες, ὅτι πάλαι μὲν ὁ Ἀσσύριός τε καὶ ὁ Βαβυλώνιος δεδώκεσαν δίκας, Μῆδοι δὲ ὑπὸ Κύρου καθήρηντο, Πέρσαι δὲ οὐδὲν αὐτοὺς καθάπαξ ἠδικηκότες εὑρίσκονται τοὐναντίον μὲν οὖν καὶ τῆς αἰχμαλωσίας ἀφέντες. Ἡ δὲ θεία Γραφὴ τέσσαρα κέρατα οὐ ῥητούς τινας ἀνθρώπους λέγει, ἀλλ' ἐπειδὴ εἰς τέσσαρα πέρατα μεμερίσθαι τὴν οἰκουμένην[3] φαμέν, ἀνατολάς τε καὶ δυσμὰς καὶ ἄρκτον καὶ μεσημβρίαν, μέμνηται τῶν κλιμάτων τούτων πολλάκις τὸ πολλαχοῦ γινόμενον δηλοῦσα. Ὡς ὅταν ὁ μακάριος λέγῃ Δαβὶδ περὶ τῶν Ἰσραηλιτῶν «εἰπάτωσαν οἱ λελυτρωμένοι ὑπὸ Κυρίου, οὓς ἐλυτρώσατο ἐκ

---

1. Πρβλ. Ζαχ. 2,1. **2.** Μιχ. 5,5. **3.** Πρβλ. Ζαχ. 2,2.

χειρὸς ἐχθροῦ. Καὶ ἐκ τῶν χωρῶν συνήγαγεν αὐτοὺς ἀπὸ ἀνατολῶν καὶ δυσμῶν καὶ βοῤῥᾶ καὶ θαλάσσης»[1]. Εὔδηλον γὰρ ὅτι οὐκ εἰς τὰ τέσσαρα **335** πέρατα τῆς οἰκουμένης διασκορπισθέντας τοὺς Ἰσραηλίτας συνήγαγεν ὁ Θεός, ὑπὸ Βαβυλωνίοις δὲ καὶ Ἀσσυρίοις μόνοις αἰχμαλώτους ὄντας εἰς τὴν οἰκείαν ἐπανήγαγε γῆν. Λέγει δὲ ἡ Γραφὴ τό «ἀπὸ ἀνατολῶν καὶ δυσμῶν καὶ βοῤῥᾶ καὶ θαλάσσης»[2], ἵνα εἴπῃ, ὅτι τοὺς πολλαχόθι διεσπαρμένους ἤθροισέ τε καὶ ἐπανήγαγεν εἰς τὰ οἰκεῖα[3]. Οὕτως οὖν καὶ ἐνταῦθα τέσσαρα κέρατα λέγει ἵνα εἴπῃ τοὺς πολλαχόθεν αὐτοῖς ἐπεληλυθότας καὶ παντοίως αὐτοὺς βλάψαι βουληθέντας, εἴτε Ἀσσυρίους εἴτε Βαβυλωνίους εἴτε Ἰδουμαίους ἢ Μωαβίτας ἢ καὶ τοὺς λοιποὺς περιοίκους εἴθ' οὕστινας δήποτε ἑτέρους.

Διὰ τοῦτο καὶ τέκτονας τέσσαρας[4] βλέπει, ἵνα εἴπῃ τὰς λειτουργικὰς δυνάμεις, ὡς πολλαχόθεν αὐτοῖς τὴν τιμωρίαν ἐπαναγαγούσας, ἑκάστων τοὺς παρ' αὐτοῖς κατὰ τὴν ἀπόφασιν τιμωρησαμένων τὴν θείαν. Τὸ δέ «ὀξῦναι»[5] τὰ κέρατα λέγει ἀντὶ τοῦ ἐκλεπτῦναι αὐτὰ καὶ πάντα τὸν ὄγκον αὐτῶν ἀφελεῖν, ἵνα εἴπῃ τὴν περικειμένην τοῖς ἐπελθοῦσι δύναμιν ἀφανίσαι. Ταῦτα δὴ τῇ ἀποκαλύψει τὴν τῶν ἠδικηκότων τοὺς Ἰσραηλίτας τιμωρίαν βεβαίωσας ὁ Προφήτης ἑτέραν ἀποκάλυψιν λέγει δειχθεῖσαν αὐτῷ δηλωτικὴν τῆς κατὰ τὴν Ἰερουσαλὴμ ἀνανεώσεως. Λέγει δὲ οὕτως.

2,5-9 «Καὶ ἦρα τοὺς ὀφθαλμούς μου καὶ εἶδον καὶ ἰδοὺ ἀνὴρ καὶ ἐν τῇ χειρὶ αὐτοῦ σχοινίον γεωμετρικόν. Καὶ εἶπον πρὸς αὐτόν· Ποῦ σὺ πορεύῃ; καὶ εἶπε πρός με· Διαμετρῆσαι τὴν Ἰερουσαλὴμ τοῦ ἰδεῖν πηλίκον τὸ πλάτος αὐτῆς ἐστι καὶ πηλίκον τὸ μῆκος. Καὶ ἰδοὺ ὁ ἄγγελος ὁ λαλῶν ἐν ἐμοὶ εἱστήκει, καὶ ἄγγελος ἕτερος ἐξεπορεύετο εἰς συνάντησιν αὐτῷ. Καὶ εἶπε πρὸς αὐτὸν λέγων· Δράμε καὶ λάλησον πρὸς τὸν νεανίσκον ἐκεῖνον λέγων Κατακάρπως κατοικηθήσεται Ἰερουσαλὴμ ἀπὸ πλήθους ἀνθρώπων καὶ κτηνῶν τῶν ἐν μέσῳ αὐτῆς· καὶ ἐγὼ ἔσομαι αὐτῇ, λέγει

---

1. Ψαλ. 106,2-3. **2.** Ψαλ. 106,3. **3.** Πρβλ. Ἠσ. 11,12. 56,8. **4.** Πρβλ. Ζαχ. 2,3. **5.** Ζαχ. 2,4.

Κύριος, τεῖχος πυρὸς κυκλόθεν καὶ εἰς δόξαν ἔσομαι ἐν μέσῳ αὐτῆς»

336 [517] Ἐπειδὴ τοῖς τὰς οἰκοδομὰς ἐργαζομένοις σχοινίῳ[1] μετρεῖν ἔθος ἐπὶ τῆς γῆς τά τε πλάτη καὶ τὰ μήκη καὶ τοὺς τύπους τῆς οἰκοδομῆς ἀναγκαίως, ἄγγελον ὁρᾷ πάλιν κατὰ τὸ εἰωθὸς ἐν ἀνθρώπου μορφῇ σχοινίον κατέχοντα τοιοῦτο. Ὃς ἐρωτηθεὶς κατὰ τὴν γινομένην ἀποκάλυψιν τῷ Προφήτῃ, ὅποιπερ ἄπεισιν, μετρῆσαι ἔφη τῆς Ἰερουσαλὴμ[2] ἀπιέναι τὴν οἰκοδομὴν ὁποίαν τε καὶ ὅσην αὐτὴν γενέσθαι προσήκει. Εἶτα λέγει μὲν πρὸς τὸν ἄγγελον τὸν ἐν αὐτῷ λαλοῦντα, ὃν ἐν τοῖς ἀνωτέροις ἐν ἀνθρώπου μορφῇ καθήμενον εἶδεν «ἐφ' ἵππου πυῤῥοῦ ἀνὰ μέσον τῶν ὀρέων τῶν κατασκίων»[3], τοῦτο γὰρ ἡμῖν ἐκ τῶν προειληφότων ἐγένετο δηλονότι τὸν αὐτὸν ἄγγελον ἀνὰ μέσον τε ἑωρακέναι τῶν ὀρέων ἔφη καὶ δὴ καὶ λαλεῖν ἐν αὐτῷ· τοῦτον δὴ καὶ νῦν ἑωρακέναι φησὶν ἑστῶτα ὡς ἂν ἡδόμενον ἐπὶ τῷ γινομένῳ καὶ ὅτι τὰ τῆς δεήσεως αὐτῷ τῆς πρὸς τὸν Θεὸν πρὸς πέρας ἷκται, ἣν ὑπέρ τε τῆς Ἰερουσαλὴμ καὶ τοῦ ἔθνους προσήγαγε τῷ Θεῷ, τὸ μὴ μόνον δειχθῆναι τὴν ἐπαχθησομένην τοῖς ἠδικηκόσιν αὐτοὺς τιμωρίαν, ἀλλὰ γὰρ φανῆναι καὶ τὸν τὸ σχοινίον ἔχοντα τὸ γεωμετρικόν, σύμβολον τοῦ ἐν ἔργῳ τῆς πόλεως εἶναι λοιπὸν τὴν οἰκοδομήν.

Εἶτα λέγει ὅτι «ἕτερος ἄγγελος»[4] ἀποσταλεὶς ἔφη πρὸς αὐτόν, ὥστε εἰπεῖν τῷ νεανίσκῳ τὸ γεωμετρικὸν ἔχοντι δηλονότι σχοινίον, οὕτω γὰρ αὐτὸν κέκληκεν, ὡς ἐπὶ τῆς ἀποκαλύψεως εἶδεν ὁ Προφήτης τῇ ὄψει τοῦ νεανίσκου δειχθέντα εἰς δήλωσιν τοῦ μετὰ πάσης ἰσχύος εἰς πέρας τὰ προκείμενα ἄξειν. Λέγει τοίνυν, φησίν, ὁ ἀποσταλεὶς ἄγγελος τῷ ἐν ἐμοὶ λαλοῦντι ἀγγέλῳ μετὰ τάχους τε δραμεῖν καὶ εἰπεῖν τῷ νεανίσκῳ, ὅτι σφόδρα μετὰ πολλῆς τῆς εὐθηνίας ἡ Ἰερουσαλὴμ οἰκηθήσεται ἀπὸ ἀνθρώπων τε καὶ κτηνῶν τῶν ὑπηρετουμένων αὐτοῖς στενοχωρουμένη, ὡς ἂν ταῦτα γνοὺς ἐπὶ μεῖζον ἐκτείνειε τῆς πόλεως τό τε πλάτος καὶ τὸ μῆκος, ὀφειλούσης ἀρκεῖν τῷ πλήθει τῶν οἰκησάντων αὐτήν. Παρέξω μὲν **337** γὰρ αὐτῇ, φησίν, πᾶσαν ἀσφάλειαν τὴν ἐξ ἐμοῦ μεί-

1. Πρβλ. Ζαχ. 2,5. **2.** Πρβλ. Ζαχ. 2,6. **3.** Ζαχ. 1,8. **4.** Ζαχ. 2,7.

ζονα ἢ τεῖχος ἐκ πυρὸς κατεσκευασμένον παράσχοι ἄν, αὔταρκες ὂν συμφλέγειν τοὺς ἐπιόντας. Φανήσομαι δὲ ἐπ' αὐτῶν τῶν ἔργων διὰ τῆς εἰς αὐτοὺς κηδεμονίας, ὥστε παρὰ πᾶσιν ἐν εὐφημίαις τε εἶναι καὶ ἐπαίνοις ὑπὲρ τοῦ μεγέθους τῶν εἰς αὐτὴν εὐεργεσιῶν. Ἐπισημαντέον δὲ κἀκεῖνο «ἐν τῷ μέσῳ», ὅτι ὁ ἀποσταλεὶς ἄγγελος τῷ ἀγγέλῳ τῷ λαλοῦντι ἐν αὐτῷ, τουτέστι τῷ ἐν μέσῳ τῶν ὀρέων ἐπιβεβηκότι τοῦ ἵππου τοῦ πυῤῥοῦ λέγει· «Δράμε καὶ λάλησον πρὸς τὸν νεανίσκον ἐκεῖνον»[1].

Εἰ δὲ κατὰ τοὺς μυθολογεῖν ἐθέλοντας ὁ ἐν μέσῳ τῶν κατασκίων ὀρέων φανεὶς ὁ τοῦ Θεοῦ ἦν Υἱός, πῶς οἷόν τε ἦν τὸν ἄγγελον τολμῆσαι πρὸς αὐτὸν εἰπεῖν «Δράμε καὶ λάλησον πρὸς τὸν νεανίσκον ἐκεῖνον λέγων· Κατακάρπως κατοικηθήσεται Ἰερουσαλήμ»[1]. Ἄγγελον μὲν **[520]** γὰρ τῷ Υἱῷ τοῦ Θεοῦ κελεύειν τῶν ἀδυνάτων ἦν, καὶ νομίζειν δὲ τοῦτο τῆς ἐσχάτης ἐστὶν ἀσεβείας. Ἄγγελον δὲ ἀγγέλῳ σημαίνειν τὸ πρακτέον θαυμαστὸν οὐδέν, ἐπειδὴ τῶν ὑπηρετῶν ἴδιον μηνύειν ἀλλήλοις τὰ δεσποτικὰ βουλεύματα, καὶ πολλῷ γε πλέον τοὺς ἐπὶ τοῦτο πεμπομένους παρὰ τοῦ πάντων Κυρίου. Οἷόν τι καὶ νῦν ἐγίνετο· τοῦ γὰρ ἀγγέλου τοῦ λαλοῦντος ἐν αὐτῷ τὴν ὑπὲρ τῆς πόλεως προσαγαγόντος δέησιν, εἰκότως ὁ πεμφθεὶς ἄγγελος κατὰ γνώμην Θεοῦ δραμεῖν αὐτῷ καὶ λαλῆσαι κελεύει τὰ προσήκοντα πρὸς τὸν νεανίσκον ὡς ἂν εὐαγγελιζόμενος, ὅτι περ αὐτῷ τὰ τῆς δεήσεως ἷκται πρὸς πέρας καὶ δέδοκται μὲν περὶ τῆς Ἰερουσαλὴμ τῷ Θεῷ τὰ κρείττω. Χρὴ δὲ καὶ αὐτὸν ὡς ἰσχύσαντα ἐφ' οἷς ἐδεήθη παρὰ τῷ Θεῷ μεθ' ἡδονῆς τε τοῖς κεκελευσμένοις ὑπηρετεῖσθαι καὶ μετὰ πολλοῦ τοῦ τάχους τῷ ἐπὶ τὴν οἰκοδομὴν ἀποσταλέντι τῆς πόλεως γνωρίσαι τὰ περὶ αὐτῆς δόξαντα τῷ Θεῷ[2]. Ἀλλὰ γὰρ ἀναγκαίως θάρσους ἐκ τῶν δειχθέντων ὁ Προφήτης πληρωθεὶς ἐβόα λέγων.

2,10-11 «Ὦ, ὦ φεύγετε ἀπὸ γῆς βοῤῥᾶ, λέγει Κύριος, διότι ἐκ τῶν τεσσάρων ἀνέμων τοῦ οὐρανοῦ συνάξω ὑμᾶς, λέγει Κύριος· εἰς Σιὼν ἀνασῴζεσθε οἱ κατοικοῦντες θυγατέρα Βαβυλῶνος»

Κελεύει γὰρ δὴ καὶ τοῖς λοιποῖς τῶν ἐπὶ τῆς αἰχμαλωσίας ὄντων **338** ἔτι μετὰ πολλῆς ἐκτρέχειν τῆς σπουδῆς ἐπὶ τὸ Σιὼν

---

1. Ζαχ. 2,8. **2.** Πρβλ. Ζαχ. 2,9.

ὄρος, θαῤῥοῦντας τοῖς ἐπηγγελμένοις τῷ Θεῷ περὶ τῆς Ἰερουσαλήμ, ὃς ὑπέσχετο πανταχόθεν αὐτοὺς εἰς αὐτὴν συνάξειν. Κἀνταῦθα μέντοι πάλιν τό «ἐκ τῶν τεσσάρων ἀνέμων»[1] οὐκ ἀριθμόν τινα ἀλλὰ τὸ πανταχόθεν δηλοῖ, ὡς ἂν θαῤῥοῦντες οἱ τὴν Βαβυλωνίων οἰκοῦντες χώραν ἔτι τῶν Ἰουδαίων ἐπὶ τὴν Ἰερουσαλὴμ ἐπείγοιντο πάντες, οὗπερ διάγοντες βεβαίαν ἕξουσι τοῦ λοιποῦ τὴν σωτηρίαν τοῦ Θεοῦ κατὰ τὰς οἰκείας αὐτοὺς φυλάττοντος ἐπαγγελίας. Ὅτι μὲν οὖν καθῄρητό τε Βαβυλὼν[2] καὶ πᾶσα πέπαυτο ἡ Βαβυλωνίων ἀρχὴ κατὰ τὸν Δαρείου τοῦ βασιλέως καιρόν, δῆλον, ἀλλ' ὅμως μηνύων τοὺς κατ' ἐκεῖνον ὀφείλοντας τὸν καιρὸν ἀνελθεῖν. Καὶ γὰρ ἀνῆλθον ἐπὶ Δαρείου[3] οὐκ ὀλίγοι τὸν ἀριθμόν, ὅμως ἐκ τῆς Βαβυλῶνος αὐτοὺς ἐπανελθεῖν κελεύει, ἵνα εἴπῃ τῆς αἰχμαλωσίας ἣν ὑπὸ Βαβυλωνίων ὑπομεμενήκεσαν, πρόδηλον δὲ ὡς ἐν ἐπιτάγματος σχήματι μήνυσιν τοῦ ἐσομένου ποιεῖται.

2,12-13 «Διότι τάδε λέγει Κύριος παντοκράτωρ· Ὀπίσω δόξης ἀπέσταλκέ με ἐπὶ τὰ ἔθνη τὰ σκυλεύσαντα ὑμᾶς, διότι ὁ ἁπτόμενος ὑμῶν ὡς ὁ ἁπτόμενος τῆς κόρης τοῦ ὀφθαλμοῦ αὐτοῦ· διότι ἐγὼ ἐπιφέρω τὴν χεῖρά μου ἐπ' αὐτούς, καὶ ἔσονται σκῦλα τοῖς δουλεύουσιν αὐτοῖς, καὶ γνώσεσθε ὅτι Κύριος παντοκράτωρ ἀπέσταλκέ με»

Ταῦτα γὰρ ὑμῖν, φησίν, εἰρημένα λέγω τοῦ εἰρηκότος κελεύσαντος Θεοῦ, ὃς ἀπέσταλκέ με τὴν δόξαν ὑμῖν γνωριοῦντα καὶ τὸ μέγεθος τῆς αὐτοῦ δυνάμεως, ἧς ἐπιδείξεται κατὰ τῶν ὑμᾶς ἠδικηκότων, οὕτως ὀργιζόμενος ἐπὶ τοῖς τι λυπεῖν ὑμᾶς βουλομένοις, ὡς ἂν ὀργισθείη, εἴ τις αὐτοῦ τὰς κόρας βλάπτοι τῶν ὀφθαλμῶν[4]. Εὔδηλον μὲν οὖν ὅτι ἀνθρωπίνως τὸ τῆς κηδεμονίας ἐξαίρετον εἰπεῖν ἠβουλήθη. Οὕτω δὲ βαρεῖαν ἐπάξω, φησίν, τοῖς ἐχθροῖς τοῖς ὑμετέροις τὴν τιμωρίαν[5], ὥστε ὑπ' ἐκείνων ἐκπολιορκηθῆναί
[521] τε καὶ πορθηθῆναι, οὓς τὸ πρότερον ἐν δούλων εἶχον τάξει, ὡς ἂν ἐξ αὐτῶν γένοιτο δῆλον τῶν πραγμάτων, ὅτι γνώμῃ Θεοῦ

---

1. Ζαχ. 2,10. **2.** Πρβλ. Ζαχ. 2,11. **3.** Πρβλ. Δαν. 5,30-31. **4.** Πρβλ. Ζαχ. 2,12. **5.** Πρβλ. Ζαχ. 2,13.

τοῦ πάντων **339** Κυρίου εὐαγγελίζομαι ταῦτα ὑμᾶς. Εἶτα καὶ πρὸς τὴν πόλιν ἀποστρέψας τὸν λόγον· θυγατέρα γὰρ τῆς Σιὼν τὴν Ἱερουσαλὴμ εἴωθεν ὀνομάζειν.

2,14 «Τέρπου καὶ εὐφραίνου, θύγατερ Σιών, διότι ἰδοὺ ἐγὼ ἔρχομαι καὶ κατασκηνώσω ἐν μέσῳ σου, λέγει Κύριος»

Ἐν ἡδοναῖς ἔσο τοῦ λοιποῦ· ἕξεις γάρ με ἐν σοὶ τῇ κηδεμονίᾳ[1] δεικνύμενον.

2,15-16 «Καὶ καταφεύξονται ἔθνη πολλὰ ἐπὶ τὸν Κύριον ἐν τῇ ἡμέρᾳ ἐκείνῃ καὶ ἔσονται αὐτῷ εἰς λαὸν καὶ κατασκηνώσουσιν ἐν μέσῳ σου, καὶ γνώσῃ ὅτι Κύριος παντοκράτωρ ἐξαπέσταλκέ με πρός σε. Καὶ κατακληρονομήσει Κύριος τὸν Ἰούδαν τὴν μερίδα αὐτοῦ καὶ τὴν ἁγίαν γῆν καὶ αἱρετιεῖ ἔτι τὴν Ἱερουσαλήμ»

Τοσαύτην δέ, φησίν, τὴν περὶ ὑμᾶς ἐπιδείξομαι κηδεμονίαν, ὥστε καὶ τῶν ἀλλοτρίων πολλοὺς ἐφ' ὑμᾶς καταφυγεῖν Θεὸν ὁμολογοῦντας ἑαυτῶν ἐμὲ τὸν παρ' ὑμῶν γνωριζόμενον, οἳ καὶ τῶν οἰκείων ἀποστάντες τόπων τὴν οἴκησιν αἱρήσονται τὴν ἐν σοὶ διὰ τὴν κηδεμονίαν τὴν ἐμήν[2]. Τότε δὴ μάλιστα γνώσεσθέ με Θεοῦ γνώμῃ τοῦ πάντων Κυρίου ταῦτα ὑμῖν εὐαγγελιζόμενον, ὅς τῷ τε Ἰούδα τὴν παλαιὰν αὐτῷ μερίδα τῆς γῆς ἀποδώσει πᾶσαν τὴν Ἱερουσαλήμ[3] τε ἀποφανεῖ παρὰ πᾶσιν λαμπράν. Εἶτα ἀκολούθως ἐπάγει·

2,17 «Εὐλαβείσθω πᾶσα σὰρξ ἀπὸ προσώπου Κυρίου, ὅτι ἐξεγήγερται ἐκ νεφελῶν ἁγίων αὐτοῦ»

Ὥστε πᾶσιν ὁμοίως τοῖς τε οἰκείοις καὶ τοῖς ἀλλοτρίοις ἁρμόττειν δεδοικέναι λοιπὸν τὸν Θεόν, ὃς ἐκ τῶν ἀνωτέρων τόπων, οὓς οἰκεῖν τε εἴωθε καὶ ἁγίους[4] ἐκ τῆς οἰκήσεως ἀποδεικνύναι τῆς οἰκείας, κεκίνηται δὲ ἐπὶ βοήθειαν ἡμετέραν ἐλθεῖν, τοῦτον φοβεῖσθαι πᾶσιν ἁρμόττον, τοῖς τε οἰκείοις, ὡς ἂν μὴ παρανομοῖεν καθάπαξ, καὶ τοῖς ἀλλοτρίοις, ὡς ἂν μηδὲν περὶ τοὺς αὐτῷ προσήκοντας ἐπιχειροῖεν ἔτι.

---

1. Πρβλ. Ζαχ. 2,14. **2.** Πρβλ. Ζαχ. 2,15. **3.** Πρβλ. Ζαχ. 2,16. **4.** Πρβλ. Ζαχ. 2,17.

Οὕτω δὴ ταῖς ἀποκαλύψεσι ταύταις τὰ ἐπὶ τῆς πρόσθεν ἀποκαλύψεως μηνυθέντα βεβαίωσας, ὅτι τε τιμωρήσεται τοὺς ἐναντίους **340** καὶ ὅτι εὖ ποιήσει τὴν Ἰερουσαλὴμ ἅπαντάς τε τοὺς προσήκοντας αὐτῇ τῶν Ἰουδαίων, ἐφ᾽ ἑτέρας ἀποκαλύψεις τρέπεται μάλα γε πρὸς τὸ προκείμενον ἀναγκαίας. Ἐν αἰχμαλωσίᾳ μὲν γὰρ τυγχάνοντες καὶ βασιλέως ἐστέρηντο καὶ ἱερέως, ἃ δὴ κυριώτατα πρὸς τὴν τοῦ ἔθνους συγκράτησιν ἦν, τοῦ βασιλέως μὲν ἔν τε τοῖς πολέμοις καὶ τῇ τῶν λοιπῶν διοικήσει τὴν χρείαν παρεχομένου τὴν οἰκείαν, τοῦ ἱερέως δὲ τῶν τε δεήσεων καὶ τῶν ἱκεσιῶν καὶ πάσης δὴ τῆς Θεῷ προσηκούσης ἐξάρχοντος λειτουργίας, ὅπερ οὖν καὶ ὁ Προφήτης Ὡσῆε προλέγων «διότι ἡμέρας», φησίν, «πολλὰς καθίσονται οἱ υἱοὶ Ἰσραὴλ οὐκ ὄντος βασιλέως οὐδὲ ὄντος ἄρχοντος οὐδὲ οὔσης θυσίας οὐδὲ ὄντος θυσιαστηρίου οὐδὲ ἱερατείας οὐδὲ δήλων»[1]. Δεικνύει δὲ διὰ τῆς παρούσης ἀποκαλύψεως ὁ Θεὸς τῷ Προφήτῃ εἰς διδασκαλίαν παντὸς τοῦ λαοῦ, ὅτι καὶ ταῦτα, ἃ δὴ μέγιστά τε ἦν καὶ πρῶτα καὶ ἀναγκαῖα πρὸς τὴν τοῦ κοινοῦ συγκράτησιν, ὧνπερ ἐπὶ τῆς αἰχμαλωσίας εἰκὸς ἐστέρηντο, ἀποδοθήσεται νῦν αὐτοῖς παρὰ τοῦ Θεοῦ, ἅτε τῆς πόλεως σὺν τῷ ἔθνει πᾶσαν τὴν εὐκοσμίαν ἀπολαμβάνειν μελλούσης τὴν οἰκείαν. Λέγει τοίνυν οὕτως.

3,1-5 «Καὶ ἔδειξέ μοι Κύριος τὸν Ἰησοῦν τὸν ἱερέα τὸν μέγαν ἑστῶτα πρὸ προσώπου ἀγγέλου Κυρίου, καὶ ὁ διάβολος εἱστήκει ἐκ δεξιῶν αὐτοῦ τοῦ ἀντικεῖσθαι αὐτῷ. Καὶ εἶπε Κύριος πρὸς τὸν διάβολον· Ἐπιτιμήσαι Κύριος ἐν σοί, διάβολε, καὶ ἐπιτιμήσαι Κύριος ἐν σοὶ ὁ ἐκλεξάμενος τὴν Ἰερουσαλήμ· οὐκ ἰδοὺ τοῦτο ὡς δαλὸς ἐξεσπασμένος ἐκ πυρός; Καὶ Ἰησοῦς ἦν ἐνδεδυμένος ἱμάτια ῥυπαρὰ καὶ εἱστήκει πρὸ προσώπου τοῦ ἀγγέλου. Καὶ ἀπεκρίθη καὶ εἶπε πρὸς τοὺς ἑστηκότας πρὸ προσώπου αὐτοῦ λέγων· Ἀφέλετε τὰ ἱμάτια τὰ ῥυπαρὰ ἀπ᾽ αὐτοῦ. Καὶ εἶπε πρὸς αὐτόν· Ἰδοὺ ἀφήρηκα ἀπὸ σοῦ τὰς ἀνομίας σου, καὶ ἐνδύσατε αὐτὸν ποδήρη καὶ ἐπίθετε μίτραν καὶ κίδαριν καθαρὰν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ καὶ πε-

1. Ὠσ. 3,4.

ριέβαλον αὐτὸν ἱμάτια καὶ ἐπέθηκαν μίτραν καὶ κίδαριν καθαρὰν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ»

341[524] Ἀναγκαίως δὴ τῆς ἱερωσύνης τὴν ἀποκατάστασιν ἐπὶ τοῦ προσώπου τοῦ ἱερέως ὁρᾷ, ἅτε καὶ τῆς ἱερωσύνης οὐ καθ' αὑτὴν φαινομένης ἀλλ' ἐπὶ τῶν μεταχειρίζεσθαι τεταγμένων αὐτήν. Ὁρᾷ τοίνυν «Ἰησοῦν τὸν ἱερέα τὸν μέγαν»[1] — μέγαν δὲ λέγει τὸν κατὰ διαδοχὴν τὴν τῷ Ἀαρὼν προσήκουσαν ἐκτελοῦντα λειτουργίαν — πρὸς ἀγγέλου μὲν ἑστῶτα, ἐπειδὴ πάντων μὲν ἀνθρώπων Ἄγγελοι τὴν ἐπιστασίαν εἰσὶν ἐπιτετραμμένοι, καθὼς ὅ τε Κύριος ἐν τοῖς εὐαγγελίοις φησίν, «οἱ ἄγγελοι αὐτῶν διὰ παντὸς βλέπουσι τὸ πρόσωπον τοῦ πατρός μου τοῦ ἐν τοῖς οὐρανοῖς»[2], ἔν τε ταῖς Πράξεσι τῶν μακαρίων Ἀποστόλων ὅτι «ὁ ἄγγελος αὐτοῦ ἐστι»[3] περὶ τοῦ μακαρίου λέγοντες Πέτρου. Ἀναγκαίως δὲ καὶ οὗτος πρὸ προσώπου φαίνεται ἀγγέλου τουτέστι τοῦ τὴν κηδεμονίαν αὐτοῦ κατὰ θείαν ἐπιτετραμμένου βουλήν. Εἱστήκει δὲ καὶ ὁ διάβολος τοῦ ἀντικεῖσθαι αὐτῷ, ὅπερ ἔργον ἀντιπράττειν τοῖς τῶν ἀνθρώπων ἀγαθοῖς. Οὗτος δή, φησίν, καὶ τότε ἐπηρεάζειν αὐτῷ πᾶσαν εἶχε σπουδὴν ἐξωθῶν αὐτὸν τῆς τεταγμένης αὐτῷ λειτουργίας, ἣν οὐδὲ ἐκτελεῖν αὐτὸν ἐπὶ τῆς αἰχμαλωσίας οἷόν τε ἦν. Λέγει δὴ τούτῳ τὸν Θεὸν ἐπιτιμῆσαι τὸν τὴν Ἰερουσαλὴμ ἐκλεξάμενον, ὡς ἂν γνοίη πᾶσαν τὴν ἀντίστασιν τὴν διαβολικὴν ὑπὸ τῆς τοῦ Θεοῦ πεπαυμένην κηδεμονίας, ὃς τὴν Ἰερουσαλὴμ ἐκλεξάμενος ἀναγκαίως καὶ τούτῳ τῆς ἱερωσύνης ἀποδίδωσι τὴν εὐπρέπειαν.

Τὸ δέ, «ἰδοὺ τοῦτο ὡς δαλὸς ἐξεσπασμένος ἐκ πυρός»[4], ἵνα εἴπῃ, ὅτι ὡς ἂν εἴ τις ξύλον μέλλον ὑπὸ πυρὸς καταναλίσκεσθαι ἀθρόον ἐκσπάσας ἀβλαβὲς τηρήσειεν, οὕτω δὴ καὶ τοῦτον ὡς ἐν πυρὶ τῇ τῆς αἰχμαλωσίας ἀνάγκῃ καθεστῶτα καὶ καταφλεχθῆναι ὑπ' αὐτῆς μικροῦ κινδυνεύοντα ἐξέσπασά τε καὶ τῶν περιεχόντων ἀπήλλαξα κακῶν. Ἐνεδέδυτο δέ, φησίν, «ἱμάτια ῥυπαρὰ ὁ Ἰησοῦς»[5], **342** ἵνα εἴπῃ ὅτι τὸ περικεχυμένον ἐκ τῆς αἰχμαλωσίας αὐτῶν πένθος, ἐν ᾧπερ διῆγε παντελῶς ἔξω τῆς λειτουργίας

1. Ζαχ. 3,1. **2.** Ματθ. 18,10. **3.** Πράξ. 12,15. **4.** Ζαχ. 3,2. **5.** Ζαχ. 3,3.

ὑπάρχων τῆς θείας καὶ ἐν βαρύτητι καθεστὼς δουλείας. Ταῦτα ἀφελεῖν ἀπ' αὐτοῦ τοῖς ἑστηκόσιν ἐπιτάττει Θεός, τουτέστι ταῖς ὑπηρετουμέναις λειτουργικαῖς δυνάμεσιν, ἄγε **[525]** ταῖς θείαις ὑπηρετούμεναι βουλαῖς ἀφεῖλόν τε αὐτοῦ τῆς αἰχμαλωσίας τὴν ἐσθῆτα καὶ τὸ πένθος ἅπαν ἐκεῖνο καὶ εἰς τὴν πόλιν ἐπανήγαγον τὴν οἰκείαν. Εἶτα τούτου γεγονότες φησὶ πρὸς αὐτόν· «ἀφῄρηκα πάσας τὰς ἀνομίας σου»[1], δηλῶν ὅτι τὰ τῆς αἰχμαλωσίας λέλυται κακὰ ἐπειδὴ τῶν ἁμαρτιῶν ἀφεῖλε τὴν μνήμην. Εἶτα ἑξῆς κελεύει, τὸν ποδήρη τε αὐτὸν ἐνδύσασθαι καὶ περιτεθῆναί τε αὐτῷ τήν τε μίτραν καὶ τὴν κίδαριν[2], εἰς ἔνδειξιν τοῦ τῆς ἱερωσύνης αὐτῷ λοιπὸν ἐπιτετράφθαι τὴν ἐξουσίαν. Ὅπερ οὖν καὶ γέγονε κατὰ τὸ σύνθημα τὸ θεῖον. Ταῦτα εἰρηκὼς ὁ Προφήτης εἰς ἔνδειξιν τοῦ τὴν ἱερωσύνην αὐτοῖς ἀποδεδόσθαι[3] καὶ τὸν ἱερέα πάλιν ἐπὶ τῆς συνήθους ἐξετάζεσθαι λειτουργίας τὴν οἰκείαν περὶ τὸ πρᾶγμα παῤῥησίαν τε ἔχοντα καὶ ἐξουσίαν, ἐπάγει.

3,5-7 «Καὶ ὁ ἄγγελος Κυρίου εἱστήκει. Καὶ διεμαρτύρατο ὁ ἄγγελος Κυρίου πρὸς Ἰησοῦν λέγων· Τάδε λέγει Κύριος παντοκράτωρ· Ἐὰν ἐν ταῖς ὁδοῖς μου πορεύσῃ καὶ ἐὰν τὰ προστάγματά μου φυλάξῃς, καὶ σὺ διακρινεῖς τὸν οἶκόν μου· καὶ ἐὰν διαφυλάσσῃς τὴν αὐλήν μου, καὶ δώσω ἀναστρεφομένους ἐν μέσῳ τῶν ἑστηκότων τούτων»

Ἀκολούθως ἀπειληφότι τῆς ἱερωσύνης τὴν ἐξουσίαν ταῦτα εἰρῆσθαί φησιν, ὡς ἂν γνοίη ὅπως αὐτὸν μεταχειρίζεσθαι προσῆκε τὴν λειτουργίαν. Ἐὰν γάρ, φησίν, ἐπιμένῃς τῶν προστεταγμένων παρ' ἐμοῦ φροντίδα ποιούμενος, ἔσῃ μὲν ἐν ἱερέως αὐθεντίᾳ κρίνων τοῖς πᾶσιν, καὶ τῇ αὐλῇ δὲ τῇ ἐμῇ τὴν προσήκουσαν φυλακὴν[4] διὰ τῆς ἐπιμελείας προσάγων τῆς οἰκείας, παραπέμψεις δὲ καὶ εἰς διαδόχους τὴν τιμήν, οἳ γενήσονται ἐν μέσῳ παντὸς τοῦ λαοῦ τὴν **343** προσήκουσαν αὐτοῖς ἐκτελοῦντες λειτουργίαν. Εἶτα καὶ τῆς βασιλείας τὴν ἀποκατάστασιν δηλῶν οὕτω λέγει.

---

1. Ζαχ. 3,4. **2.** Πρβλ. Ζαχ. 3,5. **3.** Πρβλ. Ἐξ. 28,4. 29,6. Λευϊτ. 8,9. **4.** Πρβλ. Ζαχ. 3,7.

3,8 «Ἄκουε δή, Ἰησοῦ ὁ ἱερεὺς ὁ μέγας, σὺ καὶ οἱ πλησίον σου οἱ καθήμενοι πρὸ προσώπου σου, διότι ἄνδρες τερατοσκόποι εἰσίν»

Ἵνα εἴπῃ, πρὸς σέ μοι ὁ λόγος καὶ πάντας τοὺς σὺν σοὶ ἄρχειν τοῦ λαοῦ πεπιστευμένους ἔν τε διδασκαλίᾳ καὶ ἐξηγήσει νομίμων καὶ τῇ λοιπῇ τῶν εἰς θεοσέβειαν ἡκόντων λειτουργίᾳ, οὓς τερατοσκόπους διὰ τοῦτο καλεῖ ὡς τῶν παρὰ τοῦ Θεοῦ παραδόξως γινομένων τὰς αἰτίας σκοπεῖν τε καὶ εἰδέναι οἵους τε ὄντας. Τί οὖν φησιν.

3,8-9 «Διότι ἰδοὺ ἐγὼ ἄγω τὸν δοῦλόν μου Ἀνατολήν· διότι λίθος, ὃν ἔδωκα πρὸ προσώπου Ἰησοῦ, ἐπὶ τὸν λίθον τὸν ἕνα ἑπτὰ ὀφθαλμοί εἰσιν»

«Ἄγω» γάρ, φησίν, «τὸν δοῦλον τὸν ἐμόν»[1] τὸν Ζοροβαβὲλ λέγων — καὶ ἀποκαθίστημι τῇ βασιλείᾳ, ἀνατολῆς οὐχ ἧττον λαμπρὸν τῇ τῆς ἐξουσίας περιουσίᾳ δεικνύς. Τοῦτον δὴ ὥσπερ τινὰ λίθον τίθημι πρὸ τῶν ὀφθαλμῶν τῶν σῶν, ἐφ' ᾧπερ ἐστηρίχθαι σε χρὴ παρέχοντα μὲν αὐτῷ τὴν ἐκ τῶν προσευχῶν καὶ τῆς ἱερωσύνης βοήθειαν, κομιζόμενον δὲ παρ' αὐτοῦ τὴν σπουδήν, ἣν ἐν τοῖς κατὰ τῶν ἐναντίων ἐπιδείκνυται πολέμοις, ὡς ἂν ἐν εἰρήνῃ διάγοντες ἐκτελοίητε τὴν ἱερωσύνην δεόντως. Θαῤῥεῖν δέ σε τούτῳ προσῆκε τῷ λίθῳ ἑπτὰ μετέχειν αὐτὸν ὀφθαλμῶν[2] νομίζοντα. Κἀνταῦθα δὲ τῷ ἑπτὰ οὐκ ἐπὶ ἀκριβολογίας ἀριθμοῦ λέγει, ἀλλ' ἵνα εἴπῃ, ὅτι δυνήσεται δὲ ταῦτα ὁ Ζοροβαβὲλ εἰς τὴν βασιλείαν παρ' ἐμοῦ προχειρισθείς, ἐπειδὴ πολλήν τινα καὶ ἄφατον αὐτῷ παρέξω τὴν ἐποψίαν τὴν ἐμὴν καὶ τὴν ἐπιμέλειαν. Ἀφ' ἧς τί γενήσεται **[528]** πλέον;

3,9 «Ἰδοὺ ἐγὼ ὀρύσσω βόθρον, λέγει Κύριος παντοκράτωρ, καὶ ψηλαφήσω πᾶσαν τὴν ἀδικίαν τῆς γῆς ἐκείνης ἐν ἡμέρᾳ μιᾷ»

Οὕτω γὰρ αὐτὸν ἐργάσομαι δυνατόν, ὥστε πάντας διὰ τῆς ἐκείνου στρατηγίας τοὺς πολεμίους τρεπόμενος ὥσπερ βόθρῳ τινὶ

---

1. Ζαχ. 3,8. 2. Πρβλ. Ζαχ. 3,9.

τῇ ἀπωλείᾳ **344** περιβάλλειν διὰ τῆς ἐμῆς τιμωρίας, ὑπὲρ ὧν ἂν ἀδικεῖν ἕλωνται τὴν ἐμοὶ προσήκουσαν γῆν, ἧσπερ οὖν ἔταξα προεστάναι τὸν βασιλέα. Εἶτα καὶ τὸ τῆς βοηθείας μέγεθος δεικνύς, οἷόν τε ἐκ τῆς τοῦ Ζοροβαβὲλ ἀπολαύσουσι στρατηγίας.

3,10 «Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, λέγει Κύριος παντοκράτωρ, συγκαλέσεται ἕκαστος τὸν πλησίον αὐτοῦ ὑποκάτω ἀμπέλου καὶ ὑποκάτω συκῆς αὐτοῦ»

Οἱ μὲν γὰρ ἐχθροὶ τούτου στρατηγοῦντος πείσονται ἐκεῖνα, οἱ δὲ τῷ λαῷ προσήκοντες τῷ ἐμῷ μετὰ πολλῆς τῆς ἡδονῆς ἀπολαύσουσι τῶν οἰκείων καρπῶν, ὥστε καὶ συνεχῶς ἐπὶ ἑστίασιν συγκαλεῖν[1] ἀλλήλους. Ἐν δὴ τούτοις τῆς τε βασιλείας καὶ τῆς ἱερωσύνης τὴν ἀποκατάστασιν δηλώσας ἑξῆς τίθησιν ἀποκάλυψιν μάλα γε ἀναγκαίως ἐπὶ τοῖς εἰρημένοις αὐτῷ δειχθεῖσαν. Λέγει δὲ οὕτως.

4,1-2 «Καὶ ἐπέστρεψεν ὁ ἄγγελος ὁ λαλῶν ἐν ἐμοὶ καὶ ἐξήγειρέ με ὃν τρόπον ὅταν ἐξεγέρθῃ ἄνθρωπος ἐξ ὕπνου αὐτοῦ· καὶ εἶπε πρός με, Τί σὺ βλέπεις;»

Ἄγγελον πάλιν τὸν ἐν αὐτῷ λαλοῦντα[2] δηλῶν ἐκεῖνον τὸν ἐν ἀνθρώπου μορφῇ ἐν μέσῳ τῶν κατασκίων ὀρέων ἐφ' ἵππου φανέντα πυῤῥοῦ[3]. Μεμαθήκαμεν γὰρ ἐκ τῶν ἀνωτέρων ἀκριβῶς ὅτι αὐτὸν ἐκεῖνον ἐν αὐτῷ λαλοῦντα πανταχοῦ λέγει, ὃν καὶ νῦν φησιν ἐξεγεῖραι μὲν αὐτὸν ὡς ἂν ἐξ ὕπνου τινὸς κατεχόμενον τῇ τῶν ἤδη δειχθέντων θεωρίᾳ, περὶ δὲ τῶν νῦν δεικνυμένων πάλιν ἐρωτῶντα αὐτόν, ὅ, τί ποτε βλέποι, ἵν' ὁ μὲν εἴπῃ τὴν ὄψιν, ὁ δὲ τῶν δειχθέντων δηλώσῃ τὸν νοῦν. Λέγει τοίνυν·

4,2-3 «Καὶ εἶπον, Ἑώρακα καὶ ἰδοὺ λυχνία χρυσῆ ὅλη, καὶ τὸ λαμπάδιον ἐπάνω αὐτῆς, καὶ ἑπτὰ λύχνοι ἐπάνω αὐτῆς, καὶ ἑπτὰ ἐπαρυστρίδες τοῖς λύχνοις τοῖς ἐπάνω αὐτῆς· καὶ δύο ἐλαῖαι ἐπάνω αὐτῆς, μία ἐκ δεξιῶν τοῦ λαμπαδίου αὐτῆς καὶ μία ἐξ εὐωνύμων»

Ἡ μὲν λυχνία[4] δήλωσις τῆς θείας χάριτός ἐστιν ἁπτομένης μὲν τῶν ἐπὶ γῆς διηκούσης δὲ ἄχρι τῶν ὑπὲρ γῆν πραγμάτων, ἅτε τῶν

---

1. Πρβλ. Ζαχ. 3,10. **2.** Πρβλ. Ζαχ. 4,1. **3.** Πρβλ. Ζαχ. 1,8. **4.** Πρβλ. Ζαχ. 4,2.

ἁπάντων **345** ταύτῃ διοικουμένων, ἣν καὶ εἰκότως ὡς μεγάλην τε καὶ περιφανῆ χρυσῆν ὅλην εἶδεν, ἐπειδὴ χρυσὸς ἁπασῶν τῶν ἀπὸ γῆς ὑλῶν ἐστι τὸ τιμιώτατον· τὸ δὲ ἐπάνω αὐτῆς λαμπάδιον δηλοῖ τὸ ἐκ τῆς χάριτος τῆς θείας ἐξ ὕψους ἅπαντας τοὺς ἐπὶ γῆς περίλαμπον φῶς. Ἑπτὰ δὲ λύχνους ὁρᾷ τὸ τέλειόν τε καὶ πλούσιον τῆς χάριτος δεικνύς, ὡς ἀνωτέρω λέγει τό «ἐπὶ τὸν λίθον τὸν ἕνα ἑπτὰ ὀφθαλμοί εἰσιν»[1], ἵνα εἴπῃ τῆς ἐπιμελείας τῆς οἰκείας τὸ μέγεθος. Εἶτα ἑκατέρωθεν τοῦ λαμπαδίου ἐλαίας[2], τὴν μὲν ἐκ δεξιῶν τὴν δὲ ἐξ εὐωνύμων, ὅπερ ἐδήλου τήν τε βασιλείαν καὶ τὴν ἱερωσύνην, ἅπερ ἀκρότατα παρὰ τοῖς ἀνθρώποις εἶναι δέδωκεν ὁ Θεός, ὡς τῇ μὲν διοικεῖσθαι τὰ πρὸς τὴν τοῦ παρόντος βίου κατάστασιν ἐπιτήδεια, τὴν δὲ αὐτάρκη τυγχάνειν εἰς τὸ προσάγειν ἀνθρώπους Θεῷ. Ταῦτα πρὸς τὸν ἄγγελον ἑωρακέναι ὁ Προφήτης εἰπὼν ἐπάγει·

4,4-6 «Καὶ ἐπηρώτησα καὶ εἶπον πρὸς τὸν ἄγγελον τὸν λαλοῦντα ἐν ἐμοὶ λέγων· Τί ἐστι ταῦτα, Κύριε; Καὶ ἀπεκρίθη ὁ ἄγγελος ὁ λαλῶν ἐν ἐμοὶ καὶ εἶπε πρός με λέγων· Οὐ γινώσκεις τί ἐστι ταῦτα; καὶ εἶπον Οὐχί, Κύριε. Καὶ ἀπεκρίθη καὶ εἶπε πρός με λέγων· Οὗτος ὁ λόγος Κυρίου πρὸς Ζοροβαβὲλ λέγων· Οὐκ ἐν δυνάμει μεγάλῃ οὐδὲ ἐν ἰσχύι, ἀλλ' ἐν πνεύματί μου, λέγει Κύριος παντοκράτωρ»

[529] Οὗτος δὴ ὁ ἄγγελος, ὃν ἐν αὐτῷ λαλεῖν ὁ Προφήτης λέγει, οὗτος δὴ καὶ τὰς ὑπὲρ τῆς Ἰερουσαλὴμ δεήσεις ὤφθη ποιούμενος[3], ὡς ἁπάντων μὲν τῶν κατὰ τὴν Ἰουδαίαν τὴν ἐπιστασίαν ἐπιτετραμμένος ἀναγκαίως δὲ καὶ τὴν ὑπὲρ αὐτῶν δέησιν προσάγων τῷ Θεῷ. Ὅθεν καὶ ὁ Προφήτης τοῦτον καὶ ἐρωτᾷ[4] καὶ τὰ καθ' ἕκαστον μανθάνει, ἐπειδὴ πάντων τῶν δειχθέντων δήλωσιν ἐχόντων τῆς περί τε τὴν πόλιν καὶ τὸ ἔθνος τοῦ Θεοῦ φιλοτιμίας ἀναγκαίως ἥρμοττε παρὰ τούτου τὰ καθ' ἕκαστον τῶν δεικνυμένων ὅπως ἔχοι μανθάνειν. Συντόμως οὖν εἶπεν αὐτῷ τῶν δειχθέντων τὴν δύναμιν, ὅτι τῆς χάριτός ἐστι δήλωσις τῆς θείας, ἣ καὶ τὴν τοῦ Ζοροβαβὲλ[5] **346** προεχειρίσατο βασιλείαν, ὃς οἴκοθεν μὲν δύ-

1. Ζαχ. 3,9. **2.** Πρβλ. Ζαχ. 4,3. **3.** Πρβλ. Ζαχ. 1,12. **4.** Πρβλ. Ζαχ. 4,4. **5.** Πρβλ. Ζαχ. 4,6.

ναται καὶ καθ' αὑτὸν οὐδὲν κατορθοῦν τῶν εἰς τὴν βασιλείαν ἡκόντων καὶ τὴν τοῦ λαοῦ προστασίαν, τῇ δὲ χάριτι τῇ θείᾳ προβεβλημένος ταύτῃ καὶ τὸ δύνασθαι ἔχει. Ὅθεν καὶ δεικνὺς τῆς περὶ αὐτὸν δωρεᾶς τὸ μέγεθος.

4,7 «Τίς εἶ σύ, τὸ ὄρος τὸ μέγα, πρὸ προσώπου Ζοροβαβὲλ τοῦ κατορθῶσαι; καὶ ἐξοίσω τὸν λίθον τῆς κληρονομίας ἰσότητα χάριτος αὐτῆς»

Ἐπειδὴ γὰρ λίθον ὠνόμασε τὸν Ζοροβαβέλ, ὄρος λέγει μέγα τοὺς ἄγαν δυνατοὺς ἐν βασιλείᾳ τε καὶ στρατοπέδων καὶ ὑπηκόων πλήθει. Τίς γὰρ δή, φησίν, οὕτω μέγας ἐστὶν ἢ οὕτω μέγα δυνάμενος διά τε τὸ πλῆθος τῶν ὑπηκόων καὶ τὴν τοῦ ὁπλιτικοῦ παρασκευήν, ὥστε δυνηθῆναι ἀπεναντίας τι τοῦ Ζοροβαβὲλ ἰσχῦσαι, ὃν διάδοχον τῆς βασιλικῆς ἀποδείξας κληρονομίας, ἧς τὰς ἐπαγγελίας πρὸς τὸν προπάτορα τοῦ γένους ἐποιησάμην, λέγω δὴ τὸν Δαβίδ[1], ὅλον δι' ὅλου τῆς χάριτος πληρώσω τῆς ἐμῆς — τοῦτο γάρ «ἰσότητα» λέγει «χάριτος»[2] —, ἀφ' ἧσπερ αὐτῷ ἀναγκαίως προσέσται τὸ μεγάλα ὑπὲρ τῶν οἰκείων στρατηγοῦντι δυνηθῆναι κατὰ τῶν ἐναντίων. Εἶτα τὰς ἐπαγγελίας τὰς περὶ αὐτὸν βεβαιῶν.

4,8-10 «Καὶ ἐγένετο λόγος Κυρίου πρός με λέγων· Αἱ χεῖρες Ζοροβαβὲλ ἐθεμελίωσαν τὸν οἶκον τοῦτον, καὶ αἱ χεῖρες αὐτοῦ ἐπιτελέσουσιν αὐτόν, καὶ ἐπιγνώσεσθε ὅτι Κύριος παντοκράτωρ ἐξαπέσταλκέ με πρὸς ὑμᾶς. Διότι τίς ἐξουδένωσεν εἰς ἡμέρας μακράς;»

Αὐτὸς δὴ οὗτος καὶ τοῦ οἴκου[3] τοῦ ἐμοῦ τοὺς θεμελίους καταβαλόμενος αὐτὸς αὐτὸν καὶ πρὸς πέρας ἄξει, ὥστε καὶ ἐκ τούτου πᾶσι δῆλον γενέσθαι, ὅτι γνώμῃ Θεοῦ παραγέγονα ταῦτα προμηνύσων ὑμῖν μὴ τοίνυν μηδ' ὡς ἐν χρόνῳ πολλῷ τούτων γίνεσθαι μελλόντων ἀπιστήσητε τοῖς λεγομένοις· ἀνοητότατος γὰρ εἴη ἂν ὁ τὰς ἀποφάσεις τὰς ἐμὰς ἀτελεῖς νομίζων τῷ μήκει γίγνεσθαι τοῦ χρόνου — τοῦτο γὰρ λέγει τό «ἐξουδένωσεν ἡμέρας μακράς»[4] —

---

1. Πρβλ. Β' Βασ. 7,13. **2.** Ζαχ. 4,7. **3.** Πρβλ. Ζαχ. 4,9. **4.** Ζαχ. 4,10.

ἐμοῦ **347** δυναμένου ῥᾳδίως ἅπαντα καθὼς ἂν ἐθελήσω ποιεῖν μετὰ πολλῆς τε ἄγειν τῆς συντομίας **[532]** εἰς πέρας τὰ πολλοῦ δεόμενα τοῦ χρόνου. Καὶ βεβαιῶν τὸ εἰρημένον.

4,10 «Καὶ χαρήσονται καὶ ὄψονται τὸν λίθον τὸν κασσιτέρινον ἐν χειρὶ Ζοροβαβέλ»

Μὴ τοίνυν ἀπιστεῖτε, φησίν, τοῖς λεγομένοις, ἐπειδὴ καὶ ὄψεσθε αὐτῶν τὸ πέρας καὶ χαρήσεσθε τὴν περὶ πάντα δύναμιν ὁρῶντες τοῦ Ζοροβαβέλ[1]. Τοῦτο γὰρ λέγει τὸν κασσιτέρινον λίθον, τὴν περιεσομένην αὐτῷ δηλῶν ἰσχὺν παρὰ τοῦ Θεοῦ. Ὅθεν καὶ τὴν αἰτίαν ἐπήγαγεν.

4,10 «Ἑπτὰ οὗτοι ὀφθαλμοὶ Κυρίου εἰσὶν οἱ ἐπιβλέποντες ἐπὶ πᾶσαν τὴν γῆν»

Ὁ γὰρ τὰ πάντα ἐφορῶν τε καὶ διοικῶν καὶ σῴζων πλουσίως τε καὶ ποικίλως, οὗτός ἐστιν ὁ καὶ ταῦτα ὑποσχόμενός τε περὶ τοῦ Ζοροβαβὲλ καὶ πρὸς πέρας ἄξων. Καὶ γὰρ κἀνταῦθα τό «ἑπτά» ἐπὶ τοῦ τελείου λέγει.

4,11-14 «Καὶ ἀπεκρίθην καὶ εἶπον πρὸς αὐτόν· Τί αἱ δύο ἐλαῖαι αὗται αἱ ἐκ δεξιῶν τῆς λυχνίας καὶ ἐξ εὐωνύμων αὐτῆς; καὶ ἐπηρώτησα ἐκ δευτέρου καὶ εἶπον πρὸς αὐτόν· Τί οἱ δύο κλάδοι τῶν ἐλαιῶν οἱ ἐν ταῖς χερσὶ τῶν δύο μυξωτήρων τῶν χρυσῶν τῶν ἐπιχεόντων καὶ ἐπαναγόντων τὰς ἐπαρυστρίδας τὰς χρυσᾶς; καὶ εἶπε πρός με· Οὐκ οἶδας τί ἐστι ταῦτα; καὶ εἶπον Οὐχί, Κύριε. Καὶ εἶπεν Οὗτοι οἱ δύο υἱοὶ τῆς πιότητος, οἳ παρεστήκασι τῷ Κυρίῳ πάσης τῆς γῆς»

Ἐρωτᾷ τί μὲν αἱ δύο βούλονται ἐλαῖαι, ὧν ἡ μὲν ἐκ δεξιῶν ἡ δὲ ἐξ εὐωνύμων ἐτύγχανε τῆς λυχνίας[2] ἤτοι τοῦ ἐπ' αὐτὴν λαμπαδίου, τί δὲ οἱ ἐκπεφυκότες «δύο κλάδοι τῶν ἐλαιῶν»[3], περὶ ὧν ἤκουσεν· «οὗτοι οἱ δύο υἱοὶ τῆς πιότητος, οἳ παρεστήκασι τῷ Κυρίῳ πάσης τῆς γῆς»[4]. Ἐπειδὴ γάρ, αἱ ἐλαῖαι τῆς βασιλείας καὶ τῆς ἱερωσύνης ἦσαν γνώρισμα, ἃς ἐπὶ γῆς κρατεῖν ἔταξεν ὁ **348** Θεός, δύο κλάδους ἐκ τῶν ἐλαιῶν ἐκπεφυκότας λέγει τόν τε Ζοροβαβὲλ

---

1. Πρβλ. Ζαχ. 4,10. **2.** Πρβλ. Ζαχ. 4,11. **3.** Ζαχ. 4,12. **4.** Ζαχ. 4,14.

καὶ τὸν Ἰησοῦν, ὧν ὁ μὲν ἐκ τῆς θείας χάριτος εἰς τὴν βασιλείαν παρῆκτο, ὁ δὲ τῇ τῆς ἱερωσύνης χάριτι πρὸς τὴν λειτουργίαν προβέβλητο τὴν θείαν. Διὰ τοῦτο καὶ πιότητος αὐτοὺς ἐκάλεσεν υἱούς, ἵνα εἴπῃ, οἱ ἐκ τῶν μεγίστων καὶ τιμιωτάτων παρὰ τοῖς ἀνθρώποις ἐκπεφυκότες, βασιλείας τε καὶ ἱερωσύνης, οἳ πάντες ὑπουργεῖν εἰσι Θεῷ τεταγμένοι τῷ πάντων Κυρίῳ. Διὰ πάντων μὲν δὴ τούτων τὰ κατά τε τὴν Ἰερουσαλὴμ καὶ τὸ τῶν Ἰουδαίων ἔθνος ὅτι μεγίστην ἐπίδοσιν εἰς τὸ κρεῖττον λήψεται δεδήλωκεν ὁ Προφήτης, τιμωρουμένων μὲν τῶν ἐχθραινόντων αὐτοῖς, κηδεμονίας δὲ πολλῆς ἀξιουμένων ἐν ἅπασιν αὐτῶν παρὰ τοῦ Θεοῦ, ἅτε καὶ ἐπανιέναι ἀπὸ τῆς αἰχμαλωσίας μελλόντων ἑτέρων οὐκ εὐαριθμήτων τινῶν, οὓς ἐπ' ἐκείνου τοῦ σχήματος εἶναι τότε συνέβαινεν ἔτι, ἀποδοθείσης δὲ αὐτοῖς καὶ τῆς βασιλικῆς καὶ τῆς ἱερατικῆς ἀξίας διὰ τῶν ἐκ τῆς θείας χάριτος ἐπὶ τοῦτο προβεβλημένων. Ἀλλὰ γὰρ ὥστε μὴ τὴν ὑπερβάλλουσαν μήνυσιν τῶν ἀγαθῶν ῥᾳθυμοτέρους αὐτοὺς ἀπεργάσασθαι, θαῤῥοῦντας μὲν ταῖς ἐπαγγελίαις ταῖς θείαις ἀμελοῦντας δὲ τοῦ προσήκοντος, ἀποκάλυψιν ὁρᾷ λοιπόν, δι' ἧς αὐτοῖς καὶ φόβος ἐνετίθετο πρὸς τὸ φεύγειν μὲν τὰ χείρω μετιέναι δὲ τὰ κρείττω. Λέγει δὲ οὕτως.

5,1-4 «Καὶ ἐπέστρεψα καὶ ἦρα τοὺς ὀφθαλμούς μου καὶ εἶδον καὶ ἰδοὺ δρέπανον πετόμενον. Καὶ εἶπε πρός με· Τί σὺ βλέπεις; καὶ εἶπον, Ἐγὼ ὁρῶ δρέπανον πετόμενον μήκους πηχῶν εἴκοσι καὶ πλάτους πηχῶν δέκα. Καὶ εἶπε πρός με· Αὕτη ἡ ἀρὰ ἡ ἐκπορευομένη ἐπὶ πρόσωπον πάσης τῆς γῆς, διότι πᾶς ὁ κλέπτης ἐκ τούτου ἕως θανάτου ἐκδικηθήσεται, καὶ πᾶς ὁ ἐπίορκος ἐκ τούτου ἕως θανάτου ἐκδικηθήσεται· καὶ ἐξοίσω αὐτό, λέγει Κύριος παντοκράτωρ, καὶ εἰσελεύσεται εἰς τὸν οἶκον τοῦ κλέπτου καὶ εἰς τὸν οἶκον τοῦ ὀμνύοντος τῷ ὀνόματί μου ἐπὶ ψεύδει καὶ καταλύσει ἐν μέσῳ τοῦ οἴκου αὐτοῦ καὶ συντελέσει αὐτὸν καὶ τὰ ξύλα αὐτοῦ καὶ τοὺς λίθους αὐτοῦ»

349 [533] Δρέπανον[1] μὲν ὁρᾷ ἱκανὸν κάτωθεν τὰ προσπίπτοντα ἐκτέμνειν, πετόμενον δὲ εἰς δήλωσιν τοῦ ὀξέως τὴν τιμωρίαν

1. Πρβλ. Ζαχ. 5,1.

ἐπάγεσθαι τὴν θείαν τοῖς ταύτης ἀξίοις, πλάτος δὲ καὶ μῆκος[1], ὡς ἂν καὶ τῷ μεγέθει φοβήσειε τοὺς ἀκούοντας. Λέγει δὲ τὴν τιμωρίαν ταύτην κατά τε κλεπτόντων καὶ ἐπιορκούντων[2] κινεῖσθαι, δήλου γε ὄντος, ὡς οὐ ταῦτα μόνον ἐστὶν ἐν ἀνθρώποις παρανομήματα, πολλὰ δὲ καὶ ἕτερα, φόνος τε καὶ μοιχεία καὶ τὰ λοιπὰ δή, ἃ μηδὲ ἀριθμεῖν ῥᾴδιον. Τί οὖν ἐστιν, ὅ φησιν; Εἰς δύο ταῦτα κυριώτατα μεμερίσθαι τὰς ἐντολὰς συμβέβηκε τὰς θείας, εἴς τε τὴν περὶ Θεὸν γνώμην καὶ εἰς τὴν περὶ τὸν πλησίον ἀγάπην, ὡς καὶ ὁ Κύριος εἰπών, «ἀγαπήσεις Κύριον τὸν Θεόν σου ἐξ ὅλης τῆς καρδίας σου καὶ ἐξ ὅλης τῆς διανοίας σου καὶ ἐξ ὅλης τῆς ἰσχύος σου. Καὶ ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν»[3], ἐπήγαγεν, «ἐν ταῖς δυσὶν ἐντολαῖς ταύταις ὅλος ὁ νόμος καὶ οἱ Προφῆται κρέμανται»[4]. Βουληθεὶς τοίνυν συντόμως εἰπεῖν τά τε εἰς τὸν Θεὸν παρανομήματα τά τε εἰς τὸν πλησίον, τῇ μὲν ἐπιορκίᾳ ὡς εἰς Θεὸν τεινούσῃ τὰς ἀσεβείας πάσας, λέγω δὲ τὰς εἰς Θεὸν πλημμελείας, συλλήβδην λέγει, τῇ δὲ κλοπῇ τὴν περὶ τὸν πλησίον. Ἐπειδὴ γὰρ ἀφαίρεσις τῶν οὐ προσόντων ἐστὶν ἡ κλοπή, κλοπὴν κοινῶς ὠνόμασε πᾶσαν τὴν τῶν ἀλλοτρίων ἀφαίρεσιν, ἵνα συντόμως εἴπῃ, ὅτι ἡ ἀρὰ αὕτη μεγίστη τε καὶ φοβερὰ καὶ παντί γε ἐπιοῦσα εἴτε εἰς Θεόν τι ἀσεβοίη εἴτε εἰς τὸν πλησίον κατά τι πταίοι. Λέγει δὲ ὅτι «καὶ καταλύσει ἐν μέσῳ τοῦ οἴκου αὐτοῦ καὶ συντελέσει αὐτὸν καὶ τὰ ξύλα αὐτοῦ καὶ τοὺς λίθους αὐτοῦ»[5], ἵνα εἴπῃ, ὅτι μενεῖ παρὰ τῷ τοιούτῳ ἀμετανοήτως πταίοντι ἡ τιμωρία ἡ θεία ἄχρις ἂν αὐτὸν σὺν ἅπασιν ἐξαλείψῃ τοῖς προσήκουσιν. Διὰ δὲ τούτων αὐτάρκως φοβήσας αὐτοὺς δείκνυσι διὰ τῶν ἑξῆς ἀφῃρημένην αὐτῶν τὴν ὑπὲρ τῶν παρεληλυθότων ἁμαρτίαν τε καὶ τιμωρίαν, ὡς ἂν μειζόνως ἔχοιεν εἰδέναι ὅτι τῆς ἐπὶ τοῖς προειληφόσι χάριτος τετυχηκότας προσήκοι ἂν ἐπιμελέστερον ἀντέχεσθαι τῶν δοκούντων **350**
Θεῷ. Διὸ ἐπάγει.

5,5-8 «Καὶ ἐξῆλθεν ὁ ἄγγελος ὁ λαλῶν ἐν ἐμοὶ καὶ εἶπε πρός με· Ἀνάβλεψον τοῖς ὀφθαλμοῖς σου καὶ ἴδε τί τὸ ἐκπορευόμενον

---

1. Πρβλ. Ζαχ. 5,2. **2.** Πρβλ. Ζαχ. 5,3,4. **3.** Ματθ. 22,37,39. Δευτ. 6,5. Λευϊτ. 19,16. **4.** Ματθ. 22,40. **5.** Ζαχ. 5,4.

τοῦτο. Καὶ εἶπον, Τί ἐστι; καὶ εἶπε· Τοῦτο τὸ μέτρον τὸ ἐκπορευόμενον. Καὶ εἶπεν· Αὕτη ἡ ἀδικία αὐτῶν ἐν πάσῃ τῇ γῇ. Καὶ ἰδοὺ τάλαντον μολίβου ἐξαιρόμενον, καὶ ἰδοὺ γυνὴ μία ἐκάθητο ἐν μέσῳ τοῦ μέτρου. Καὶ εἶπεν· Αὕτη ἐστὶν ἡ ἀνομία· καὶ ἔῤῥιψε τὸ τάλαντον τοῦ μολίβου εἰς τὸ στόμα αὐτῆς»

Τὸν αὐτὸν **[536]** ὁρᾷ πάλιν ἄγγελον[1] ἀπιδεῖν αὐτῷ κελεύοντα πρὸς τὸ ἐν τῇ ὄψει διατρέχειν τῇ παρούσῃ δοκοῦν. Εἶθ' ὁ μὲν Προφήτης θεασάμενος ἤρετο, τί δὴ τοῦτό ἐστιν[2]; Ὁ δὲ ἀπεκρίνατο, ὅτι μέτρον τοῦτο τῆς τιμωρίας, ἣν ὑπομεῖναι προσῆκον ἦν τοὺς Ἰσραηλίτας ὑπὲρ ὧν διεπράττοντο. Εἶτα θεωρεῖ τάλαντον μὲν μολίβου, ὁ καὶ τῇ φύσει βαρὺ καὶ τῷ σταθμῷ πολὺν ἔχον τὸν ὄγκον, ὡς ἂν οὕτω τῆς τιμωρίας δείξειε τὴν βαρύτητα· γυναῖκα δέ τινα καθεζομένην ἐπὶ τοῦ μέτρου[3], ἣν ἀνομίαν ἔφησεν εἶναι, ἐκ γὰρ τῆς ἀνομίας, ὡς εἰκός, ἡ τῆς τιμωρίας ἐγίνετο βαρύτης. Εἶτα αὐτήν τε ἔῤῥιψεν εἰς τὸ μέσον τοῦ μέτρου καὶ τὸ τοῦ μολίβου τάλαντον τέθειχεν ἐπὶ τοῦ στόματος[4] αὐτῆς, δεικνὺς ὅτι καὶ τὴν ἁμαρτίαν καὶ τὴν ἐκ ταύτης τιμωρίαν κατὰ ταὐτὸν ἠφάνισεν· πᾶσάν τε τῶν κακῶν τὴν βαρύτητα εἰς τὸ ἐκείνης ἐνέθηκε στόμα ὥσπερ ἐμφράττων καὶ διακωλύων αὐτῇ τὴν λαλίαν εἰς ἔνδειξιν τοῦ πᾶσαν αὐτῆς ἀφῃρῆσθαι τὴν δύναμιν καὶ μηδὲ φωνῆς ἔτι κυρίαν εἶναι, τῷ καὶ τοῖς ὀνειδίζουσιν αὐτοὺς πρότερον ἐφ' οἷς ἔπασχον ὡς ὑπὸ τοῦ Θεοῦ καταλελειμμένοις ἅπασαν ἀνῃρῆσθαι τοιαύτην φωνήν, ὡς ὁ μακάριος λέγει Δαβίδ «ἄλαλα γενηθήτω τὰ χείλη τὰ δόλια τὰ λαλοῦντα κατὰ τοῦ δικαίου ἀνομίαν»[5]. Ἀλλὰ ταῦτα μὲν εἶδεν εἰς ἀπόδειξιν τοῦ τά τε ἀνομήματα καὶ τὰς ὑπὲρ τούτων τιμωρίας **351** τῶν Ἰσραηλιτῶν παντελῶς ἀφῃρῆσθαι, δεικνὺς δὲ ὅτι ἀφῄρηται μὲν αὐτῶν ἡ τιμωρία εἰς δὲ τοὺς ἐχθροὺς μετενήνεκται τοὺς αὐτῶν ἐπάγει·

5,9-11 «Καὶ ἦρα τοὺς ὀφθαλμούς μου καὶ εἶδον καὶ ἰδοὺ δύο γυναῖκες ἐκπορευόμεναι, καὶ πνεῦμα ἐν ταῖς πτέρυξιν αὐτῶν, καὶ αὗται εἶχον πτέρυγας ὡς πτέρυγας ἔποπος· καὶ ἀνέλαβον τὸ μέ-

---

1. Πρβλ. Ζαχ. 5,5. **2.** Πρβλ. Ζαχ. 5,6. **3.** Πρβλ. Ζαχ. 5,7. **4.** Πρβλ. Ζαχ. 5,8. **5.** Ψαλ. 30,19.

τρον ἀνὰ μέσον τῆς γῆς καὶ ἀνὰ μέσον τοῦ οὐρανοῦ. Καὶ εἶπον πρὸς τὸν ἄγγελον τὸν λαλοῦντα ἐν ἐμοί· Ποῦ αὗται ἀποφέρουσι τὸ μέτρον; καὶ εἶπε πρός με· Οἰκοδομῆσαι αὐτῷ οἰκίαν ἐν γῇ Βαβυλῶνος καὶ ἑτοιμάσαι, καὶ θήσουσιν αὐτὸ ἐκεῖ ἐπὶ τὴν ἑτοιμασίαν αὐτοῦ»

Θεωρεῖ δὴ λοιπὸν ἐπ' ἐκείνοις δύο γυναῖκας, αἳ μετὰ πολλοῦ διίπταντο τοῦ τάχους. Τοῦτο γὰρ δηλοῖ τό «πνεῦμα ἐν ταῖς πτέρυξιν αὐτῶν»[1]. Ὑφ' οὗπερ ὡς ὠθούμεναι ὀξυτέραν ἐποιοῦντο τὴν πτῆσιν. Τούτου δὲ ἕνεκεν καὶ ὡς ἔποπος λέγει τὰς πτέρυγας αὐτῶν εἶναι, ἐπειδὴ ὀξεῖα τοῦ ὀρνέου ἡ πτῆσις. Αὗται δή, φησίν, αἱ γυναῖκες ἐκεῖνο τῆς τιμωρίας τὸ μέτρον ἁρπάσασαί τε καὶ εἰς ὕψος ἀναγαγοῦσαι μετὰ πολλῆς τῆς σφοδρότητος καθιπτάμεναι ἀπῆγον. Διὰ γὰρ τοῦτο εἶπε τό «ἀνὰ μέσον τῆς γῆς καὶ ἀνὰ μέσον τοῦ οὐρανοῦ»[2], ἐπειδὴ ἐξ ὕψους ἐπὶ τὰ κατώτερα εὐμαρέστερα τοῖς ὀρνέοις ἡ πτῆσις καὶ ὀξυτέρα γίνεται. Ἠρόμην οὖν, φησίν, ὅποι μὲν ἀπίοιεν, ὅποι δὲ ἀπάγοιεν τὸ μέτρον· ἔγνων δὲ παρὰ τοῦ ἀγγέλου ὅτι περ αὐτὸ εἰς τὴν Βαβυλῶνος ἐπάγουσι γῆν[3], αὐτόθι τε αὐτῷ οἰκίαν οἰκοδομήσουσαι κἀκεῖ πᾶσαν αὐτῷ τὴν οἴκησιν ὁριοῦσαι, ἵνα εἴπῃ, ὅτι τὴν τιμωρίαν πᾶσαν εἰς Βαβυλῶνα ἀπάξει μένουσαν αὐτοῖς καὶ οὐ λυθησομένην ἔτι, ὅνπερ δὴ τρόπον λύσιν ἐδέξατο τὰ ὑμέτερα. Ἀλλὰ γὰρ εἰς βεβαίωσιν τῶν εἰρημένων ἐπάγει πάλιν. **[537]**

6,1-8 «Καὶ ἐπέστρεψα καὶ ἦρα τοὺς ὀφθαλμούς μου καὶ εἶδον τέσσαρα ἅρματα ἐκπορευόμενα ἐκ μέσου δύο ὀρέων, καὶ τὰ ὄρη ἦν ὄρη χαλκᾶ. Ἐν τῷ ἅρματι τῷ πρώτῳ ἵπποι πυῤῥοὶ καὶ ἐν τῷ ἅρματι τῷ δευτέρῳ ἵπποι μέλανες, καὶ ἐν τῷ ἅρματι τῷ τρίτῳ ἵπποι λευκοί, καὶ ἐν ἅρματι τῷ τετάρτῳ ἵπποι ποικίλοι ψαροί. Καὶ ἀπεκρίθην καὶ εἶπον πρὸς τὸν ἄγγελον τὸν λαλοῦντα ἐν ἐμοί· Τί ἐστι ταῦτα, Κύριε; καὶ ἀπεκρίθη ὁ ἄγγελος ὁ λαλῶν ἐν ἐμοὶ καὶ εἶπε πρός με· Ταῦτά ἐστιν οἱ τέσσαρες ἄνεμοι τοῦ οὐρανοῦ, οἳ ἐκπορεύονται παραστῆναι τῷ Κυρίῳ πάσης τῆς γῆς· ἐν ᾧ ἦσαν οἱ ἵπποι οἱ μέλανες, ἐξεπορεύοντο ἐπὶ γῆς βοῤῥᾶ, καὶ οἱ λευκοὶ ἐξε-

---

1. Ζαχ. 5,9. **2.** Ζαχ. 5,10. **3.** Πρβλ. Ζαχ. 5,11.

πορεύοντο κατόπισθεν αὐτῶν, καὶ οἱ πυῤῥοὶ ἐξεπορεύοντο ἐπὶ γῆν νότου, καὶ οἱ ποικίλοι καὶ ψαροὶ ἐξεπορεύοντο καὶ ἐζήτουν καὶ ἐπέβλεπον τοῦ περιοδεῦσαι τὴν γῆν. Καὶ εἶπε· Πορεύεσθε καὶ περιοδεύσατε τὴν γῆν· καὶ περιώδευσαν τὴν γῆν. Καὶ ἀνεβόησε καὶ ἐκάλεσέ με καὶ ἐλάλησε πρός με λέγων· Ἰδοὺ οἱ ἐκπορευόμενοι ἐπὶ γῆν βοῤῥᾶ ἀνέπαυσαν τὸν θυμόν μου ἐπὶ γῆν βοῤῥᾶ»

352 «Τέσσαρα ἅρματα»[1] λέγει δηλῶν τὰς ἐν τοῖς τέσσαρσι κλίμασι τῆς οἰκουμένης ἐφεστώσας ἀοράτους δυνάμεις[2] καὶ κατὰ θείαν ἅπαντα διαπραττομένας βουλήν. Διόπερ ὁ ἄγγελος ἐρωτηθεὶς παρὰ τοῦ Προφήτου τίνα δὴ ταῦτα εἴη[3], τέσσαρας ἀνέμους ἔφη τοῦ οὐρανοῦ τοὺς παρισταμένους τῷ Κυρίῳ πάσης τῆς γῆς. Ἐπειδὴ γὰρ κατὰ τὰ κλίματα τέσσαρας καὶ τοὺς ἀνέμους[4] λέγειν εἰώθαμεν, τέσσαρας ἀνέμους εἶπεν τοῦ οὐρανοῦ τὰς ἐν τοῖς τέσσαρσι κλίμασι δυνάμεις, ἃς οὐρανίας οὔσας παρεστάναι λέγει τῷ Θεῷ, τουτέστι διηνεκῆ τὴν λειτουργίαν ἐκτελοῦντας αὐτῷ. Καλεῖ δὲ αὐτὰς τοῦ οὐρανοῦ, ἵνα εἴπῃ ἡμῶν ὑπερκειμένας ὡς ὅταν πετεινὰ λέγῃ τοῦ οὐρανοῦ, ἐπεὶ μηδὲν ὑπὲρ οὐρανόν ἐστι τῶν ἀοράτων καὶ λειτουργικῶν δυνάμεων. Κέκληκε δὲ αὐτοὺς καὶ ἀνέμους εἰκότως εἰς δήλωσιν τοῦ μετὰ πολλοῦ τοῦ τάχους ἁπανταχοῦ παραγίνεσθαι τοῖς συνθήμασιν ὑπηρετουμένας τοῖς θείοις. Ἐκ μέσου μὲν οὖν ὀρέων εἶδεν αὐτὰς ἐκπορευομένας, ὡς ἂν τὸ ὑψηλὸν καὶ δυνατὸν δηλώσῃ **353**τῶν φύσεων. Τούτου δὲ ἕνεκεν καὶ χαλκᾶ εἶναι τὰ ὄρη ἔφη, ὥστε τὸ στεῤῥὸν αὐτῶν καὶ εὔτονον περὶ τὴν ὑπουργίαν δηλῶσαι. Τοὺς μὲν οὖν μέλανας ἐπὶ τὸν βοῤῥᾶν ἐξέπεμψεν[5], τὴν κατήφειαν τῇ χρόᾳ δηλοῦντας, ἐν ᾗπερ ἤμελλον καθιστάναι πάντας τοὺς αὐτόθι, δι' ἧς ἐπήγαγον αὐτοῖς τιμωρίας. Περὶ ὧν καί φησιν ὁ ἄγγελος ὅτι «οἱ ἐκπορευόμενοι ἐπὶ γῆν βοῤῥᾶ ἀνέπαυσαν τὸν θυμόν μου ἐπὶ γῆν βοῤῥᾶ»[6], ἵνα εἴπῃ, ὅτι ἀνάλογον τῷ θυμῷ τῷ ἐμῷ οἱ ἐπ' ἐκείνους ἀπελθόντες τοὺς τόπους ἅπαντα διεπράξαντο, μεγίσταις αὐτοὺς καὶ οἵαις προσῆκον ἦν περιβαλόντες ταῖς τιμωρίαις. Κατόπισθεν δὲ αὐτῶν τοὺς λευκούς, οἳ τῶν

---

1. Ζαχ. 6,1. **2.** Πρβλ. Ζαχ. 6,2,3. **3.** Πρβλ. Ζαχ. 6,4. **4.** Πρβλ. Ζαχ. 6,5. **5.** Πρβλ. Ζαχ. 6,6. **6.** Ζαχ. 6,8.

Βαβυλωνίων ἀναιρουμένων καὶ σφοδραῖς περιβαλλομένων ταῖς τιμωρίαις συνήργουν τῇ ἀφέσει τῶν ἀναχωρῆσαι τῆς αἰχμαλωσίας ὀφειλόντων τὴν περιεσομένην αὐτοῖς λαμπρότητα τοῦ λοιποῦ τῇ χροιᾷ δεικνύντες τῇ οἰκείᾳ. **[540]** «Οἱ πυῤῥοὶ δὲ ἐξεπορεύοντο ἐπὶ γῆν νότου»[1], ὡς θυμοῦ πνέοντες κατὰ τῶν αὐτόθι τοὺς Ἰσραηλίτας διατεθείκοτων κακῶς, μεθ' οὓς οἱ ποικίλοι καὶ ψαροὶ ὤφθησαν ζητοῦντες, ὅποι ποτὲ ἀπελθεῖν αὐτοὺς δέοι τῆς γῆς, δηλοῖ δὲ ὅτι καὶ τοῖς ὑπολιπομένοις φροντὶς ἦν πρὸς ποικίλην λειτουργίαν κατὰ τὴν χροιὰν ἐκτεταγμένοις ἰδεῖν, μή πού τι καὶ ἕτερόν ἐστι γενέσθαι παρ' αὐτῶν ὀφεῖλον κατὰ τὸ δοκοῦν τῷ Θεῷ εἰς τιμωρίαν τε τῶν ἐναντίων καὶ εὐεργεσίαν τοῦ τῶν Ἰουδαίων ἔθνους, πρὸς οὓς καὶ λέγει· «πορεύεσθε καὶ περιοδεύσατε τὴν γῆν». Εἶτα καὶ ἐπήγαγεν, «καὶ περιώδευσαν τὴν γῆν», δεικνύς, ὅτι καὶ ἐπετράπησαν τὴν φροντίδα τὴν οἰκείαν ἀγαγεῖν εἰς πέρας, καὶ ἐπιτραπέντες εἴχοντο τούτου.

6,9-15 «Καὶ ἐγένετο λόγος Κυρίου πρός με λέγων· Λάβε τὰ ἐκ τῆς αἰχμαλωσίας παρὰ τῶν ἀρχόντων καὶ παρὰ τῶν χρησίμων τῆς γῆς καὶ παρὰ τῶν ἐπεγνωκότων αὐτὴν παρὰ Ἐλδαὶ καὶ παρὰ τοῦ Τωβίου καὶ παρὰ Ἰδέου καὶ εἰσελεύσῃ σὺ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ εἰς τὸν οἶκον Ἰωσίου τοῦ Σοφονίου τοῦ ἥκοντος ἐκ Βαβυλῶνος καὶ λήψῃ ἀργύριον καὶ χρυσίον καὶ ποιήσεις στέφανον καὶ ἐπιθήσεις ἐπὶ τὴν κεφαλὴν Ἰησοῦ τοῦ Ἰωσέδεκ τοῦ ἱερέως τοῦ μεγάλου καὶ ἐρεῖς πρὸς αὐτόν· Τάδε λέγει Κύριος παντοκράτωρ· Ἰδοὺ ἀνήρ, Ἀνατολὴ ὄνομα αὐτῷ, καὶ ὑποκάτωθεν αὐτοῦ ἀνατελεῖ, καὶ οἰκοδομήσει τὸν οἶκον Κυρίου· καὶ αὐτὸς λήψεται ἀρετὴν καὶ καθιεῖται καὶ κατάρξει ἐπὶ θρόνου αὐτοῦ, καὶ ἔσται ὁ ἱερεὺς ἐκ δεξιῶν, καὶ βουλὴ εἰρηνικὴ ἔσται ἀνὰ μέσον ἀμφοτέρων. Ὁ δὲ στέφανος ἔσται τοῖς ὑπομένουσι καὶ τοῖς χρησίμοις αὐτῆς καὶ τοῖς ἐπεγνωκόσιν αὐτὴν καὶ εἰς χάριτα υἱοῦ Σοφονίου καὶ εἰς ψαλμὸν ἐν οἴκῳ Κυρίου. Καὶ οἱ μακρὰν ἀπ' αὐτῶν ἥξουσι καὶ οἰκοδομήσουσιν ἐν τῷ οἴκῳ Κυρίου, καὶ γνώσεσθε ὅτι Κύριος παντοκράτωρ

1. Ζαχ. 6,7.

ἀπέσταλκέ με πρὸς ὑμᾶς· καὶ ἔσται, ἐὰν ἀκούοντες εἰσακούσητε τῆς φωνῆς Κυρίου τοῦ Θεοῦ ὑμῶν»

354 Ὅνπερ δὴ τρόπον ὁ μακάριος Μωσῆς ἐξεληλυθὼς τῆς Αἰγύπτου κατὰ πρόσταγμα θεῖον εἴληφε παρὰ τοῦ λαοῦ τὰ πρὸς κατασκευήν τε καὶ εὐκοσμίαν τῆς σκηνῆς συντελοῦντα[1], τὸν αὐτὸν δὴ καὶ ὁ μακάριος Ζαχαρίας κελεύεται παρὰ τῶν ἐκ τῆς αἰχμαλωσίας ἐληλυθότων εἴτε ἡγουμένων εἴθ' ὅπως δήποτε δι' εὐπορίαν ἐπιτηδείων πρὸς ταῦτο καὶ παρὰ πάντων δὴ τῶν ὅλως ἀπειληφότων τὰ οἰκεῖα — χρησίμους μὲν γὰρ λέγει τῆς γῆς τοὺς δι' εὐπορίαν συνεισενεγκεῖν τι τῇ χρείᾳ δυναμένους, ἐπεγνωκότας δὲ αὐτὴν τοὺς ἀπειληφότας αὐτὴν ὡς παρ' ἐλπίδας δεξαμένους, ἣν ἀπολωλέκεσαν ἤδη —, ὥστε παρὰ τούτων ἁπάντων ἑκάστου δὴ τὰ κατὰ δύναμιν εἰσφέροντος λαβεῖν ἐπὶ τῷ τὸν οἶκον τοῦ Θεοῦ γενέσθαι τε καὶ κοσμηθῆναι. Καὶ κατὰ τὸ προσῆκον εἰρηκὼς δὲ καί τινων ὀνομασίας τῶν μάλιστα ὡς εἰκὸς ἐπιτηδείων πρὸς τοῦτο, κελεύει εἰς τὸν Ἰωσίου τοῦ Σοφονίου οἶκον εἰσεληλυθότα[2], ἐληλυθότος μὲν ἐκ τῆς κατὰ τὴν Βαβυλῶνα **355** αἰχμαλωσίας καὶ αὐτοῦ νικῶντος δὲ τοὺς ἄλλους καὶ εὐπορίᾳ καὶ τῇ περὶ τὸ πρᾶγμα προθυμίᾳ, καὶ δὴ κομισάμενον ἀργύριόν τε καὶ χρυσίον[3], ὁπόσον ἂν διδῶ, στέφανον ἐξ αὐτοῦ κατασκευάσαι τὸν ἐπικεῖσθαι τῇ τοῦ ἱερέως ὀφείλοντα κεφαλῇ εἰς τὴν τῆς ἱερωσύνης εὐκοσμίαν τε καὶ εὐπρέπειαν, τοῦτον δὲ γεγονότα ἐπιθεῖναι μὲν τῇ τοῦ ἱερέως κε**[541]**φαλῇ, εἰπεῖν δὲ πρὸς αὐτόν, ὡς ἂν περὶ τῶν προκειμένων πολλῶν τε ὄντων καὶ μεγίστων ἔχοι θαῤῥεῖν, ὅτι γνώμῃ θείᾳ ἀνὴρ ἀναπέφανται, ᾧπερ ἐκ τοῦ πράγματος ὄνομα Ἀνατολή. Λέγει δὲ τὸν Ζοροβαβὲλ ὡς ἐπὶ τῆς βασιλικῆς ἡγεμονίας δι' αὐτῶν λαμπρὸν φανούμενον τῶν πραγμάτων. «Ἀνατελεῖ» δέ, φησίν, «ὑποκάτωθεν αὐτοῦ»[4], ἀντὶ τοῦ, πᾶσα λαμπρότης ἐξ αὐτοῦ περιέσται τῷ πλήθει τῶν Ἰουδαίων· τόν τε γὰρ ναὸν οὗτος οἰκοδομήσει καὶ πᾶσαν ἐκ τῆς θείας ῥοπῆς ἀρετὴν περιθέμενος ἐπὶ τῆς βασιλικῆς καθέδρας διαμενεῖ βεβαίως. Ἐκ τούτου δή σοι τὸ θαῤῥεῖν περὶ

---

1. Πρβλ. Ἐξ. 25,2. 35,5. **2.** Πρβλ. Ζαχ. 6,10. **3.** Πρβλ. Ζαχ. 6,11. **4.** Ζαχ. 6,12.

τῶν προκειμένων περιέσται· ἔσῃ γὰρ αὐτῷ μετὰ πολλῆς συνὼν τῆς τιμῆς — τοῦτο γὰρ λέγει τό «ἔσται ἐκ δεξιῶν αὐτοῦ»[1] —, ὁμονοίας ἐν ἀμφοτέροις ὑμῖν κρατούσης, ὥς σοί τε τὰ πράγματα διὰ τῆς βασιλικῆς ἐξουσίας γίνεσθαι ῥᾴω, ἐκεῖνόν τε διὰ τῆς σῆς ἱερουργίας πολλῆς τυγχάνειν τῆς θείας ῥοπῆς. Ὁ δέ γε ἐκ τοῦ περιτεθέντος στεφάνου κόσμος οὐκ αὐτοῦ μόνου, παντὸς δὲ ἔπαινος ἔσται τοῦ πλήθους τῶν τε πρὸς τὴν θείαν ὁρώντων ἐλπίδα καὶ τῶν νῦν τὰ ἐνδεχόμενα συμβαλλομένων πρὸς τὴν τοῦ οἴκου κατασκευὴν καὶ πρό γε πάντων τοῦ Σοφονίου[2] τοσαύτην ἐπιδεδειγμένου τὴν φιλοτιμίαν, ἃ δὴ πάντα γέγονέ τε καὶ γίνεται, ὡς ἂν διηνεκὴς ἥ τε τῶν ἱερέων λειτουργία καὶ οἱ διὰ τῶν συνιόντων ὕμνοι πρὸς τὸν Θεὸν ἐκπληροῦσθαι δύναιντο. Καὶ γὰρ δὴ καὶ τῶν πόῤῥωθεν ὄντων πλείστους ὅσους συντρέχοντας ὄψεσθε τὰ παρ' ἑαυτῶν εἰς τὴν τοῦ οἴκου συνεισφέροντας οἰκοδομήν, ὡς ἐξ αὐτῶν πρόδηλον ἅπασι γενέσθαι τῶν πραγμάτων, ὅτι γνώμῃ Θεοῦ νῦν εὐαγγελιούμενος ὑμᾶς ἐλήλυθα ταῦτα, ἅπερ οὖν καὶ πρὸς πέρας ἐλεύσεται, ἐάνπερ διαμείνητε τοῖς νομίμοις ἐσπουδακότες πείθεσθαι τοῖς ἐμοῖς[3].

356 Μετὰ τοῦτο λέγει «τετάρτῳ ἔτει βασιλεύοντος Δαρείου»[4] ἀπεστάλθαι μέν τινας παρ' ἐνίων τῶν ἐν τοῖς ἀλλοτρίοις τοῦ ἔθνους τοῦ Ἰσραηλιτικοῦ βασιλευόντων πρὸς τοὺς ἐπὶ τῆς Ἱερουσαλὴμ ἱερεῖς τε καὶ Προφήτας ὥστε «ἐξιλάσασθαι»[5] μὲν τὸν Θεὸν θυσίαις ὑπὲρ ὧν ἡμαρτηκόσι συνῄδεσαν ἑαυτοῖς, ἐρωτῆσαι δὲ καὶ μαθεῖν, εἰ τὸν οἰκεῖον ἀπείληφε κόσμον ὁ τοῦ Θεοῦ ναός[6], ὡς ἂν καὶ ταῖς καθηκούσαις ἐπὶ τῇ τοῦ θείου θεραπείᾳ χρήσαιντο νηστείαις, ὅπερ οὖν καὶ πεποιήκασιν ἐπὶ πλείοσι τοῖς ἔτεσιν ἤδη, γεγονότες δὲ τούτου παρ' ἐκείνων καὶ δὴ καὶ τῶν ἀπεσταλμένων παρόντων τε καὶ τὴν χρείαν ἐκπληρούντων, ἐφ' ἧπερ ἦσαν ἀπεσταλμένοι, δι' ἀποκαλύψεως οἵας τῷ Προφήτῃ κελευσθῆναι ταῦτα πρός τε τὸν λαὸν ἅπαντα τῆς γῆς καὶ τοὺς ἱερεῖς διαλεχθῆναι, ἅπερ οὖν κἀκείνους μαθεῖν παρόντας ἐχρῆν, ὡς ἂν τὸ λεγόμενον μὴ τῶν οἰκείων μόνον ἀλλὰ καὶ τῶν ἐληλυθότων ἔχῃ διδασκαλίαν. Ἦν δὲ

1. Ζαχ. 6,13. **2.** Πρβλ. Ζαχ. 6,14. **3.** Πρβλ. Ζαχ. 6,15. **4.** Ζαχ. 7,1. **5.** Ζαχ. 7,2. **6.** Πρβλ. Ζαχ. 7,3.

τὰ λεγόμενα ταῦτα· οὐ σπουδή μοι, φησίν, νηστεύοντας ὑμᾶς καὶ κοπτομένους[1] βλέπειν, οὐ γὰρ ἐν τούτοις τὴν ἐμαυτοῦ τίθεμαι θεραπείαν, ἐπὶ ἑβδομήκοντα γοῦν τοῖς ἔτεσιν ἐν τῇ αἰχμαλωσίᾳ γεγονότες οὐδεμίαν ἐπεδείξασθε νηστείαν, καὶ ὅμως οὐδὲν τοιοῦτο παρ' ὑμῶν αἰτήσας μεταβαλομένους τῆς κακίας ἰδὼν ἀποκατέστησα τοῖς οἰκείοις· εἴτε γὰρ φάγοιτε καὶ πίοιτε[2] εἴτε καὶ μή, ὑμετέρα μὲν τὸ φαγεῖν ἀπόλαυσις ὑμετέρα δὲ καὶ τὸ μὴ φαγεῖν στέρησις, ἐμοὶ δὲ λόγος τούτων οὐδείς. Καὶ δεικνὺς ὅτι οὐ νῦν ταῦτα πρῶτόν φησι πρὸς αὐτούς. **[544]**

7,7 «Οὐχ οὗτοι οἱ λόγοι εἰσίν, οὓς ἐλάλησε Κύριος ἐν χερσὶ τῶν Προφητῶν τῶν ἔμπροσθεν, ὅταν ἦν Ἰερουσαλὴμ κατοικουμένη καὶ εὐθηνοῦσα καὶ αἱ πόλεις αὐτῆς κυκλόθεν καὶ ἡ ὀρεινὴ καὶ ἡ πεδινὴ κατῳκεῖτο;»

Ταῦτα δέ, φησίν, καὶ πάλαι διὰ τῶν Προφητῶν ἔλεγον πρὸς ὑμᾶς, ὁπηνίκα ἐπί τε τῆς οἰκείας εὐθηνίας ἦν ἡ Ἰερουσαλὴμ καὶ πᾶσαι αἱ ὑπ' αὐτὴν πόλεις[3] ὡσαύτως, ἅτε καὶ τῆς ὀρεινῆς καὶ τῆς πεδινῆς **357** χώρας τῆς προσηκούσης αὐταῖς πεπληρωμένης τῶν οἰκούντων. Καὶ ὅμως ταῦτα τότε πρὸς ὑμᾶς ἔλεγον, ὅτι μοι λόγος οὐδεὶς τῆς νηστείας, ὑμῶν οὐκ ἀγαθῇ γνώμῃ νηστευόντων[4]. Τίνων δέ μοι λόγος; ὧν ἐπιμελεῖσθαι μάλιστα προσήκειν ὑμᾶς ἐδίδασκον διὰ τῶν Προφητῶν.

7,9-10 «Κρίμα δίκαιον κρίνατε καὶ ἔλεον καὶ οἰκτιρμὸν ποιεῖτε ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ καὶ χήραν καὶ ὀρφανὸν καὶ προσήλυτον καὶ πένητα μὴ καταδυναστεύετε, καὶ κακίαν ἕκαστος τοῦ ἀδελφοῦ αὐτοῦ μὴ μνησικακεῖτε ἐν ταῖς καρδίαις ὑμῶν»

Συνεβούλευον γὰρ ὑμῖν ἁπανταχοῦ τοῦ δικαίου ποιεῖσθαι πρόνοιαν[5] πλείστην, συμπαθείᾳ τε χρῆσθαι πρὸς τοὺς πέλας καὶ δὴ καὶ πάσης βλάβης τῆς εἰς τοὺς πένητάς τε καὶ ἀπροστασιάστους ἀπέχεσθαι, καὶ μήνιδος δὲ καὶ ὀργῆς τῆς κατ' ἀλλήλων ἀφεστάναι[6], ἀφαιροῦντας τὴν μνήμην ἑαυτῶν τῶν ἐν μέσῳ πως συμβάν-

---

1. Πρβλ. Ζαχ. 7,5. **2.** Πρβλ. Ζαχ. 7,6. **3.** Πρβλ. Ζαχ. 7,7. **4.** Πρβλ. Ἠσ. 1,14. **5.** Πρβλ. Ζαχ. 7,9. **6.** Πρβλ. Ζαχ. 7,10.

των λυπηρῶν· ἀλλ' ἐγὼ μὲν τὴν νηστείαν παρωθούμενος ταῦτα συνεβούλευον ὑμῖν ποιεῖν. Τί δέ;

7,11-12 «Καὶ ἠπείθησαν τοῦ προσέχειν καὶ ἔδωκαν νῶτον αὐτῶν παραφρονοῦντα καὶ τὰ ὦτα αὐτῶν ἐβάρυναν τοῦ μὴ εἰσακούειν καὶ τὴν καρδίαν αὐτῶν ἔταξαν ἀπειθῆ τοῦ μὴ εἰσακούειν τοῦ νόμου μου καὶ τῶν λόγων, ὧν ἐξαπέσταλκε Κύριος παντοκράτωρ ἐν πνεύματι αὐτοῦ ἐν χερσὶ Προφητῶν τῶν ἔμπροσθεν»

Οὐδὲ τούτων δὴ λόγον ποιεῖσθαι ἠθέλετε, ἀλλ' ἐκ παραφροσύνης μὲν πολλῆς παντελῶς ἀπεστρέφεσθε τὰ λεγόμενα — τοῦτο γὰρ λέγει «ἔδωκαν νῶτον αὐτῶν παραφρονοῦντα»[1]—, προσέχειν δὲ τοῖς λεγομένοις οὐκ ἠθέλετε, κρίναντες καθάπαξ ἀπειθῶς ἔχειν πρὸς τοὺς νόμους τοὺς ἐμούς[2]—, οὓς διὰ τῶν Προφητῶν τῶν πρόσθεν ὑμῖν ἐξηγούμην· ἐφ' οἷς τί γέγονεν;

7,12 «Καὶ ἐγένετο ὀργὴ μεγάλη παρὰ Κυρίου παντοκράτορος»

Ὑπὲρ τούτων τὴν τοσαύτην ὑπομεμενήκατε τιμωρίαν, ὑπὲρ ὧν τὰς νηστείας ὑμῶν παρωθούμενος ἐκεῖνα συνεβούλευον, ὧν μάλιστα **358** προσῆκον ἦν ὑμᾶς ἀντέχεσθαι, λόγος δὲ ἦν ὑμῖν τῶν νόμων οὐδεὶς τῶν ἐμῶν.

7,13 «Καὶ ἔσται ὃν τρόπον εἶπε καὶ οὐκ εἰσήκουσαν αὐτοῦ, οὕτως κεκράξονται καὶ οὐ μὴ εἰσακούσω, λέγει Κύριος παντοκράτωρ»

Ὥσπερ δὲ ἐκεῖνοι τῶν παρ' ἐμοῦ λεγομένων ἀκούειν οὐκ ἤθελον[3], οὕτω δὴ κἀγὼ γεγονότων αὐτῶν ἐν τοιαύταις ἀνάγκαις βοώντων οὐ προσεῖχον. Τί δὲ πεποίηκα;

7,14 «Καὶ ἐκβαλῶ αὐτοὺς ὡς ἐν λαίλαπι εἰς πάντα τὰ ἔθνη, ἃ οὐκ ἔγνωσαν, καὶ ἡ γῆ ἀφανισθήσεται κατόπισθεν αὐτῶν ἐκ διοδεύοντος καὶ ἐξ ἀναστρέφοντος· καὶ ἔταξαν γῆν ἐκλεκτὴν εἰς ἀφανισμόν»

Ἠπείλησα γὰρ ἅπαντας ὑμᾶς ὡσπερεὶ συστροφῇ περιβαλὼν ἀνέμου μεγίστῃ διασκορπίσαι τε καὶ αἰχμαλωσίᾳ παραδοὺς εἰς

---

1. Ζαχ. 7,11. **2.** Πρβλ. Ζαχ. 7,12. **3.** Πρβλ. Ζαχ. 7,13.

χώραν ἀπαγαγεῖν, ἣν οὐκ ἤδειτε πρότε[545]ρον, ἀφανισμῷ τε περιβληθήσεσθαι τὴν γῆν ἀπεφηνάμην τὴν ὑμετέραν, οὐκ ἀναστρέφοντος ἐπ' αὐτῆς ἔτι τινός, οὐ διοδεύοντος διὰ τὴν ὑπερβάλλουσαν ἐρημίαν. Ταῦτα δὴ καὶ ἠπείλησα, φησίν, καὶ πεποίηκα, καὶ ἣν ἐξελεξάμην γῆν πρότερον εἰς κτῆσιν ὑμετέραν ἀφανισμῷ παραδέδωκα· τὸ γάρ «κεκράξονται καὶ ἀφανισθήσεται»[1], ὡς ἐπὶ μέλλοντος λέγει τὸ γεγονὸς ἐξηγούμενος, τὸν χρόνον κατὰ τὸ εἰωθὸς ἐναλλάττων, ὃ πολλαχοῦ γινόμενον ἐπὶ τῆς θείας Γραφῆς παρά τε τῷ μακαρίῳ Δαβὶδ καὶ τοῖς λοιποῖς Προφήταις διὰ πολλῶν ἐδείξαμεν ἤδη. Ὅπερ οὖν καὶ δεδήλωκεν εἰπών, «καὶ ἔταξαν γῆν ἐκλεκτὴν εἰς ἀφανισμόν»· ἔδειξε γὰρ ὅτι οὐ μέλλον πρᾶγμα λέγει, ἀλλὰ παρεληλυθός τε ἤδη καὶ γεγονός. Ἠβουλήθη δὲ δι' ὅλων εἰπεῖν, ὅτι τὴν μὲν νηστείαν ὑμῶν παρῃτούμην κακῶς γινομένην, συνεβούλευον δὲ ἃ προσῆκον ἦν πράττεσθαι παρ' ὑμῶν, καὶ ἐπειδὴ τούτοις μὴ προσείχετε, τοιαύτην ὑμῖν ἐπήγαγον τιμωρίαν. Ἀλλὰ τότε μὲν ταῦτα, φησίν, νῦν δὲ τί;

8,2 «Τάδε λέγει Κύριος παντοκράτωρ· Ἐζήλωσα τὴν Ἱερουσαλὴμ καὶ τὴν Σιὼν ζῆλον μέγαν καὶ θυμῷ μεγάλῳ ἐζήλωσα αὐτήν»

Μεταβέβληκά μου τὴν περὶ αὐτὴν σχέσιν, ὥστε καὶ ἄγαν ὀργίζεσθαι **359** ὑπὲρ ὧν πέπονθε κατὰ τῶν ἠδικηκότων αὐτήν[2]. Καὶ ἐπιμένων τοῖς εἰρημένοις.

8,3 «Τάδε λέγει Κύριος· Ἐπιστρέψω ἐπὶ Σιὼν καὶ κατασκηνώσω ἐν μέσῳ Ἱερουσαλήμ, καὶ κληθήσεται ἡ Ἱερουσαλὴμ πόλις ἀληθινὴ καὶ τὸ ὄρος Κυρίου παντοκράτορος ὄρος ἅγιον»

Ἐπανάξω γάρ μου τὴν περὶ τὸ ὄρος Σιὼν διάθεσιν καὶ φανοῦμαι πάλιν διὰ τῆς κηδεμονίας τῆς οἰκείας ἐπὶ τῆς Ἱερουσαλήμ[3], ἀποδείξω τε αὐτὴν πόλιν ὄντως συνεστῶσαν καὶ ἐν εὐθηνίᾳ καθεστῶσαν πολλῇ, τό τε ὄρος ἐφ' οὗπερ ἡ πόλις οἰκοδομεῖται ἅγιον ἀποδείξω ὡς τῆς παρουσίας ἠξιωμένον τῆς ἐμῆς. Καὶ προστιθεὶς ἔτι τοῖς αὐτοῖς.

---

1. Ζαχ. 7,14. **2.** Πρβλ. Ζαχ. 8,2. **3.** Πρβλ. Ζαχ. 8,3.

8,4-5 «Τάδε λέγει Κύριος παντοκράτωρ· Ἔτι καθίσονται πρεσβύτεροι καὶ πρεσβύτεραι ἐν ταῖς πλατείαις Ἰερουσαλήμ, ἕκαστος τὴν ῥάβδον αὐτοῦ ἔχων ἐν τῇ χειρὶ αὐτοῦ ἀπὸ πλήθους ἡμερῶν· καὶ αἱ πλατεῖαι τῆς πόλεως πλησθήσονται παιδαρίων καὶ κορασίων παιζόντων ἐν ταῖς πλατείαις αὐτῆς»

Οὕτως δέ, φησίν, ἀβλαβῆ φυλάξω τὴν πόλιν καὶ πάντας τοὺς οἰκοῦντας αὐτήν, ὥστε μὴ παραπλησίως τοῖς πρόσθεν ὑπὸ τῶν κατεχόντων κακῶν ἀώρους ὑπομένειν θανάτους, ὡς ἐν εὐθηνίᾳ δὲ πολλῇ τῆς πόλεως οὔσης ἀναγκαίως καὶ τοῖς οἰκοῦσιν αὐτὴν παρεκτείνεσθαι τὴν ζωήν, ὥστε καὶ ἀσθενοῦντας διὰ τὸ μῆκος τοῦ χρόνου τῆς ζωῆς βακτηρίαις[1] ἀναγκάζεσθαι κεχρῆσθαι εἰς τὴν τῆς πορείας βοήθειαν. Ἔσται δὲ καὶ ἡ πόλις μεστὴ «παιδαρίων τε καὶ κορασίων παιζόντων»[2]· εὐθηνουμένης γὰρ καὶ πολυανθρώπου πόλεως σημεῖον καὶ τοῦτο. Εἶτ' ἐπειδή πως πρὸς τὰ παρόντα ἀδύνατα ταῦτα εἶναι ἐφαίνετο.

8,6 «Τάδε λέγει Κύριος παντοκράτωρ· Εἰ ἀδυνατήσει ἐνώπιον τῶν καταλοίπων τοῦ λαοῦ τούτου ἐν ταῖς ἡμέραις ἐκείναις, μὴ καὶ ἐνώπιον ἐμοῦ ἀδυνατήσει; λέγει Κύριος παντοκράτωρ»

Ἀλλ' εἰ καὶ ἀδύνατα, φησίν, ταῦτα ὑμῖν **[548]** καταφαίνεται ἀφορῶσι πρὸς τὴν ὀλιγότητα τῶν νῦν συνειλεγμένων ἐπὶ τῆς πόλεως, ἀλλ' **360** οὐκ ἐμοί γε ἀδύνατον τοσαύτην ἐργάσασθαι τῶν πραγμάτων τὴν μεταβολήν[3], ὥστε ἐκ τῆς νῦν ταλαιπωρίας εἰς εὐθηνίαν πολλὴν μεταστῆναι τήν τε πόλιν καὶ τὰ κατ' αὐτὴν ἅπαντα. Καὶ πιστωσάμενος ἐξ ἑαυτοῦ τὸ δυνατὸν τῶν ἐπηγγελμένων προστίθησι πάλιν, ὅτι πολλοὺς μὲν καὶ ἑτέρους τῶν Ἰσραηλιτῶν πολλαχόθεν ἐπ' αὐτὴν συνάξω τῶν ἐπὶ τῆς αἰχμαλωσίας ὄντων ἔτι, οὓς ἀποδώσω τῇ οἰκήσει τῆς γῆς τῆς οἰκείας. Ἔσομαι δὲ ἐν αὐτοῖς διὰ τῆς κηδεμονίας γνωριζόμενος, ὡς ἐκείνους τε ἐκ τῶν πραγμάτων δείκνυσθαι λαὸν ὄντας ἐμόν, ἀφ' ὧν τοσαύτης ἀξιοῦνται παρ' ἐμοῦ τῆς προνοίας, ἐμέ τε φαίνεσθαι αὐτῶν ὄντως Θεὸν ἀφ' ὧν βεβαίαν τε αὐτοῖς παρέχω τὴν οἰκείαν χάριν καὶ τῇ

1. Πρβλ. Ζαχ. 8,4. 2. Ζαχ. 8,5. 3. Πρβλ. Ζαχ. 8,6.

δικαιοσύνῃ τῇ οἰκείᾳ κεχρημένος πάντας τιμωροῦμαι τοὺς ὅπως ποτὲ βλάπτειν αὐτοὺς ἐπιχειροῦντας, ταύταις ἐπισυνάπτει ταῖς ἐπαγγελίαις.

8,9 «Τάδε λέγει Κύριος παντοκράτωρ· Κατισχυέτωσαν αἱ χεῖρες ὑμῶν τῶν ἀκουόντων ἐν ταῖς ἡμέραις ταύταις τοὺς λόγους τούτους ἐκ στόματος τῶν Προφητῶν, ἀφ' ἧς ἡμέρας τεθεμελίωται ὁ οἶκος Κυρίου παντοκράτορος καὶ ὁ ναὸς ἀφ' οὗ ᾠκοδόμηται»

Φέρε τοίνυν, φησίν, ταύταις ταῖς ἐπαγγελίαις προσέχοντες ταῖς ἐμαῖς, ἃς πολλάκις διὰ τῶν Προφητῶν πρὸς ὑμᾶς ἐποιησάμην[1], μετὰ πολλῆς τῆς ἐπιμελείας τὸν οἶκον ἐκπληρῶσαι σπεύσατε τὸν ἐμόν, ἀναλογιζόμενοι, ἐξότε περ περὶ ταῦτα ἐσχήκατε καὶ περὶ τὴν κατασκευὴν τοῦ οἴκου τοῦ ἐμοῦ, ὁπόσην τὴν ἐπὶ τὸ κρεῖττον μεταβολὴν ἐδέξατο τὰ ὑμέτερα. Εἶτ' ἐκ παραθέσεως τῶν προτέρων δεικνὺς τὴν μεταβολήν.

8,10 «Διότι πρὸ τῶν ἡμερῶν ἐκείνων ὁ μισθὸς τῶν ἀνθρώπων οὐκ ἦν εἰς ὄνησιν, καὶ ὁ μισθὸς τῶν κτηνῶν οὐχ ὑπῆρχεν, καὶ τῷ ἐκπορευομένῳ καὶ τῷ εἰσπορευομένῳ οὐκ ἦν εἰρήνη ἀπὸ τῆς θλίψεως· καὶ ἐξαποστελῶ πάντας τοὺς ἀνθρώπους ἕκαστον ἐπὶ τὸν πλησίον αὐτοῦ»

Πάλαι μὲν γάρ, φησίν, καὶ πρὸ τῆς οἰκοδομῆς τοῦ ναοῦ ἐν πολλῇ **361** καθειστήκειτε ταλαιπωρίᾳ καὶ οὔτε αὐτοὶ πονοῦντες οὔτε τῇ τῶν κτηνῶν τῶν ὑμετέρων ἐργασίᾳ προσκείμενοι ἐκ τῶν πολλῶν τι πόνων ἀπεφέρεσθε κέρδος. Ἀνόνητα γὰρ ὑμῖν ἅπαντα ἐποίει τὸ μηδεμιᾶς μὲν εἰρήνης ἀπολαύειν, ἐν θλίψεσι δὲ πάντοτε ἐξετάζεσθαι ποικίλαις ἅπαντας τοὺς ἐπὶ τῆς πόλεως εἰσιόντας τε καὶ ἐξιόντας τῶν ἐν ὑμῖν, ἵνα εἴπῃ τοὺς ἐπὶ τῆς πόλεως ἀναστρεφομένους· ηὔξανε δὲ ταῦτα ὑμῖν τήν τε θλίψιν καὶ τὸ μὴ ἐν εἰρήνῃ[2] καθεστάναι τὸ πολλοὺς ὑμῖν ἐπεγείρεσθαι τῶν ἔξωθεν ἀνθρώπων διὰ τὴν ἀποστροφὴν τὴν ἐμήν. Ἔοικε δὲ ταῦτα κατὰ τὴν ἔννοιαν τοῖς τοῦ μακαρίου Ἀγγαίου τοῦ προφήτου σαφῶς ὀνειδίζων αὐτοῖς τὴν ῥαθυμίαν ἐμνημόνευσε μὲν τῶν ἐπιγεγονότων αὐτοῖς

---

1. Πρβλ. Ζαχ. 8,9. **2.** Πρβλ. Ζαχ. 8,10.

κακῶν, ὁπηνίκα τῆς οἰκοδομῆς κατεῤῥαθύμουν, ἐδήλωσε δὲ πόσην ἔσχε μεταβολὴν ἐπὶ τὸ κρεῖττον τὰ κατὰ τοὺς ἑλομένους τῆς οἰκοδομῆς τοῦ ναοῦ φροντίζειν τοῦ θείου. Τοῦτο γὰρ κἀνταῦθα ὁ μακάριος Ζαχαρίας λέγει, ὅτι ἐν πολλαῖς ἦτε, φησίν, ταλαιπωρίαις ἀμελοῦντες τοῦ οἴκου, ἐπειδὴ δὲ μεταβαλόντες τὴν γνώμην τὴν προσήκουσαν ἔχετε περὶ τὸν οἶκον σπουδήν, τί γέγονεν;

8,11-13 «Καὶ νῦν οὐ κατὰ τὰς ἡμέρας τὰς ἔμπροσθεν ἐγὼ ποιῶ τοῖς καταλοίποις τοῦ λαοῦ τούτου, λέγει Κύριος παντοκράτωρ, ἀλλ' ἢ δείξω εἰρήνην· ἡ ἄμπελος δώσει τὸν καρπὸν αὐτῆς, καὶ ἡ γῆ δώσει τὰ γενήματα αὐτῆς, καὶ ὁ οὐρανὸς δώσει τὴν δρόσον αὐτοῦ, καὶ κατακληρονομήσω τοῖς καταλοίποις τοῦ λαοῦ μου πάντα ταῦτα. Καὶ ἔσται ὃν τρόπον ἦτε κατάρα ἐν τοῖς ἔθνεσιν, οἶκος Ἰούδα καὶ οἶκος Ἰσραήλ, οὕτως διασώσω ὑμᾶς καὶ ἔσεσθε ἐν εὐλογίᾳ»

[549] Οὐχ ὅμοια τοῖς πρόσθεν τὰ νῦν περὶ τοὺς ἐπανεληλυθότας γενήσεται, οὓς ἐκ πολλῶν τῶν ἀπολομένων ὀλίγους περιλειφθέντας αὐξήσω πάλιν ἐγὼ καὶ πρὸς πλῆθος ἄξω[1], εἰρήνης τε αὐτοὺς πλήρεις ἐργασάμενος καὶ τὴν ἀπὸ τῶν καρπῶν εὐθηνίαν αὐτοῖς παρέχων καὶ πάντων δὴ συντόμως εἰπεῖν τῶν ἀγαθῶν δωρούμενος αὐτοῖς τὴν **362** ἀπόλαυσιν[2], ἵν' ὥσπερ τὸ παλαιὸν τιμωρίας ἐφαίνεσθε πᾶσιν ἄξιοι διὰ τὴν ὀργὴν τὴν ἐμήν, οὕτως ἐκ τῆς ἐμῆς κηδεμονίας μακαριστοὶ φαίνοισθε παρὰ πᾶσιν ἀνθρώποις[3]. Καὶ ἐπὶ πλέον παραθαῤῥύνων αὐτούς.

8,13-15 «Θαῤῥεῖτε καὶ κατισχύετε ἐν ταῖς χερσὶν ὑμῶν. Διότι τάδε λέγει Κύριος παντοκράτωρ· Ὃν τρόπον διενοήθην τοῦ κακῶσαι ὑμᾶς ἐν τῷ παροργίσαι με τοὺς πατέρας ὑμῶν, λέγει Κύριος παντοκράτωρ, καὶ οὐ μετενόησα, οὕτως παρατέταγμαι καὶ διανενόημαι ἐν ταῖς ἡμέραις ταύταις τοῦ καλῶς ποιῆσαι τῇ Ἰερουσαλὴμ καὶ τῷ οἴκῳ Ἰούδα»

Ἀποθέμενοι δὴ πάντα φόβον καὶ πᾶσαν ἀπόγνωσιν ἐν εὐθυμίαις ἔσεσθε καὶ θάρσει πολλῷ, καὶ μετὰ πολλῆς τῆς σπουδῆς ἔχεσθε τῆς οἰκοδομῆς τοῦ ναοῦ, εὖ εἰδότες ὅτι ὥσπερ πρότερον τιμωρίαν

---

1. Πρβλ. Ζαχ. 8,11. **2.** Πρβλ. Ζαχ. 8,12. **3.** Πρβλ. Ζαχ. 8,13.

ἀπεφηνάμην καθ' ὑμῶν ὑπὲρ ὧν πλημμελεῖν τοὺς πατέρας[1] τοὺς ὑμετέρους συνέβαινεν εἰς ἐμὲ καὶ ταύτην ἤγαγον εἰς πέρας οὐ μεταβαλόμενος τὴν γνώμην· οὕτω νῦν τὰς ἐπαγγελίας εἰς πέρας ἄξω πάντως, ἃς περί τε τῆς Ἰερουσαλὴμ[2] ἀπεφηνάμην καὶ πάσης δὴ τῆς Ἰούδα φυλῆς, ὡς ἡ μὲν ἐν εὐθηνίᾳ γενήσεται οἱ δὲ πολλῆς μεθέξουσι τῆς εὐετηρίας. Καὶ δεικνὺς ὅ, τί ποτε ποιοῦντας προσῆκε τῷ βεβαίῳ θαῤῥεῖν τῶν ἐπαγγελιῶν.

8,15-17 «Θαρσεῖτε. Οὗτοι οἱ λόγοι, οὓς ποιήσετε· λαλεῖτε ἀλήθειαν ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ καὶ κρίμα εἰρηνικὸν κρίνατε ἐν ταῖς πύλαις ὑμῶν καὶ ἕκαστος τὴν κακίαν τοῦ πλησίον μὴ λογίζεσθε ἐν ταῖς καρδίαις ὑμῶν καὶ ὅρκον ψευδῆ μὴ ἀγαπᾶτε, διότι ταῦτα πάντα ἐμίσησα, λέγει Κύριος παντοκράτωρ»

Θαῤῥεῖτε δὴ ταῖς ἐπαγγελίαις ταῖς ἐμαῖς, εἰ τούτων δή, ὧνπερ οὖν συμβουλεύω πολλὴν ἔχοιτε τὴν ἐπιμέλειαν ἀδόλως μὲν τὰ πρὸς ἀλλήλους διατιθέντες, ἀληθινῇ δὲ διανοίᾳ τὴν πρὸς ἀλλήλους ἀποσῴζοντες φιλίαν[3], καὶ δὴ φροντίζοιτε πάσας τὰς ἐμπιπτούσας φιλονεικίας διαλύοντες εἰς φιλίαν συνάγεσθαι, πρέπουσάν γε καὶ πρὸς εἰρήνην συνιοῦσαν τῶν ἀμφισβητουμένων ποιούμενοι τὴν διά**363**λυσιν τὰ συμβαίνοντά τε παραλογίζεσθαι τῶν πταισμάτων[4], καὶ πᾶσαν ἔχοιτε φροντίδα τοῦ μὴ μετ' ἐπιορκίας ὀμνύναι· ταῦτα γὰρ ἐμοὶ μὲν διὰ μίσους ἐστὶν ἄγαν. Ὑμεῖς δὲ εἰ τοῖς λόγοις πειθόμενοι τοῖς ἐμοῖς βούλοισθε σπουδῇ διαπράττεσθαι τὰ παρηγγελμένα, τεύξεσθε δὲ βεβαίως ὧν ἅπαξ ἐπηγγειλάμην ὑμῖν ἀγαθῶν.

8,18-19 «Καὶ ἐγένετο λόγος Κυρίου παντοκράτορος πρός με λέγων· Τάδε λέγει Κύριος παντοκράτωρ· Νηστεία ἡ τοῦ τετάρτου καὶ νηστεία ἡ τοῦ πέμπτου καὶ νηστεία ἡ τοῦ ἑβδόμου καὶ νηστεία ἡ τοῦ δεκάτου ἔσονται τῷ οἴκῳ Ἰούδα εἰς χαρὰν καὶ εἰς εὐφροσύνην καὶ εἰς ἑορτὰς ἀγαθὰς καὶ εὐφρανθήσεσθε καὶ τὴν ἀλήθειαν καὶ τὴν εἰρήνην ἀγαπήσατε»

Ἐπειδὴ γὰρ ἐν τοῖς ἀνωτέροις παρόντων τῶν ἀλλοτρίων, οὓς

---

1. Πρβλ. Ζαχ. 8,14. **2.** Πρβλ. Ζαχ. 8,15. **3.** Πρβλ. Ζαχ. 8,16. **4.** Πρβλ. Ζαχ. 8,17.

οἱ τῶν ἐθνῶν ἀπεστάλκεσαν βασιλεῖς, [552] παρῃτήσατο μὲν τὴν νηστείαν[1], ἀντεισήγαγε δὲ ἃ χρῆναι πράττεσθαι ἀναγκαῖον ἡγεῖτο, ὡς ἂν καὶ τοὺς οἰκείους κατὰ ταὐτὸν καὶ τοὺς ἀλλοτρίους παρόντας παιδεύσειεν, ἀναγκαίως μετὰ τὴν τῶν καθεξῆς διδασκαλίαν ἐπάγει ταυτί, δεῖξαι βουλόμενος, ὡς οὐ τὴν νηστείαν ἁπλῶς παραιτεῖται, ἀλλ' ὅταν γίγνηται μὴ δεόντως, εἰ δὲ μετὰ τοῦ προσήκοντος γίγνοιτο, καὶ μάλα γε αὐτὴν ἀποδέχεται γιγνομένην. Τοῦτο τοίνυν φησίν, ὅτι πρότερον μὲν ὑπὲρ τῶν ἁμαρτημάτων νηστεύοντες ἐπενθεῖτε τῶν οἰκείων[2], ὑπὲρ ὧν δὴ καὶ τοσαύταις ἦτε περιβεβλημένοι ταῖς συμφοραῖς, νῦν δὲ ἐπειδὴ τῆς ἐπανόδου τετυχήκατε ἁρμόττον εἴη ἂν ὑμῖν, μὴ ἐπὶ πένθει μετιέναι τὴν νηστείαν, ἀλλὰ μεθ' ἡδονῆς τε καὶ εὐφροσύνης ἑορτῆς ἄξιον τιθεμένοις τὸ νηστεύειν ὡς αὔταρκες ὂν οἰκειοῦν Θεῷ. Ἁρμόσει γὰρ ὑμῖν τὸ μεθ' ἡδονῆς νηστεύειν, εἰ ἀληθείας τε καὶ εἰρήνης ποιοῖσθε λόγον. Καὶ δεικνὺς τῶν ἀγαθῶν τὸ μέγεθος, ἐφ' οἷς προσῆκεν αὐτοὺς ἑορτάζοντάς τε καὶ εὐφραινομένους χρῆσθαι ταῖς νηστείαις ἐπάγει.

8,20-21 «Τάδε λέγει Κύριος παντοκράτωρ· Ἔτι ἥξουσι λαοὶ πολλοὶ καὶ κατοικοῦντες πόλεις πολλάς· καὶ συνελεύσονται κατοικοῦντες μίαν εἰς μίαν πόλιν λέγοντες· Πορευθῶμεν πορευόμενοι δεηθῆναι τοῦ προσώπου Κυρίου καὶ ἐκζητῆσαι τὸ πρόσωπον Κυρίου παντοκράτορος· πορεύσομαι κἀγώ»

364 Θαυμαστὸν γὰρ οὐδέν, φησίν, εἰ παρ' ὑμῶν γίνοιτο ταῦτα, ὅπου γε πολλοὶ καὶ τῶν ἀλλοτρίων ἐν διαφόροις πόλεσιν οἰκοῦντες[3] ἐπὶ ταὐτὸν ἀφ' ἑκάστης πόλεως γεγονότες — τοῦτο γὰρ λέγει τό «συνελεύσονται κατοικοῦντες μίαν εἰς μίαν πόλιν»[4] — διεγεροῦσι δὲ καὶ προτρέψονται ἀλλήλους εἰς τὴν ἐνταῦθα παρουσίαν, ὡς ἂν καὶ αὐτοὶ διαμένοιέν τε δεόμενοι τοῦ Θεοῦ καὶ παρ' αὐτοῦ πᾶν ὅ, τι ἀναμένοντες ἀγαθόν· ὥσθ' ἕκαστον προτρεπόμενον τὸν ἕτερον λέγειν· «πορεύσομαι κἀγώ», ἵνα εἴπῃ, ὅτι ἕκαστος προθυμίᾳ τῇ περὶ τὸ πρᾶγμα κεχρημένος ἐπὶ τὰ ὅμοια διεγερεῖ καὶ τοὺς ἄλλους. Εἶτα λέγει ὅτι πλεῖστοι ὅσοι ἐκ πολλῶν καὶ διαφόρων

1. Πρβλ. Ζαχ. 8,19. **2.** Πρβλ. Ζαχ. 7,3. **3.** Πρβλ. Ζαχ. 8,20. **4.** Ζαχ. 8,21.

ἐθνῶν παρέσονται εἰς τὴν Ἰερουσαλὴμ ἐξιλεούμενοί τε τὸ θεῖον ἐπὶ ταῖς ἑαυτῶν ἁμαρτίαις καὶ πᾶν ὅτου ἂν δέοιντο παρ' αὐτοῦ ζητοῦντες. Οἷς ἐπάγει»·

8,23 «Τάδε λέγει Κύριος παντοκράτωρ· Ἐν ταῖς ἡμέραις ἐκείναις ἐπιλήψονται δέκα ἄνδρες ἐκ πασῶν τῶν γλωσσῶν τῶν ἐθνῶν καὶ ἐπιλήψονται τοῦ κρασπέδου ἀνδρὸς Ἰουδαίου λέγοντες· Πορευσόμεθα μετὰ σοῦ, διότι ἀκηκόαμεν ὅτι ὁ Θεὸς μεθ' ὑμῶν ἐστιν»

Οὕτω γὰρ λαμπρὰν τῶν ὑπολειπομένων ποιήσεται Θεὸς τὴν ἐπάνοδον, ὥστε πολλοὺς ἐκ διαφόρων ὄντας ἐθνῶν καὶ τῆς συμφορᾶς κεκοινωνηκότας ἐκείνης θεασαμένους τοῦ Θεοῦ τὴν περὶ τὸν λαὸν κηδεμονίαν ἐπιλαβέσθαι τε ὅτου δήποτε τῶν ἐξ αὐτῶν, καὶ ἡγουμένῳ χρήσασθαι ἐκείνῳ εἰς τὴν ἐπὶ τὴν Ἰερουσαλὴμ ἐπάνοδον, διεγειρομένων αὐτάρκως ἁπάντων ἐπὶ τοῦτο ἐκ τοῦ γνῶσιν ἀκριβῆ λαβεῖν τοῦ μεθ' ὑμῶν εἶναι τὸν Θεὸν διὰ τοῦ παραδόξου τῶν περὶ ὑμᾶς γινομένων. Καὶ γὰρ κἀνταῦθα τό «δέκα ἄνδρες»[1] οὐκ ἐπὶ ἀριθμῷ λέγει, ἀλλ' ἵνα εἴπῃ πολλοί. Εἶτα μέμνηται τῶν ἐν τοῖς ἔθνεσιν, τῶν μὲν ἐργασομένων τοῦτο δέει τοῦ Θεοῦ, τῶν δὲ δι' ὑπεροψίαν οὐ ποιησαμένων τούτου λόγον. Διό φησιν. **[553]**

9,1-2 «Λῆμμα λόγου Κυρίου· ἐν γῇ Ἐδρὰχ καὶ Δαμασκὸς θυσία αὐτοῦ, διότι Κύριος ἐφορᾷ ἀνθρώπους καὶ πάσας φυλὰς τοῦ Ἰσραήλ. Καὶ Ἐμὰθ ἐν τοῖς ὁρίοις αὐτῆς»

365 Δαμασκηνοὶ μὲν γάρ, φησίν, οἵ τε τῆς Ἀδρὰχ καὶ τῆς Ἐμὰθ[2] μετὰ πολλῆς τῆς σπουδῆς προσάξουσι τῷ Θεῷ θυσίας, ὡς ἂν Δεσπότῃ τοῦ παντὸς καὶ πάντας μὲν ἀνθρώπους ἐφορῶντι ὡς ἂν ἔργα τε καὶ οἰκέτας ἰδίους, ἐξαίρετον δὲ νέμοντι τὴν κηδεμονίαν τῷ Ἰσραήλ.

9,2-4 «Τύρος καὶ Σιδών, ὅτι ἐφρόνεσαν σφόδρα. Καὶ ᾠκοδόμησε Τύρος ὀχύρωμα αὐτῆς καὶ ἐθησαύρισεν ἀργύριον ὡς χοῦν καὶ χρυσίον ὡς πηλὸν ὁδῶν. Διὰ τοῦτο Κύριος κληρονομήσει

---

1. Ζαχ. 8,23. **2.** Πρβλ. Ζαχ. 9,1,2.

αὐτοὺς καὶ κατάξει εἰς θάλασσαν τὴν δύναμιν αὐτῆς, καὶ αὐτὴ ἐν πυρὶ καταναλωθήσεται»

Τύριοι μέντοι καὶ Σιδώνιοι ἐπειδὴ μεγάλῳ χρησάμενοι τῷ φρονήματι ὑπερεῖδον τῆς ἐμῆς θεραπείας, καὶ ἀρκεῖν ἑαυτοῖς νομίσαντες τῆς τῶν τειχῶν ἐπεμελήσαντο ἀσφαλείας χρυσόν τε καὶ ἄργυρον πηλοῦ[1] δίκην ἀθροίσαντες ἀνάλογον τῆς ἀπονοίας τῆς οἰκείας δέξονται τὴν τιμωρίαν. Κτήσεται γὰρ αὐτοὺς ὁ Θεὸς καὶ ταπεινώσει πάντας αὐτούς[2], ἐγγύθεν οὔσῃ τῇ θαλάσσῃ πᾶσαν αὐτῶν τὴν δύναμιν παραδούς. Ἔσται δὲ καὶ αὐτὴ πυρὸς ἔργον ἐκ τῶν ἐπιόντων αὐτῇ πολεμίων. Ταῦτα περὶ Τύρου τε καὶ Σιδῶνος εἰπὼν ἐπάγει.

9,5-7 «Ὄψεται Ἀσκάλων καὶ φοβηθήσεται, καὶ Γάζα καὶ ὀδυνηθήσεται σφόδρα, καὶ Ἀκκαρών, ὅτι κατῃσχύνθη ἐπὶ τῷ παραπτώματι αὐτῆς· καὶ ἀπολεῖται βασιλεὺς ἐκ Γάζης, καὶ Ἀσκάλων οὐ μὴ κατοικηθῇ. Καὶ κατοικήσουσιν ἀλλογενεῖς ἐν Ἀζώτῳ, καὶ καθελῶ ὕβριν ἀλλοφύλων. Καὶ ἐξαρῶ τὸ αἷμα αὐτῶν ἐκ τοῦ στόματος αὐτῶν καὶ τὰ βδελύγματα αὐτῶν ἐκ μέσου ὀδόντων αὐτῶν, καὶ ὑπολειφθήσονται καὶ οὗτοι τῷ Θεῷ ἡμῶν, καὶ ἔσονται ὡς χιλίαρχος ἐν τῷ Ἰούδα καὶ Ἀκκαρὼν ὡς ὁ Ἰεβουσαῖος»

Βούλεται μὲν εἰπεῖν ὅτι τοὺς ἀλλοφύλους ἐκδέξεται τιμωρία με**366**γίστη παραλελοιπότας δὴ τὴν περὶ τὸν Θεὸν θεραπείαν. Λέγει δὲ αὐτὰ ποικίλως ἀπαριθμούμενος τὰς πόλεις, ὅτι φόβῳ μὲν Ἀσκάλων ληφθήσεται ἐν ὀδύναις δὲ ἔσται Γάζα, Ἀκκαρών τε ἐν αὐτοῖς αἰσχυνθήσεται ἐφ' οἷς ἥμαρτε καὶ δοῦσα δίκην, ἀφανισθήσεται δὲ καὶ τῆς Γάζης ὁ βασιλεύς[3], Ἀσκάλωνος μὲν οὐκ οἰκουμένης ἔτι, ἀλλοτρίων δὲ τὴν Ἄζωτον οἰκούντων. Ταῦτα δὲ ἐπήγαγεν, οὐχ ὅτι τόδε μὲν ἔσται τόδε δὲ οὐ, οἷον εἰπεῖν Γάζῃ τόδε δὲ τόδε οἷον εἰπεῖν Ἀσκάλωνι, ἀλλὰ κατὰ τὸ οἰκεῖον ἰδίωμα ἐν τῇ διαιρέσει τὸ κοινὸν εἰπών, ὅτι ταῦτα περὶ πάντας ἔσται τοὺς ἀλλοφύλους. Ὅθεν μετὰ τὴν ἀπαρίθμησιν ἐπάγει, «καὶ καθελῶ ὕβριν ἀλλοφύλων»[4], ἵνα εἴπῃ, ὅτι ὑπὲρ πάσης αὐτοὺς τιμωρήσομαι τῆς παροινίας, τιμωρήσομαι αὐτοὺς ἀνάλογον οἷς ἐξέχεαν αἵμασι τῶν

1. Πρβλ. Ζαχ. 9,3. **2.** Πρβλ. Ζαχ. 9,4. **3.** Πρβλ. Ζαχ. 9,5. **4.** Ζαχ. 9,6.

Ἰσραηλιτῶν, ἔτι συγκαθελὼν αὐτοῖς καὶ τὰ εἴδωλα πάντα, ἃ δὴ θρησκεύειν ἐδόκουν, ὥστε ἐκ τῆς ἐπαγομένης αὐτοῖς τιμωρίας πολλοὺς καὶ τούτων ληφθέντας τῷ δέει τῶν γινομένων ἐπὶ τὴν τοῦ Θεοῦ καταφυγεῖν λατρείαν, οἳ μεθ' ἡμῶν ἀριθμηθήσονται χιλιάρχου τινὸς ἐπέχοντες τάξιν, οὕτως ἑαυτοὺς τῆς ἡμετέρας ἐργασάμενοι μερίδος. Περισωθήσονται δὲ οὐχ ἧττον τοῦ Ἰεβουσαίου καὶ οἱ ἐξ Ἀκκαρὼν τοιοῦτοι[1]. Καὶ γὰρ κἀνταῦθα ἀπὸ τῆς μνήμης τῆς Ἀκκαρὼν τοὺς **[556]** ἐκ τῶν πέντε σατραπειῶν νεύσαντας πρὸς τὸ δέον εἰπεῖν ἠβουλήθη, δηλῶν, ὅτι συναριθμήσονταί τε τῷ λαῷ τῷ Ἰσραηλιτικῷ καὶ περισωθήσονται ἐκσπασθέντες τῆς ἐπαγομένης αὐτοῖς τιμωρίας, οἳ ἂν ἐξ αὐτῶν σωφρονισθέντες νεύσωσι πρὸς τὸ δέον.

9,8 «Καὶ ὑποστήσομαι τῷ οἴκῳ μου ἀνάστημα τοῦ μὴ διαπορεύεσθαι μηδὲ ἀνακάμπτειν, καὶ οὐ μὴ ἐπέλθῃ ἐπ' αὐτοὺς οὐκέτι ἐξελαύνων, διότι νῦν ἑώρακα ἐν τοῖς ὀφθαλμοῖς μου»

Ἰσχυρὰν δή τινα τοῖς ἐμοὶ προσήκουσιν ἀναστήσω βοήθειαν, ἣ πάντας τοὺς ἀλλοτρίους μακρὰν διώξεται ἐπιβαίνειν, τῶν ὁρίων οὐκ ἐῶσα τῶν ἐμοὶ προσηκόντων, ὡς μήτε ἐπιέναι τινὰ τολμᾶν ἔτι μήτε ἐπὶ τὴν χώραν ἐλαύνειν τὴν ἐμοὶ προσήκουσαν, ἐπειδήπερ ἅπαξ ἐφορᾶν αὐτοὺς ἐδοκίμασα τῆς τε προνοίας ἀξιοῦν τῆς ἐμῆς. **367** Τὸ γάρ «τῷ οἴκῳ μου»[2] πάσῃ τῇ χώρᾳ λέγει τοῦ Ἰσραήλ, ὡς αὐτῷ προσηκούσῃ. Εἶτα καὶ σαφέστερον ποιῶν, δι' ὅτου περ ἔσται ταῦτα, καὶ τίς ὁ ἐπὶ τοῦτο παρὰ τοῦ Θεοῦ προβεβλημένος.

9,9-10 «Χαῖρε σφόδρα, θύγατερ Σιών· κήρυσσε, θύγατερ Ἰερουσαλήμ· ἰδοὺ ὁ βασιλεύς σου ἔρχεταί σοι, δίκαιος καὶ σῴζων αὐτός, πραῢς καὶ ἐπιβεβηκὼς ἐπὶ ὑποζύγιον καὶ πῶλον νέον. Καὶ ἐξολοθρεύσω ἅρματα ἐξ Ἐφράιμ καὶ ἵππον ἐξ Ἰερουσαλήμ, καὶ ἐξολοθρευθήσεται τόξον πολεμικόν, καὶ πλῆθος καὶ εἰρήνη ἐξ ἐθνῶν»

Εὐφραίνου τοίνυν, ὦ Ἰερουσαλήμ, τοιούτου σοι βασιλέως παρὰ τοῦ Θεοῦ προβεβλημένου, ὃς παρέστη σοι περισῴζειν τε δυ-

---

1. Πρβλ. Ζαχ. 9,7. **2.** Ζαχ. 9,8.

νάμενος τοὺς οἰκείους διὰ τὴν προσοῦσαν αὐτῷ θείαν ῥοπὴν καὶ πᾶσαν τοῖς ἐναντίοις τὴν δικαίαν ἐπάγων τιμωρίαν, ὃς ἐπιβέβηκε μὲν ἐπ' εὐτελοῦς τοῦ ζώου[1], ἅτε νῦν ἐκ τῆς αἰχμαλωσίας παραγεγονώς, πολλῆς δὲ ἐπιλήψεται δυνάμεως διὰ τῆς θείας ῥοπῆς, ὥστε ἀπό τε τοῦ 'Εφράιμ καὶ ἀπὸ τῆς 'Ιερουσαλὴμ[2] πάντα μὲν τῶν ἐναντίων ἀφανίσαι τὰ ἅρματα πάντα δὲ ἵππον καὶ πᾶν τόξον πολεμικόν, ἵνα εἴπῃ ὅτι πάντας τροπώσεται τοὺς πολεμίους, ὡς μηδενὶ τῶν ἐναντίων κατὰ τὰ τῆς χώρας εἶναι τῆς 'Ιουδαίας ἔτι. 'Αφανιεῖ δέ, φησίν, καὶ πλῆθος πολὺ τῶν ἐναντίων, εἰρήνης δὲ πάσης ἐκτὸς αὐτοὺς καταστήσει, ἅτε συντριβομένους τε καὶ ἀπολλυμένους τῷ παρ' αὐτοῦ πολέμῳ.

Ὅτι μὲν οὖν ταῦτα περὶ τοῦ Ζοροβαβὲλ ἐνταῦθα λέγεται δῆλον. 'Εγὼ δὲ ἐθαύμασα τῶν ἐπ' ἀλλοκότους τρεπομένων διανοίας, καὶ τὸ μέν τι μέρος ἐπὶ τοῦ Ζοροβαβὲλ ἐκλαμβανόντων τὸ δὲ ἐπὶ τοῦ Δεσπότου Χριστοῦ, εἶτα πάλιν ἐπὶ τοῦ Ζοροβαβέλ, καὶ πάλιν ἐπὶ τοῦ Δεσπότου Χριστοῦ, ὅπερ οὐθὲν ἕτερόν ἐστιν ἢ μεριζόντων τῷ τε Ζοροβαβὲλ καὶ τῷ Δεσπότῃ Χριστῷ τὴν προφητείαν. Ἔστι δὲ ταῦτα μὲν ἀνοίας τῆς ἐσχάτης. Ὁ δὲ ἀληθὴς τῶν τοιούτων νοῦς ἐκεῖνός ἐστιν, ὃν καὶ πρόσθεν εἰρηκὼς οἶδα, ὅτι σκιὰν ὁ νόμος[3] εἶχεν ἁπάντων τῶν κατὰ τὸν Δεσπότην Χριστόν. Πολλὰ τοίνυν τῶν **368** παραδόξως γινομένων, εἴτε περὶ τὸν λαὸν εἴτε τοὺς ἐπί τισιν ἐκλεγέντας, λέγει μὲν ὑπερβολικώτερον ἐπ' αὐτῶν ἐκείνων ἡ Γραφή, τῆς λέξεως κατὰ τὸ πρόχειρον τὴν ἀλήθειαν οὐκ ἐχούσης, εὑρίσκεται δὲ ἀληθῆ τὰ τοιαῦτα, ὅταν ἐπ' αὐτοῦ κρίνηται τοῦ Δεσπότου Χριστοῦ, ὃς ἐν ἅπασι παύσας μὲν τοῦ νόμου τὴν σκιὰν ἐπεισαγαγὼν δὲ τὴν ἀλήθειαν τὴν οἰκείαν εἰκότως καὶ τῶν φωνῶν τῶν τοιούτων ἐπιδείκνυσι τὴν ἀλήθειαν. Τοιοῦτόν ἐστι τὸ πρὸς τὸν 'Αβραάμ, ὅτι **[557]** «ἐνευλογηθήσεται ἐν σοὶ καὶ ἐν τῷ σπέρματί σου πάντα τὰ ἔθνη»[4]. Δηλοῖ μὲν γὰρ τοὺς ἐξ αὐτοῦ γεγονότας κατὰ τὸ πρόχειρον, ἡ ἀλήθεια δὲ τοῦ ῥήματος ἐπὶ τοῦ Δεσπότου συνίσταται Χριστοῦ, ἐφ' οὗπερ ὄντως ἐνευλογηθῆναι γέγονε τὰ ἔθνη. Τοιοῦτόν ἐστι καὶ τῷ μακαρίῳ Δαβίδ· «ὁ θρόνος

1. Πρβλ. Ζαχ. 9,9. **2.** Πρβλ. Ζαχ. 9,10. **3.** Πρβλ. Ἑβρ. 10,1. **4.** Γεν. 12,3. 22,18. 26,4. 28,14.

αὐτοῦ ὡς ὁ ἥλιος ἐναντίον μου καὶ ὡς ἡ σελήνη κατηρτισμένη εἰς τὸν αἰῶνα· καὶ θήσομαι εἰς τὸν αἰῶνα τοῦ αἰῶνος τὸ σπέρμα αὐτοῦ καὶ τὸν θρόνον αὐτοῦ ὡς τὰς ἡμέρας τοῦ οὐρανοῦ»[1]. Τῷ μὲν γὰρ προχείρῳ δοκεῖ τοὺς διαδόχους λέγειν, ἐφ' ὧν διαμένειν ἤμελλεν ἡ βασιλεία, ἡ δὲ τοῦ πράγματος ἀλήθεια ἐπὶ τοῦ Δεσπότου δείκνυται Χριστοῦ. Οὗ ὄντως ἡ βασιλεία παντὸς μὲν ἡλίου λαμπροτέρα καθέστηκε παντὸς δὲ οὐρανοῦ μονιμωτέρα. Τοιοῦτόν ἐστι τό «οὐκ ἐγκατελείφθη ἡ ψυχὴ αὐτοῦ εἰς Ἅδου οὐδὲ ἡ σὰρξ αὐτοῦ εἶδε διαφθοράν»[2]. Ὅπερ ὑπερβολικῶς εἰρημένον παρὰ τοῦ μακαρίου Δαβὶδ ἐπὶ τοῦ λαοῦ τῶν Ἰσραηλιτῶν ἐπ' αὐτῆς τῆς τῶν πραγμάτων ἀληθείας ὦπται γεγονὸς ἐπὶ τοῦ Δεσπότου Χριστοῦ, ὅθεν δὴ καὶ τῇ φωνῇ δικαίως ὁ μακάριος ἐχρήσατο Πέτρος λέγων, ὅτι «οὐκ ἐγκατελείφθη ἡ ψυχὴ αὐτοῦ εἰς Ἅδου οὐδὲ ἡ σὰρξ αὐτοῦ εἶδε διαφθοράν».

Πολλὰ τοιαῦτα εὕροι τις ἄν, ἃ μακρὸν λέγειν ἐπὶ τοῦ παρόντος, ἃ πρότερον μὲν ὑπερβολικῶς ἐλέγετο οὐκ ἔχοντα τοῦ λεγομένου τὴν ἀλήθειαν ἀκριβῆ, εὑρίσκεται δὲ οὕτως ἔχοντα ὥσπερ οὖν εἴρηται ἐπὶ τοῦ Δεσπότου Χριστοῦ. Τοιοῦτο δέ τι καὶ τοῦτό ἐστιν. Ὁ μὲν γὰρ περὶ τοῦ Ζοροβαβὲλ ἔλεγεν ἐκ τῆς διαδοχῆς τοῦ Δαβὶδ κατὰ γνώμην Θεοῦ ἡγουμένου τῶν Ἰουδαίων, ὤφθη δὲ τὸ **369** πρᾶγμα ἀναντίῤῥητον ἔχον ἐπὶ τοῦ Δεσπότου Χριστοῦ τὴν ἀλήθειαν. Τοῦ μὲν γὰρ καὶ ἡ κατὰ τῶν ἐθνῶν τιμωρία μικρὰ καὶ ἡ τῶν οἰκείων σωτηρία εὐτελής, ὅθεν καὶ ἀκολούθως ἐπάγει ὅτι «ἐξολοθρεύσει ἅρματα ἐξ Ἐφράιμ καὶ ἵππον ἐξ Ἱερουσαλήμ»[3], δεικνὺς ὅτι πρὸς τοῦτο αὐτοῖς συμβαλεῖται τὸ τῶν πολέμων αὐτοὺς ἀπαλλάττειν. Ἀληθὴς δὲ ἡ φωνὴ πέφηνεν ἐπὶ τοῦ Δεσπότου Χριστοῦ, ἐφ' οὗπερ ὄντως ἔνεστι χαίρειν μόνιμόν τε χαρὰν καὶ διηνεκῆ, ὃς ὄντως δίκαιός ἐστιν, ἅτε μετὰ τούτου πάσῃ κρίνων τῇ οἰκουμένῃ καὶ σῴζων ὄντως, ὅ γε πάντας ἐξ ἀπωλείας εἰς σωτηρίαν μεθιστὰς διηνεκῆ καὶ βεβαίαν. Ἐνταῦθα μὲν οὖν εἴρηται περὶ τοῦ Ζοροβαβὲλ συμμετρουμένης τῆς φωνῆς τῷ ἐφ' οὗπερ λέγεται τὰ γεγραμμένα, ἐν δὲ τοῖς Εὐαγγελίοις ἐπὶ τὸν Δεσπότην ἧκται Χριστόν, ὃς διὰ πάντων ὦπται καὶ μέγας καὶ ὑψηλὸς καὶ δίκαιος καὶ

---

1. Ψαλ. 88,30,37,38. **2.** Ψαλ. 15,10. Πράξ. 2,31. **3.** Ζαχ. 9,10.

σῴζων καὶ μονίμους τὰς οἰκείας παρέχων εὐεργεσίας ἀμεταθέτους τε παντελῶς καὶ μεταβολὴν οὐδεμίαν δέξασθαι δυναμένας. Τοῦτο μὲν οὖν ἀκολουθότατόν τε καὶ πρέπον καὶ λέγειν καὶ νοεῖν, τὸ δὲ μέρος μὲν αὐτοῦ λέγειν εἰρῆσθαι περὶ τοῦ Χριστοῦ, κατιόντας δὲ μεθίστασθαι ἐπὶ τὸν Ζοροβαβέλ, καὶ πάλιν ἐπὶ τὸν Χριστὸν ἀπ' ἐκείνου, καὶ πάλιν ἐπὶ τὸν Ζοροβαβὲλ ἀπὸ τοῦ Δεσπότου Χριστοῦ, οὐθὲν ἕτερόν ἐστιν, ἢ πρῶτον μὲν ἀλλόκοτον δεικνύντων τὴν προφητείαν, εἶτα τὰς φωνὰς τὰς γραφικὰς ἐξ ἴσου μεριζόντων εἴς τε τὸν οἰκέτην καὶ τὸν Δεσπότην, ἐπεὶ καὶ τὸ λέγειν εἰς ἀπόδειξιν τοῦ μὴ τῷ Ζοροβα**[560]**βὲλ προσήκειν τὰ εἰρημένα, ὅτι «ἔρχεται» ὁ Προφήτης ἔφη, καίτοι γε πάλαι τοῦ Ζοροβαβὲλ ἀπὸ τῆς αἰχμαλωσίας μετὰ τῶν λοιπῶν ἐπανεληλυθότος[1], ψυχρολογίας ἐστὶ περιττῆς καὶ ἀπειρίας τῶν θείων Γραφῶν.

Τὸ γοῦν «ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη»[2], οὐχ ὡς περὶ μέλλοντος ὡς περὶ γεγονότος δὲ ἤδη λέγει· οὐ γὰρ ἀχθήσεται εἶπεν, ἀλλ' «ἤχθη», ὥστ' οὐκ ἂν ἁρμόσειεν οὐδὲ τοῦτο τῷ Δεσπότῃ Χριστῷ κατὰ τὸν τῶν σοφωτάτων λόγον, οὓς ἐχρῆν εἰδέναι τῶν χρόνων τὴν ἐναλλαγὴν ποικίλην οὖσαν ἐπὶ τῆς θείας Γραφῆς. Ὅπερ
370 οὖν διὰ πολλῶν ἡμεῖς ἔν τε τῇ τῶν Ψαλμῶν ἑρμηνείᾳ καὶ ἐπὶ τῶν Προφητῶν ἐδείξαμεν αὐτάρκως. Ἐνταῦθα μέντοι γε οὐδὲ ἡ χρῆσις τῆς φωνῆς, εἰ δή τις αὐτὴν κατὰ τὸν χρόνον κρίνοι, ἁρμόττουσα τῇ τοῦ Δεσπότου Χριστοῦ παρουσίᾳ· ἡ μὲν γὰρ μετὰ πολὺν ἤμελλε γενέσθαι τὸν χρόνον, ὁ δὲ οὐκ ἐλεύσεται εἶπεν, ὅπερ ἥρμοττεν ἐπὶ τοῦ μέλλοντος εἰπεῖν, ἀλλ' «ἔρχεται», ὅπερ εἴωθεν ἐπὶ τῶν ἐγγὺς καὶ παραχρῆμα γινομένων λέγεσθαι· κατὰ δέ γε τοῦτον αὐτῶν τὸν λόγον πολλὰ καὶ ἕτερα περιττῶς εὑρεθήσεται κείμενα παρὰ τῷ Προφήτῃ, ἐπεὶ καὶ τοῦ Ἰησοῦ νῦν ἀφαιρεῖσθαι λέγει τὰ ῥυπαρὰ ἱμάτια, ἅπερ ἦν δήλωσις τῆς αἰχμαλωσίας, νῦν τε αὐτῷ τὸ ἱερατικὸν περιτίθεσθαι σχῆμα[3]. Καίτοι γε δηλονότι καὶ αὐτὸς μετὰ τοῦ Ζοροβαβὲλ ἐληλύθει ἀπαλλαγείς τε τῆς αἰχμαλωσίας καὶ ἐν τῷ τῆς ἱερωσύνης σχήματι καθεστώς. Ὅθεν καὶ ὁ Προφήτης ὁ μακάριος Ἀγγαῖος κοινῇ πρός τε τὸν Ζοροβαβὲλ καὶ πρὸς αὐτὸν φαίνεται λέγων τὸ χρῆναι τῆς οἰκοδομῆς τοῦ ναοῦ

---

1. Πρβλ. Β' Ἔσδρ. 2,2. Νεεμ. 17,7. **2.** Ἠσ. 53,7. Πράξ. 8,32. **3.** Πρβλ. Ζαχ. 3,5.

φροντίσαι, καὶ τὸ μέτρον δὲ τῆς τιμωρίας νῦν ἀφαιρεθὲν μετὰ τῆς ἁμαρτίας τοῦ Ἰσραὴλ φησιν εἰς Βαβυλῶνα ἀπενηνέχθαι. Καίτοι γε Κῦρος μὲν ὁ τῶν Περσῶν βασιλεὺς τῆς τε αἰχμαλωσίας ἀπέλυσε τὸν λαὸν καὶ τὴν Βαβυλῶνα καθεῖλεν[1]. Φαίνεται δὲ ταῦτα ἐπὶ Δαρείου τοῦ βασιλέως λέγων ὁ Προφήτης, ὃς τέταρτος ἦν ἀπὸ Κύρου, ὥστ' οὐκ εἶχε καιρὸν κατά γε τοὺς τῶν τοιούτων νομοθέτας νῦν λέγειν γίγνεσθαι ταῦτα, ἃ πάλαι καὶ πρὸ πολλοῦ γεγόνει τοῦ χρόνου. Ἀλλ' εὔδηλον, ὅτι τὰ μὲν πράγματα γέγονεν, ὁ Προφήτης δὲ δι' ἀποκαλύψεως ὁρᾷ νῦν αὐτὰ γινόμενα, ὡς ἂν καὶ γεγονότων οἱ τοῦ λαοῦ μάθοιεν πάντες, ὅτι μηδὲν ἀπὸ ταὐτομάτου γέγονεν, θείᾳ δὲ βουλήσει καὶ ὅρῳ ἐπιτετέλεσται δὴ πάντα τὰ περὶ αὐτοὺς ἀγαθά. Ὥστ' οὐδὲν ἀπεικὸς ἦν καὶ νῦν περὶ τῶν προσεσομένων τῷ λαῷ διὰ τῆς τοῦ Ζοροβαβὲλ βασιλείας κατὰ Θεοῦ γνώμην εἰς τοῦτο προχειρισθέντος λέγοντα τὸν Προφήτην εἰπεῖν, ὅτι «ἔρχεται δίκαιος καὶ σῴζων»[2], ὡς ἂν δηλώσειεν, ὅτι ἐπὶ τούτοις πάρεστί τε καὶ πρὸς τὴν βασιλείαν ἐξείλεκται παρὰ τοῦ Θεοῦ ἐπὶ τὸ ποιῆσαι ταῦτα. Ἅπερ οὖν ἐν τοῖς ἑξῆς περὶ τὸν λαὸν δι' αὐτοῦ γεγενῆσθαί φησιν. Ἀλλὰ ταῦτα **371** μὲν εἰς ἀκριβεστέραν εἰρήσθω διδασκαλίαν. Ὁ δὲ Προφήτης περὶ τοῦ Ζοροβαβὲλ λέγων καὶ περὶ αὐτοῦ δὴ τὰ νῦν προφη**[561]**τεύων, εἰ καί τινα φαντασίαν ὡς Προφήτης καὶ αὐτὸς περὶ τῶν μελλόντων εἶχεν, ἐπάγει.

9,10 «Κατάρξει ὑδάτων ἀπὸ θαλάσσης ἕως θαλάσσης καὶ ἀπὸ ποταμῶν ἕως διεκβολῶν γῆς»

Ὑπερβολικῶς καὶ τοῦτο κατὰ τὸ εἰωθὸς εἰρηκώς, ὅτι πολλῶν περιγενήσεται τῶν ἐναντίων καὶ πολλὴν καθέξει χώραν Ἰουδαίοις τὴν οἴκησιν αὐτῆς παραδούς. Τοιοῦτός ἐστι καὶ παρὰ τῷ μακαρίῳ Δαβὶδ ὁ ἑβδομηκοστὸς α´ ψαλμός, ἐν εὐχῆς σχήματι δήλωσιν ἔχων τῆς κατὰ τὸν Σολομῶνα εὐετηρίας, ἔνθα φησίν, «πρὸ τοῦ ἡλίου διαμενεῖ τὸ ὄνομα αὐτοῦ καὶ πρὸ τῆς σελήνης γενεὰς γενεῶν καὶ κατακυριεύσει ἀπὸ θαλάσσης ἕως θαλάσσης καὶ ἀπὸ ποταμῶν ἕως περάτων τῆς οἰκουμένης»[3]. Οὐ γὰρ δηλονότι ὑπερβολικῶς εἴρηται καὶ ταῦτα; Εἶτα ἐπάγει·

---

1. Β´ Παρλ. 36,23. **2.** Ζαχ. 9,9. **3.** Ψαλμ. 71,5,8,17.

9,11-12 «Καὶ σὺ ἐν αἵματι διαθήκης σου ἐξαπέστειλας δεσμίους σου ἐκ λάκκου οὐκ ἔχοντος ὕδωρ. Καὶ καθίσεσθε ἐν ὀχυρώματι, δέσμιοι τῆς συναγωγῆς, καὶ ἀντὶ μιᾶς ἡμέρας παροικεσίας σου διπλᾶ ἀνταποδώσω σοι»

Ἐν ἅπασι δὴ τούτοις μάλιστα τὰ περὶ τὸν Γὼγ ἐσόμενα ἐν ταῖς τοῦ Ζοροβαβὲλ ἡμέραις μηνύει, πρὸς ὃν λέγει, ὅτι πολλοὺς ἀνελὼν καὶ πολλῶν αἵματα ἐκχέας[1] καὶ τῇ τῶν ἐναντίων ἀναιρέσει ὥσπερ τισὶ συνθήκαις βεβαίωσας ἑαυτῷ τὴν τοῦ λαοῦ βασιλείαν, ἀπαλλάξει μὲν ἅπαντας κινδύνων μεγίστων, ἐν οἷς ὥσπερ ἐν λάκκῳ τινὶ διάγουσιν ὕδωρ οὐκ ἔχοντι — ἵνα εἴπῃ, ἀπαραμυθήτοις κακοῖς —, καὶ ψυχαγωγίαν ἔχουσιν οὐδεμίαν, διαμενεῖτε δὲ οἱ πάλαι δέσμιοι τῆς τῶν Ἰουδαίων συναγωγῆς[2] μετὰ πολλῆς τῆς ἀσφαλείας διάγοντες ἐν τοῖς οἰκείοις τῇ τοῦ προεστῶτος ὑμῶν ἀσφαλείᾳ. Ὥστε ἀνθ' ὧν πεπόνθατε, ὁπηνίκα ἐν αἰχμαλωσίαις ἦτε διάγοντες μείζονά σου πολλῷ τῶν παρόντων ἀγαθῶν γενέσθαι τὴν ἀντίδοσιν. Εἶτα ἀκολούθως ἐπάγει.

9,13 «Διὰ τοῦτο ἐνέτεινά σε ἐμαυτῷ, Ἰούδα, ὡς τόξον, ἔπλησα τῷ Ἐφράιμ καὶ ἐξεγερῶ τὰ τέκνα, Σιών, ἐπὶ τὰ τέκνα τῶν Ἑλλήνων καὶ ψηλαφήσω σε ὡς ῥομφαίαν μαχητοῦ»

372 Ἰούδα καὶ Ἐφράιμ λέγει, ἵν' ἐκ μέρους τοῦ κυριωτάτου τὸ σύστημα τῶν Ἰουδαίων εἴπῃ. Ὡς τόξον[3] τοίνυν ἐντεταμένον κατὰ τῶν πολεμίων ὑμᾶς ἐργάσομαι ἰσχυροὺς ὥστε κατὰ πάντων τῶν ἐπεληλυθότων ὑμῖν ἀλλοτρίων μετὰ πολλῆς ὑμᾶς ὁρμήσαντας τῆς προθυμίας πολὺν αὐτῶν ἐργάσασθαι τὸν φόνον καὶ ὅσον εἰκὸς ἐξ ἀνδρὸς γενέσθαι ἐν μάχαις καὶ πολέμοις καὶ φόνοις τὸ ξίφος ἀεὶ γυμνάζοντος τὸ οἰκεῖον. Καὶ ὅθεν ταῦτα αὐτοῖς περιέσται δηλῶν.

9,14-15 «Καὶ Κύριος ἐπ' αὐτοὺς ὀφθήσεται καὶ ἐξελεύσεται ὡς ἀστραπὴ βολὶς αὐτοῦ, καὶ Κύριος ὁ Θεὸς ὁ παντοκράτωρ ἐν σάλπιγγι σαλπιεῖ καὶ ἐκπορεύσεται ἐν σάλῳ ἀπειλῆς αὐτοῦ. Κύριος παντοκράτωρ ὑπερασπιεῖ αὐτῶν, καὶ καταναλώσουσιν αὐτοὺς καὶ καταχώσουσιν αὐτοὺς ἐν λίθοις σφενδόνης καὶ ἐκπίονται τὸ

---

1. Πρβλ. Ζαχ. 9,11. **2.** Πρβλ. Ζαχ. 9,12. **3.** Πρβλ. Ζαχ. 9,13.

αἷμα αὐτῶν ὡς οἶνον καὶ πλήσουσι τὰς φιάλας ἐλαίου ὡς θυσιαστήριον»

Γενήσεται δὲ ταῦτα, φησίν, ἐπειδὴ Θεὸς στρατηγῶν ὑμῖν φοβερὸν κατὰ τῶν ἐναντιουμένων ὑμῖν ἀνατείνει τὸ ὄμμα ἀστραπῆς δίκην, ἐπιπέμπων αὐτοῖς τὰ ξίφη, καὶ ὥσπερ τινὶ **[564]** σάλπιγγι[1] τῇ οἰκείᾳ δυνάμει πάντας ὑμᾶς εἰς τὸν πόλεμον διεγείρας προηγήσεται ὑμῶν, τῇ ἀπειλῇ τῇ ἰδίᾳ πάντας σαλεύων τοὺς ἐναντίους, τοσαύτην τε ὑμῖν παρέξει διὰ τῆς οἰκείας συνεργίας τὴν βοήθειαν, ὥστε ὑμᾶς ἀβλαβεῖς διαμεῖναι καὶ τοὺς ἐναντίους καταναλῶσαι πάντας καὶ ταῖς τῶν λίθων καταχῶσαι βολαῖς τὸ αἷμά τε αὐτῶν τῇ ὑπερβολῇ τῆς ἐκχύσεως μόνον οὐκ ἐκπιεῖν, πολλῇ τῇ τῆς ἀναιρέσεως αὐτῶν προθυμίᾳ κεχρημένους, ὥστε μετὰ τὴν νίκην πληρώσαντας ὑμᾶς ἐλαίου φιάλας[2] θυσίας δίκην τῷ Θεῷ προσκομίσαι εἰς ἔλεγχον τῆς φιλανθρωπίας, δι' ἣν τετυχήκατε τῆς τοσαύτης δυνάμεως. Τούτοις ἀκολούθως ἐπάγει, ὅτι πάντας τοὺς οἰκείους περισώσει Θεὸς προ**373**βάτων δίκην ἀβλαβεῖς φυλάττων. Καὶ τὴν αἰτίαν λέγων.

9,16-17 «Διότι λίθοι ἅγιοι κυλίονται ἐπὶ τῆς γῆς αὐτοῦ. Ὅτι εἴ τι ἀγαθὸν αὐτοῦ καὶ εἴ τι καλὸν αὐτοῦ»

Πολλοὺς μὲν γὰρ ἐν ὑμῖν εἶναι συμβέβηκεν, φησίν, ἀρετῆς ἐπιμελομένους, οἳ μετὰ τῶν λοιπῶν ἀνθρώπων ἐπὶ τῆς γῆς ἕρπειν δοκοῦσιν ἀφανεῖς ὄντες τοῖς πολλοῖς, Θεὸς δὲ δι' ἐκείνους οὐδὲ τοὺς λοιποὺς περιόψεται, ἐπειδὴ πᾶν, ὅ, τι ἀγαθόν τε καὶ καλόν, ἔργον αὐτοῦ[3]. Διὸ δὴ καὶ τῶν Ἁγίων καὶ πρὸς ἀρετὴν βλεπόντων οἰκειούμενος τὰ πάθη, ἕτοιμός ἐστι καὶ ἑτέρους ὑπὲρ αὐτῶν εὖ ποιεῖν. Εἶτα καὶ εὐετηρίαν αὐτοῖς εὐαγγελιζόμενος μετὰ τὴν τῶν πολεμίων σφαγήν, ἐπάγει.

10,1 «Αἰτεῖσθε παρὰ Κυρίου ὑετὸν καθ' ὥραν πρώϊμον καὶ ὄψιμον· Κύριος ἐποίησε φαντασίας, καὶ ὑετὸν χειμερινὸν δώσει αὐτοῖς, ἑκάστῳ βοτάνην ἐν ἀγρῷ»

Παρὰ τούτου δὴ καὶ ὑετοὺς[4] αἰτεῖτε ἐπιτηδείους εἰς τὴν τῶν

---

1. Πρβλ. Ζαχ. 9,14. **2.** Πρβλ. Ζαχ. 9,15. **3.** Πρβλ. Ζαχ. 9,17. **4.** Πρβλ. Ζαχ. 18,1.

καρπῶν φοράν, ὃς εἰωθὼς μετὰ πολλοῦ τοῦ φόβου συστρέφειν τὸν ἀέρα καὶ φαντάζειν ἅπαντας τοὺς ἐπὶ τῆς γῆς τῷ μεγέθει τῶν γινομένων, αὐτάρκης ὑετὸν ὑμῖν παρασχεῖν τὸν καθήκοντα, ὥσθ' ἅπαντα φύειν ἐκ τῆς γῆς τὰ ὑμῖν ἀναγκαῖα. Βοτάνην γὰρ κοινῶς τοὺς καρποὺς λέγει, οἷόν ἐστι καὶ τό «βλαστησάτω ἡ γῆ βοτάνην χόρτου»[1], εὔδηλον γάρ, ὅτι κἀκεῖ πάντα λέγει τὰ ἐκ γῆς φυόμενα τῶν σπερμάτων. Εἶτα πάλιν ἐπὶ σωφρονισμῷ τῶν προειληφότων αὐτοὺς ὑπομιμνήσκων ἐπάγει.

10,2-3 «Διότι οἱ ἀποφθεγγόμενοι ἐλάλησαν κόπους, καὶ οἱ μάντεις ὁράσεις ψευδεῖς, καὶ τὰ ἐνύπνια ψευδῆ ἐλάλουν, μάταια παρεκάλουν· διὰ τοῦτο ἐξήρθησαν ὡς πρόβατα καὶ ἐκακώθησαν ὅτι οὐκ ἦν ἴασις. Ἐπὶ τοὺς ποιμένας παρωξύνθη ὁ θυμός μου, καὶ ἐπὶ τοὺς ἀμνούς μου ἐπισκέψομαι»

Πάλαι μὲν γάρ, φησίν, ὁπηνίκα τοῖς μάντεσι προσείχετε μετὰ πολλοῦ τοῦ ψεύδους ἅπαντα διαλεγομένοις ὑμῖν, καὶ δὴ τῶν μὲν **374** Προφητῶν ἠμελεῖτε τῶν ἐμῶν, τοῖς παρ' ἐκείνων δὲ λεγομένοις ἐπείθεσθε μᾶλλον, τότε δὴ ἀνίατά τε καὶ ἀδιόρθωτα τὰ καθ' ὑμᾶς εὑρὼν ὡσανεὶ πρόβατα[2] τιμωρίαις ἐκδέδωκα, ἑνὶ τῷ θυμῷ ἐπί τε τοὺς ἡγουμένους ἐπί τε τοὺς ὑπηκόους χρησάμενος, ᾧ δὴ κἀκείνους κατὰ ταὐτὸν ἀπώλεσα καὶ τούτους. Τότε μὲν δὴ τοιαῦτα ὑπὲρ ἐκείνων πεπόνθατε, νυνὶ δὲ τί;

10,3 «Καὶ ἐπισκέψεται Κύριος ὁ Θεὸς ὁ παντοκράτωρ τὸ ποίμνιον αὐτοῦ τὸν οἶκον Ἰούδα»

[565] Καὶ τὰ ἑξῆς, ὧν ὥστε μὴ μηκύνειν τὴν λέξιν ἅπασαν ἐπὶ τοῦ παρόντος ἐκτιθέναι παρεὶς τὸν νοῦν ἐρῶ, Θεοῦ χάριτι ταῖς προφητικαῖς λέξεσιν αὐτὸν εἰς τὴν τῶν ἐντυγχανόντων κατανόησιν ἐφαρμόττων. Λέγει γάρ, ὅτι ἐπιμελήσομαι τοῦ οἴκου Ἰούδα[3], οὓς ὥσπερ ποίμνιον ἴδιον ἐθέμην, γενήσομαι δὲ ἰσχυροὶ κατὰ τῶν ἐναντίων ἐν τοῖς πολέμοις μᾶλλον ἢ ἵππος ἰσχυρὸς ὑπὸ ἀνδρὸς πολεμιστοῦ κατὰ τῶν πολεμίων ἐξελαυνόμενος. Ἐξ αὐτοῦ γάρ, λέγω δὴ τοῦ Ἰούδα, προεῖδον χρῆναι τὸν Ζοροβαβὲλ προβληθῆναι,

---

1. Γεν. 1,11. **2.** Πρβλ. Ζαχ. 10,2. **3.** Πρβλ. Ζαχ. 10,3.

κἀκεῖθεν αὐτὸν λαβὼν εἰς τὴν βασιλείαν ἔταξα ἰσχυρόν τε αὐτὸν καὶ θυμοῦ πνέοντα κατὰ τῶν ἐναντίων εἰργασάμην, ἐπειδὴ καὶ καθάπαξ ἐκ τῆς τοῦ Ἰούδα φυλῆς ὥρισα προιέναι τοὺς ἄρχοντας. Οὓς καὶ προηγεῖσθαι προσῆκεν ἐν τοῖς πολέμοις πάντοτε τοῦ λαοῦ, ἐπεὶ καὶ κατακρατήσουσιν οὕτω τῶν ἐναντίων ἐν τοῖς πολέμοις ὥστε καταπατεῖν αὐτοὺς πηλοῦ δίκην ἐν ὁδοῖς ὑπὸ τῶν διιόντων πατουμένου. Οὕτως ἐκκείσονται, φησίν, οἱ πολέμιοι πάσχοντες μέν, ἀντιμηχανάσθαι δὲ δυνάμενοι οὐθέν. Καὶ θαῤῥοῦντες δὴ πρὸς πάντας παρατάξονται τοὺς ἐναντίους τὴν θείαν αὐτοῖς παρεῖναι πιστεύοντες βοήθειαν. Τότε αἰσχυνθήσονται μὲν τῶν πολεμίων οἱ ἐφ' ἵπποις μέγα φρονοῦντες, φανήσονται δὲ οὗτοι μεγάλοι τε καὶ ἰσχυροὶ τῇ ἐμῇ βοηθείᾳ. Οἶκον γὰρ Ἰούδα καὶ οἶκον Ἰωσήφ, ἵνα εἴπῃ τὸν λαόν, ἐκ μέρους τὸν ὅλον ὀνομάζων. Παρέξω τε αὐτοῖς ἀσφαλῆ τὴν ἐν τοῖς ἰδίοις οἴκησιν, ἐπειδήπερ αὐτοὺς ἀγαπήσας ἐδοκίμασα αὐτοὺς τῆς ἐμῆς μὴ ἀποβαλεῖν προνοίας. Ἔσομαι γὰρ ἀεὶ μετ' αὐτῶν καὶ ἐν ἀνάγκαις τὴν ἐμὴν αἰτούντων βοήθειαν ἀκούσομαι. Καὶ **375** κρατήσουσι μάχῃ τῶν ἐναντίων — τὸ γάρ «οἱ τοῦ Ἐφράιμ» πάλιν ἀπὸ μέρους τὸν λαὸν λέγει — ὥστε αὐτοὺς ἐκ τῆς σφαγῆς τῶν ἐναντίων νενικηκότας χαίρειν τῇ διανοίᾳ μᾶλλον ἐμφορηθέντων οἴνου. Ταῦτα δὲ καὶ οἱ ἐξ αὐτῶν ἰδόντες ἐν εὐφροσύναις γενήσονται διὰ τὴν ὑπάρχουσαν αὐτοῖς παρὰ τοῦ Θεοῦ βοήθειαν. Ὥσπερ σάλπιγγι τοίνυν σημήνας ἅπαντας αὐτοὺς ἀθροίσω τε καὶ εἰσδέξομαι ἀπολύων αὐτοὺς πάσης ἀνάγκης, ὥστε μετὰ ἀσφαλείας ἐν τοῖς οἰκείοις διάγοντας εἰς πλῆθος ἐπιδοῦναι, παραπλησίως τῷ πρόσθεν χρόνῳ στενοχωρουμένους τε ἐπὶ τῆς γῆς τῆς οἰκείας ὑπὸ τοῦ πλήθους τοῦ οἰκείου ἐν πολλοῖς διασπαρῆναι καὶ τῶν ἀλλοτρίων, ὧν κατακρατήσαντες κτήσονταί τε οἰκήσουσι τὴν χώραν, οἳ πάντες μνήμῃ τῇ ἐμῇ διὰ τὸ τῶν γενομένων μέγεθος οὐ μόνον βλάψουσιν οὐδέν, ἀλλὰ γὰρ καὶ πᾶσαν αὐτῶν ἐπιμέλειαν ποιήσονται. Τοῦτο γὰρ λέγει τό,

10,9 «Ἐκθρέψουσι τὰ τέκνα αὐτῶν καὶ ἐπιστρέψουσιν»

Ἀντὶ τοῦ, ταῦτα ποιήσουσι πρὸς ἐμὲ νεύσαντες καὶ τὴν γνῶσιν τὴν ἐμήν. Πανταχόθεν δὴ λοιπὸν τοὺς ἐξ αὐτῶν διεσπαρμένους, εἴτε κατ' Αἴγυπτον εἴτε ἐν τῇ τῶν Ἀσσυρίων χώρᾳ, μεταβαλόμε-

νος ἐπανάξω[1] εἰς τὰ οἰκεῖα ὥστε τοὺς τόπους οἰκεῖν τοὺς οἰκείους, μηδενὸς ἔξω τούτων διάγοντος ἔτι. Οἳ διὰ πολλοῦ παρελεύσονται πλήθους στενοχωρούμενοι μὲν τῷ πλήθει τῶν ἐναντίων, κατακρατοῦντες δὲ αὐτῶν τῇ ἐμῇ δυνάμει. Ὥστε καὶ πᾶσαν αὐτῶν ἀπολέσαι τὴν ἰσχύν, ἅπαντάς τε αὐτοὺς δίκην θαλάσσης κυματουμένης ἀγριαινομένους καθ' ὑμῶν τιμωρήσασθαι, περιστῆσαί τε τῇ οἰκείᾳ τιμωρίᾳ καὶ **[568]** σφαγῇ εἰς μηδὲν τοὺς τοσούτους. Τοῦτο γὰρ λέγει

10,11 «Καὶ ξηρανθήσεται πάντα τὰ βάθη ποταμῶν»

Ἵνα εἴπῃ, ὅτι ἀφανιεῖ τοὺς οὕτω πολλούς[2]. Οὔτε δὲ Ἀσσυρίοις ἰσχὺς ἔτι περιλειφθήσεται τουτὶ δύνασθαι κατ' αὐτῶν, οὔτε Αἰγυπτίοις, ὧν οἱ μὲν αὐτοὺς πάλαι εἶχον ἐν τῇ δουλείᾳ, οἱ δὲ ὕστερον ἀπήγαγον αἰχμαλώτους. Ἀπαλλαγήσονται γὰρ ἁπάντων τούτων τίνι τῷ τρόπῳ;

10,12 «Καὶ κατισχύσω αὐτοὺς ἐν Κυρίῳ Θεῷ αὐτῶν, καὶ ἐν τῷ ὀνόματι αὐτοῦ καυχήσονται, λέγει Κύριος»

376 Ἐπειδὴ ἰσχυρούς τε αὐτοὺς ἐργάσομαι καὶ ἀλήπτους πᾶσι τοῖς ἐναντίοις, ὥστε αὐτοὺς καὶ σεμνύνεσθαι ἐπί τε τῇ ὀνομασίᾳ καὶ τῇ βοηθείᾳ τῇ ἐμῇ[3]. Ταῦτα εἰρηκὼς ἐπάγει.

11,1-3 «Διάνοιξον, ὁ Λίβανος, τὰς θύρας σου, καὶ καταφαγέτω πῦρ τὰς κέδρους σου· ὀλολυξάτω πίτυς, διότι πέπτωκε κέδρος, ὅτι μεγιστᾶνες μεγάλως ἐταλαιπώρησαν· ὀλολύξατε, δρύες τῆς Βασανίτιδος, ὅτι κατεσπάσθη ὁ δρυμὸς ὁ σύμφυτος. Φωνὴ θρηνούντων ποιμένων, ὅτι τεταλαιπώρηκεν ἡ μεγαλωσύνη αὐτῶν· φωνὴ ὀδυρομένων λεόντων, ὅτι τεταλαιπώρηκε τὸ φρύαγμα τοῦ Ἰορδάνου»

Ἐπειδὴ γὰρ εἶπεν ὅτι πανταχόθεν αὐτοὺς ἄξω ἀπό τε τῆς Αἰγύπτου καὶ ἀπὸ τῆς Ἀσσυρίων χώρας καὶ ὅτι μηδενὸς ἔτι πειραθήσονται τοιούτου, ἀκολούθως λοιπὸν ἐπὶ τοὺς κατέχοντας τρέπει τὸν λόγον τοῦτο λέγων. Οἱ μεγάλοι καὶ δυνατοὶ καὶ δίκην

---

1. Πρβλ. Ζαχ. 10,9. **2.** Πρβλ. Ζαχ. 10,11. **3.** Πρβλ. Ζαχ. 10,12.

τοῦ Λιβάνου[1] τῷ μεγέθει σεμνυνόμενοι τῶν κέδρων τὴν ἰσχὺν ἐπιδεικνύμενοι τὴν οἰκείαν ἀποστάντες τοῦ ἔτι μάχεσθαι τοῖς ἐμοὶ προσήκουσιν, ὥσπερ τινὰς θύρας ἀνοίξατε τὰ ἑαυτῶν, πᾶσιν ἀδεῆ παρέχοντες τὴν ἀφ' ὑμῶν ἀναχώρησίν τε καὶ ἐπάνοδον εἰς τὰ οἰκεῖα, πρὶν ἢ πυρὸς μὲν δίκην τὴν ἐμὴν τιμωρίαν τοὺς ἐν ὑμῖν ἀφανίσαι δυνατούς, ὀλολύζειν δὲ τοὺς ἀσθενεστέρους ὁρῶντας τῶν δυνατῶν τὴν πτῶσιν. Τοῦτο γὰρ λέγει «ὀλολυξάτω πίτυς, διότι πέπτωκε κέδρος»[2]. Θεασάμενοι γὰρ τὴν τῶν δυνατῶν ἀπώλειαν ἀπογνώσονται ὡς εἰκὸς ἑαυτῶν, καὶ πάντες οἱ ἐπί τινι δυνάμει μέγα φρονοῦντες ὀλολύξουσιν, ὁρῶντες τὸ οἰκεῖον πλῆθος ὡσανεὶ σύμφυτον δρυμὸν ἀφανιζόμενον, δίκην πυρὸς ἐπιπιπτούσης αὐτοῖς τῆς θείας τιμωρίας. Ἔσονται μὲν γὰρ οἱ ἐξάρχοντες ὑμῶν ἐν θρήνοις, ἀνθίστασθαι ἔτι τοῖς ἐμοὶ προσήκουσι τολμῶντες, ὁρῶντες ἅπασαν αὐτῶν τὴν ἰσχὺν ἀπολλυμένην. Θρηνήσουσι δὲ καὶ οἱ λεόντων δίκην τῇ οἰκείᾳ πεποιθότες ἰσχύι, πάντας ὁρῶντες ἐν ταλαιπωρίαις ὄντας τοὺς μέγα πεφρονηκότας κατὰ τοῦ Ἰορδάνου[3]. Ἐπειδὴ γὰρ μέρος τῆς Ἰουδαίας ἦν ὁ Ἰορδάνης ποταμός, ἀπὸ τῆς τοῦ ποταμοῦ μνήμης τὴν χώραν τῶν Ἰσραηλιτῶν εἰπεῖν ἠβουλήθη.

377 Ἄχρι μὲν δὴ τούτου τὴν ἐπὶ τὸ κρεῖττον μεταβολὴν τῶν Ἰσραηλιτῶν δεδήλωκεν ὁ Προφήτης, ὅτι τε ἡ Ἰερουσαλὴμ εἰς τὴν παλαιὰν ἀποκατασταθήσεται εὐπραγίαν, ἀποδοθείσης μὲν τῆς τε ἱερωσύνης καὶ τῆς βασιλείας τῷ ἔθνει, ἐπισυναχθέντος δὲ τοῦ λαοῦ πανταχόθεν, καὶ ὅτι τιμωρήσεται μὲν αὐτῶν τοὺς ἐχθροὺς ὁ Θεός, ἐν ἀγαθῶν δὲ πλείστων ἀφθονίᾳ καταστήσει τούτους, ἀλλὰ καὶ ὅτι τῷ Ζοροβαβὲλ πρὸς τὴν βασιλείαν ἐξειλεγμένῳ πλείστην τινὰ παρέξει τὴν ῥοπήν, ἀφ' ἧς ἰσχυροὶ μὲν ἔσονται κατὰ τῶν ἐναντίων, περιγενήσονται δὲ καὶ τῶν περὶ τὸν Γὼγ ἀναριθμήτων ὄντων καὶ ἀμαχωτάτων, καὶ συντόμως εἰπεῖν διὰ πάντων τῶν προῤῥηθέντων ἐγνώρισεν, ὁπόσην ἐπὶ τὸ κρεῖττον τὰ κατ' αὐτοὺς λήψεται τὴν ἐπίδοσιν. **[569]** Ἐπειδὴ δὲ οὐκ εὖ ἐχρήσαντο Ἰουδαῖοι τῇ τε εὐπραγίᾳ καὶ τῇ εἰρήνῃ, ἧς ἐπὶ πλεῖστον ἀπέλαυσαν, μεταβαλόμενοί τε ἐντεῦθεν πρὸς τὸ χεῖρον ἐξώκειλαν, πρὸς

---

1. Πρβλ. Ζαχ. 11,1. **2.** Ζαχ. 11,2. **3.** Πρβλ. Ζαχ. 11,3.

τοὐναντίον μὲν αὐτοῖς ἐκβέβηκεν ἅπαντα, πολλὴ δέ τις ἀκοσμία καὶ σύγχυσις αὐτῶν κατείληφε τὸ ἔθνος, ἅτε τῶν νόμων ἀμελουμένων παρ' αὐτοῖς τῶν θείων. Ἔνιοι γὰρ τῶν ὑποδεεστέρων πρὸς τοὺς ἀρχιερέας καὶ ἡγουμένους[1] τοῦ λαοῦ παντὸς μετὰ πολλῆς τε διέποντας αὐτὸν τῆς ἀκριβείας ἐκ τοῦ πρὸς τὸ χεῖρον ῥέπειν αὐτοὶ διηνέχθησαν ὡς εἰκός, καὶ μηδὲν κατ' αὐτῶν ἰσχύσαντες διὰ τὴν παρὰ τῷ λαῷ δόξαν τῶν ἀνδρῶν[2], ἐπὶ τοὺς βασιλέας ἐληλύθασι τοὺς ἐκ τῆς Μακεδονικῆς διαδοχῆς[3] τῶν κατὰ τὴν Συρίαν κρατοῦντας μερῶν, καὶ παρεσκεύασαν μὲν ἐν κινδύνοις τοὺς ἡγουμένους αὐτῶν γενέσθαι, ἄνδρας νομίμως τε ἱερατεύοντας καὶ δοκίμως, μεθίστατο δὲ τὰ τῆς ἀρχιερωσύνης[4] εἰς ἑτέρους παρὰ τὴν τῶν θείων νόμων ἀκολουθίαν κατὰ τὸ τοῖς βασιλεῦσι δοκοῦν, οἳ μόνον οὐχὶ πωλοῦντες τὸ ἔθνος τοῖς βασιλεῦσι καὶ χρημάτων παρὰ τὸ δέον τὴν προστασίαν ὠνούμενοι τοῦ λαοῦ, πλεῖστα μὲν ὅσα διεπράττοντο κακά, ἀκοσμίᾳ δὲ καὶ συγχύσει καθίστων ἅπαντα τὸν λαόν, καὶ κατελέλυτο μὲν καθάπαξ ἡ τῶν νόμων ἀκρίβεια, ἀντεισήγετο δὲ ἀταξία τε καὶ ἀνομία καὶ τὸ πρὸς τοὐναντίον τοῖς θείοις νόμοις ἅπαντα γίγνεσθαι. Ὑπὲρ δὴ τούτων ἁπάντων μυρίοις μὲν ὅσοις περιεβλήθησαν τοῖς κακοῖς Ἰουδαῖοι. **378** Τῶν Μακκαβαίων δὲ ἐκ τοῦ μὴ φέρειν τὴν περὶ τὰ θεῖα πλημμέλειαν μηδὲ ἀνεκτὸν ἡγεῖσθαι ἡσυχάζειν οὕτω μὲν παραβαινομένων τῶν νόμων τῶν θείων τοσαύτης δὲ ἀσεβείας ἀντεισαχθείσης τε καὶ πολιτευομένης ἐν αὐτοῖς, τὸν πρὸς τοὺς τῆς Μακεδονικῆς διαδοχῆς βασιλέας πόλεμον ἀναδεξαμένων, οὐκ ὀλίγοι τινὲς τῶν εἰς τὸ ἔθνος τελούντων τὴν ἐκείνων ζηλώσαντες γνώμην ἐκοινώνησαν τοῦ προῤῥηθέντος πολέμου. Καὶ γέγονε μὲν περί τε τὴν πόλιν καὶ τὸν ναὸν τοῦ Θεοῦ καὶ πᾶν δὴ τὸ ἔθνος συντόμως εἰπεῖν μυρία ὅσα παρὰ τῶν Μακεδόνων κακά, ἃ μηδὲ ῥᾴδιον εἰπεῖν. Ἐδέξατο δὲ ταῦτα διόρθωσιν, ὁπηνίκα Θεὸς τῇ γνώμῃ τῶν περὶ τὸν Μακκαβαῖον ἀρεσθεὶς παρέσχεν αὐτοῖς τὴν οἰκείαν ῥοπήν, ὥστε παρὰ πᾶσαν ἐλπίδα κεκρατηκότας ἐκείνους τῶν βασιλέων, καίτοι γε εὐαριθμήτους ὄντας καὶ πρὸς πολλὴν δύναμιν μαχομένους, δυνηθῆναι τὴν πρέπουσαν

1. Πρβλ. Α' Μακκ. 7,5. **2.** Πρβλ. Α' Μακκ. 7,9. **3.** Πρβλ. Β' Μακκ. 4,10,24. **4.** Πρβλ. Β' Μακκ. 4,8,9,24.

εὐκοσμίαν ἀποδοῦναι τῷ ἔθνει. Ἀναγκαιότατα δὴ καὶ τούτων τὴν γνῶσιν δεξάμενος ὁ Προφήτης ἐξ ἀποκαλύψεως θείας μηνύει τε τῷ λαῷ τὰ ἐσόμενα καὶ ἔγγραφον αὐτῶν εἰς τοὺς ἑξῆς παραπέμπει τὴν γνῶσιν ἐν τοῖς καθεξῆς τοῖς περὶ τούτων χρώμενος λόγοις. Ἄρχεται δὲ οὕτως.

11,4 «Τάδε λέγει Κύριος παντοκράτωρ· Ποίμαινε τὰ πρόβατα τῆς σφαγῆς»

Ἔθος τῇ θείᾳ Γραφῇ πολλάκις προστακτικῷ σχήματι μηνύειν τὸ μέλλον, οἷόν ἐστι τό «χαῖρε σφόδρα, θύγατερ Σιών»[1], καίτοι γε οὐδὲ ἐν ἐπιτάγματι κεῖται τὸ χαίρειν, ἐπεὶ μήτε παρόντων τῶν ἡδέων δυνατὸν μὴ χαίρειν, χαίρειν τε οὐκ ἔνεστιν ἀπόντων τῶν ἡδέων, ἀλλὰ μηνύσαι βουλομένη τὴν προσεσομένην αὐτοῖς ἡδονὴν ἐκ τῆς τοῦ Ζοροβαβὲλ ἡγεμονίας προστακτικῶς τοῦ λόγου πεποίηται τὴν ἀρχήν, καὶ μετὰ βραχέα «αἰτεῖτε παρὰ Κυρίου ὑετὸν καθ' ὥραν πρώιμον καὶ ὄψιμον»[2], δήλου μὲν ὄντος, ὡς οὐκ ἄν τις ἐν χρείᾳ ὢν παραλίποι τὸ αἰτεῖν, εἴπερ οὖν ὅτι δοθήσεται **[572]** πάντως εἰδείη, ἀλλ' ὅμως βουλόμενος εἰπεῖν, ὅτι ἀφθόνως ὑμῖν καὶ καθ' ὥραν τὸν ὑετὸν παρέξει Θεός, ἐν σχήματι προστακ**379**τικῷ τὴν μήνυσιν πεποίηται τοῦ ἐσομένου. Τὸν αὐτὸν δὴ τρόπον κἀνταῦθα τὰ περὶ τὸν λαὸν ἐσόμενα κακὰ προστακτικῷ σχήματι προλέγει, τοιοῦτό τι λέγων, ὅτι τὰ μὲν παρ' ἐμοῦ περὶ τὸν λαὸν ἔσται, οἷάπερ ἔφθην εἰπών, καὶ τοσούτων μὲν ἀπολαύσει τὸ ἔθνος ἀγαθῶν, ἐν τοσαύτῃ δὲ γενήσεται ἡ Ἰερουσαλὴμ εὐθηνίᾳ, κατακρατήσουσί τε τῶν πολεμίων, ἀφ' ὧν δὴ καὶ πολὺν ἀθροίσουσι πλοῦτον. Οὐκ εἰς δέον δὲ τῇ εὐπραγίᾳ χρησάμενοι, καὶ δὴ πρὸς τὸ χεῖρον ἰδόντες ὑπὸ ποιμένας ἔσονται τοιούτους, ὥστε δίκην προβάτων ἄγεσθαι ὑπ' αὐτοῖς εἰς σφαγὴν ἐκκειμένων[3]. Οἷόν ἐστι καὶ παρὰ τῷ μακαρίῳ Δαβὶδ τό «ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς»[4] περὶ τῶν αὐτῶν εἰρημένον· βούλεται δὲ εἰπεῖν, ὅτι οὐδεμιᾶς ἀξιωθήσονται ἐπιμελείας πάντα δὲ πείσονται ὡς εἰς τὸ σφάττεσθαι μόνον ἐκδεδομένοι. Καὶ τὸν τρόπον λέγων.

---

1. Ζαχ. 9,9. **2.** Ζαχ. 10,1. **3.** Πρβλ. Ζαχ. 11,4. **4.** Ψαλ. 43,23.

11,5 «Ἃ οἱ κτησάμενοι κατέσφαζον καὶ οὐ μετεμέλοντο»

Οἱ μὲν γὰρ κρατοῦντες αὐτῶν βασιλεῖς οὐχ ὡς ἰδίων ἐπεμελοῦντο κτημάτων, ὡς δὲ πολεμίους ἀνῄρουν ἀνίλεως. Τοῦτο γὰρ δηλοῖ τό «οὐ μετεμέλοντο»[1].

11,5 «Καὶ οἱ πωλοῦντες αὐτὰ ἔλεγον· Εὐλογητὸς Κύριος καὶ πεπλουτήκαμεν»

Οἱ δὲ ἀποδιδομένοι τοῖς βασιλεῦσι τὸ ἔθνος καὶ πόρους ἐκ τούτου συλλέγοντες τοσοῦτον ἀπεῖχον τοῦ αἰσχύνεσθαι ἐπὶ τῇ τοσαύτῃ καὶ τοιαύτῃ πλεονεξίᾳ, ὥστε καὶ εὐχαριστίας ἄξιον ἡγεῖσθαι τὴν τοιαύτην εὐπορίαν.

11,5 «Καὶ οἱ ποιμένες αὐτῶν οὐκ ἔπασχον οὐδὲν ἐπ' αὐτοῖς»

Ἐπιστεύοντο δὲ αὐτῶν καὶ τὴν ἐπιστασίαν ἄνδρες οὐδένα ἔλεον αὐτῶν ποιεῖσθαι ἐθέλοντες.

11,6 «Διὰ τοῦτο οὐ φείσομαι οὐκέτι ἐπὶ τοὺς κατοικοῦντας τὴν γῆν, λέγει Κύριος»

Ὑπὲρ τούτων αὐτοὺς ἀφήσω μηδεμιᾶς ἀξιῶν προνοίας τῆς παρ' ἐμοῦ.

11,6-7 «Καὶ ἰδοὺ ἐγὼ ἀποδίδωμι τοὺς ἀνθρώπους ἕκαστον εἰς τὰς χεῖρας τοῦ πλησίον αὐτοῦ καὶ εἰς χεῖρας βασιλέως αὐτοῦ, καὶ κατακόψουσι τὴν γῆν, καὶ οὐ μὴ ἐξέλωμαι ἐκ τῆς χειρὸς αὐτῶν. Καὶ ποιμανῶ τὰ πρόβατα τῆς σφαγῆς εἰς τὴν γῆν Χαναάν»

380 Καταλιμπάνω δὲ αὐτοὺς πάσχοντας τὰ ἀνήκεστα παρά τε τῶν ἐν τοῖς οἰκείοις μοχθηρῶν καὶ παρὰ τῶν βασιλέων ἐπιστρατευόντων αὐτοῖς, ἐπειδήπερ ἑαυτοὺς ἐξ ὧν πράττουσι τούτων ἀξίους ἐργάζονται. Οὕτω πάντες μὲν ἀναιρεθήσονται μικροῦ οἱ τὴν Ἰουδαίαν οἰκοῦντες — τοῦτο γὰρ λέγει «κατακόψουσι τὴν γῆν»[2] — οὐδεμιᾶς αὐτοῖς παρ' ἐμοῦ βοηθείας παρεχομένης εἰς τὸ τῆς τῶν ἐναντίων ἐπικρατείας ἀπαλλαγῆναι. Ἄξω δὲ τοὺς πρὸς τὴν σφαγὴν ἐκ τῶν οἰκείων ἔργων ἐκκειμένους, ὡς εἰκὸς ἄγεσθαι τοὺς

1. Ζαχ. 11,5. 2. Ζαχ. 11,6.

τοιούτους, ἐπ' ὄψεσι τῶν Χαναναίων. Τὸ γάρ «ποιμανῶ τὰ πρόβατα τῆς σφαγῆς»[1], ἵνα εἴπῃ, ὅτι ἐπὶ τὴν σφαγὴν αὐτοὺς ἄξω, οὐχ ὡς αὐτὸς ποιῶν, ἀλλὰ τῷ ἀφιέναι, ἐπεὶ καὶ τοῦτο ἔθος τῇ θείᾳ Γραφῇ τὸ τὴν συγχώρησιν τὴν θείαν ὡς πρᾶγμα λέγειν. Οἷόν ἐστι τό «καὶ ἐξέκλινας τὰς τρίβους ἡμῶν ἀπὸ τῆς ὁδοῦ σου»[2], οὐχ ὅτι Θεὸς ἐξέκλινεν, ἀλλ' ὅτι συνεχώρησε παθεῖν, ἅπερ αὐτοὺς ἐκτρέψαι τοῦ προσήκοντος ἦν ἱκανά. Τὸ δέ «εἰς τὴν γῆν Χαναάν», [573] τουτέστιν ἐπ' ὄψεσι τῶν ἀλλοτρίων. Βαρύτερον γὰρ ἦν τὸ τοὺς τὴν παλαιὰν αὐτῶν εὐπραγίαν εἰδότας ἀθρόον ἰδεῖν ἐν τοιούτοις ἐξεταζομένους κακοῖς.

11,7 «Καὶ λήψομαι ἐμαυτῷ δύο ῥάβδους, τὴν μίαν ἐκάλεσα Κάλλος καὶ τὴν δευτέραν ἐπεκάλεσα Σχοίνισμα, καὶ ποιμανῶ τὰ πρόβατα»

Ἃς δέδωκα αὐτοῖς, φησίν, εἰς ἡγεμονίαν συντελούσας ἀρχάς, βασιλείαν τε καὶ ἱερωσύνην, αἷς δὴ μάλιστα κοσμεῖσθαί τε αὐτοὺς καὶ συγκρατεῖσθαι πρὸς τὸ δέον ἐχρῆν, ταύτας ἐπειδὴ μοχθηροὶ τὸν τρόπον γεγόνασιν ἀφελὼν ἐξ αὐτῶν ἡγήσομαι αὐτῶν ἐπὶ τιμωρίᾳ λοιπόν. Ὃ γὰρ εἶπεν ἀνωτέρω «ποιμανῶ τὰ πρόβατα τῆς σφαγῆς», τοῦτο πάλιν ἐνταῦθα δευτερῶν εἶπε «καὶ ποιμανῶ τὰ πρόβατα».

11,8 «Καὶ ἐξαρῶ τοὺς τρεῖς ποιμένας ἐν μηνὶ ἑνὶ»

381 Οὐδὲ ἐνταῦθα τὸ τρεῖς[3] ἀριθμὸν βούλεται λέγειν, ἀλλ' ἐπειδήπερ ἀπὸ Ἰησοῦ τοῦ Ἰωσέδεκ μέχρις ἐκείνων τῶν καιρῶν ὑπὸ ἀρχιερεῦσιν ἐποιμαίνοντο δοκίμοις, ἅπαντας, φησίν, ἐκείνους τοὺς ἱερέας τοὺς δοκίμους ὑφ' ἑνὶ τῷ καιρῷ παύσω, ὅτε δὴ πρὸς τὸ χεῖρον οὗτοι τραπέντες ἀντὶ τῆς κρείττονος ἱερωσύνης καὶ νομίμου τὴν χείρονα καὶ παράνομον ἑαυτοῖς ἐπιλέξονται. Εἰωθότως γὰρ τὰ συμβαίνοντα αὐτοῖς κακὰ τῷ προσώπῳ τοῦ Θεοῦ περιάπτει, ὡς ἂν ἐν τιμωρίας εἴδει φαίνοιτο πάντα αὐτοῖς περιγεγονότα τὰ χείρω. Οὕτω καὶ ὁ μακάριος λέγει Παῦλός ποτε μέν, «παρέδωκεν αὐτοὺς ὁ Θεὸς εἰς πάθη ἀτιμίας»[4], ποτὲ δέ,

1. Ζαχ. 11,7. **2.** Ψαλ. 43,19. **3.** Πρβλ. Ζαχ. 11,8. **4.** Ρωμ. 1,26.

«παρέδωκεν αὐτοὺς ὁ Θεὸς εἰς ἀδόκιμον νοῦν»[1]· οὐχ ὡς τοῦ Θεοῦ παραδόντος, ἀλλ' ἐν τιμωρίας μέρει τιθεὶς καὶ τὴν χείρονα αἵρεσιν τῶν πρὸς τοῦτο νευόντων, ὡς ἂν τῶν τοιούτων ἀλλοτριουμένων μὲν τῆς θείας κηδεμονίας οὕτω δὲ ἀμεταμέλητον τὴν ἐν τῷ χείρονι λαμβανόντων ῥοπήν. Κἀνταῦθα οὖν τοῦτό φησιν, ὅτι παυθήσεται μὲν ὑφ' ἑνί τινι καιρῷ — τοῦτο γὰρ λέγει τό «ἐν μηνὶ ἑνί»[2] — ἡ τῶν πάλαι καλῶς ποιμαινόντων αὐτοὺς ἐπιστασία, ἔσονται δὲ ὑπό τινας μοχθηροὺς καὶ παρανόμως τῇ προστασίᾳ ταύτῃ κεχρημένους.

11,8 «Καὶ βαρυνθήσεται ἡ ψυχή μου ἐπ' αὐτούς»

Ὅθεν δὴ μάλιστα μέγιστον κατ' αὐτῶν ἀναδέχομαι τὸ μῖσος, ὁρῶν αὐτοὺς ἀντὶ τοιούτων τοιαῦτα ἑλομένους καὶ οὕτως ἐκβεβληκότας μὲν τὰ κρείττω ἑλομένους δὲ τὰ χείρω. Καὶ δεικνὺς ὅτι δικαίαν αὐτοῖς ταύτην ἐπήγαγε τὴν τιμωρίαν, ἀνθ' ὧν αὐτοὶ γεγόνασιν οἰκείᾳ μοχθηρίᾳ κακοί·

11,8 «Καὶ γὰρ αἱ ψυχαὶ αὐτῶν ἐπωρύοντο ἐπ' ἐμέ»

Τοιαύτῃ γάρ, φησίν, ἐχρησάμην γνώμῃ περὶ αὐτούς, ἐπειδὴ κἀκεῖνοι δίκην θηρίων κατ' ἐμοῦ τὸν θυμὸν αὐτῶν ἐξέτειναν, ἐπειδὴ ἅπερ εἰς τοὺς δοκίμους ἔπραττον ἱερέας εἰς ἐμὲ προδήλως ἐτόλμων. Οἷόν ἐστι τὸ πρὸς τὸν Σαμουήλ· «οὐ σὲ ἐξουδενώκασιν, ἀλλ' ἢ ἐμέ»[3].

11,9 «Καὶ εἶπον· Οὐ ποιμανῶ ὑμᾶς»

382 Ἐντεῦθεν τοῦ τε ποιμαίνειν αὐτοὺς ἀπέστην καὶ τοῦ τὴν προσήκουσαν αὐτῶν ἐπιμέλειαν ὡς προβάτων οἰκείων ποιεῖσθαι. Ἔδειξε δὲ ὅτι ἐν τοῖς ἀνωτέροις τό «ποιμανῶ» ἐπὶ τοῦ παραδώσω τῇ τιμωρίᾳ λέγει· ἐνταῦθα γοῦν σαφῶς τέθεικε τό «οὐ ποιμανῶ»[4], τὸ μετ' ἐπιμελείας ποιμαίνειν σημαίνων, καὶ ὅτι ταύτην αὐτοῖς οὐκέτι παρέξει τὴν θεραπείαν. Ἐπάγει **[576]** γοῦν.

1. Ρωμ. 1,28. **2.** Ζαχ. 11,8. **3.** Α' Βασ. 8,7. **4.** Ζαχ. 11,9.

11,9 «Τὸ ἀποθνῆσκον ἀποθνησκέτω, καὶ τὸ ἐκλεῖπον ἐκλιπέτω, καὶ τὰ κατάλοιπα κατεσθιέτω ἕκαστον τὰς σάρκας τοῦ πλησίον αὐτοῦ»

Ἀφίημι δέ, φησίν, ἕκαστον ἐκ τῆς ἑαυτοῦ κακίας δέχεσθαι τὴν τιμωρίαν, αὐτῶν ἀλλήλους ἀναλισκόντων ταῖς τε ἔρισι καὶ ταῖς μάχαις καὶ τῇ τῆς ἐπιβουλῆς ἐμμελείᾳ.

11,10 «Καὶ λήψομαι τὴν ῥάβδον μου τὴν καλὴν καὶ ἀποῤῥίψω αὐτὴν τοῦ διασκεδάσαι τὴν διαθήκην μου, ἣν διεθέμην πρὸς πάντας τοὺς λαοὺς τῆς γῆς»

Ἀφελῶ δὴ τὴν δοκιμωτάτην καὶ ἀρίστην ἱερωσύνην καὶ χαμαί που κειμένην ὑπὸ τῶν καταβαλόντων αὐτήν, ἀφ' ἧς μεταστήσω καὶ τὰ τῶν ἐκτὸς τοῦ ἔθνους πρὸς τοὐναντίον. Οἱ γὰρ ἐκ τῶν ἀλλοτρίων μετὰ πολλῆς πρότερον τῆς προθυμίας ἐπὶ τὸν ναὸν κατατρέχοντες τὸν ἐμὸν αἰδοῖ τῶν αὐτόθι νομίμως ἐκτελουμένων, ἀποστήσονται καὶ οὗτοι ταῦτα αὐτὰ ποιεῖν ὑπὸ τῆς κρατούσης τὰ αὐτόθι συγχύσεώς τε καὶ ἀκοσμίας ἀνιέναι συνήθως εἰς τὸν ναὸν κωλυόμενοι. Τοῦτο οὖν λέγει, «διασκεδάσαι τὴν διαθήκην μου, ἣν διεθέμην πρὸς πάντας τοὺς λαοὺς τῆς γῆς»[1], ἵνα εἴπῃ, ὅτι παύσω τοῦτο γινόμενον, ὃ καὶ παρὰ τῶν ἀλλοτρίων ἐγίγνετο πρότερον — τῷ οἰκείῳ προσώπῳ πάλιν περιτιθεὶς τὸ ἐκ τῆς ἑτέρων συμβαῖνον κακίας — ὥστε ὀργῆς αὐτοὺς συντόμως εἰπεῖν ἅπαντα τὰ χείρω φαίνεσθαι σημεῖα.

11,11 «Καὶ διασκεδασθήσεται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ γνώσονται οἱ Χαναναῖοι τὰ πρόβατα τὰ φυλασσόμενά με, διότι ὁ λόγος Κυρίου ἐστίν»

383 Τότε, φησίν, παύσεται μὲν ἡ παρὰ τῶν ἐναντίων εἰς τὸν ναὸν γινομένη θεραπεία, συγκαλυομένης ὡς εἰκὸς τούτῳ τῷ τρόπῳ τῆς Διαθήκης, ἣν πρὸς αὐτοὺς ἐθέμην, ἔσονται δὲ γνώριμοι καὶ τοῖς ἀλλοτρίοις οἱ ὄντως ἐμοὶ καὶ πολλὴν τῆς τῶν ἐμοὶ δοκούντων φυλακῆς ἔχοντες τὴν φροντίδα, καὶ ὅτι ὅρος τίς ἐστι

1. Ζαχ. 11,10.

θεῖος, ὁ τοὺς μὲν μοχθηροὺς ἐκδοὺς τοῖς χείροσι τῶν δὲ τὸ δέον ποιουμένων καὶ ὀλίγων ὄντων οὕτω πολλὴν ποιούμενος τὴν φροντίδα, ὥστε ὄντως τὸ κέρδος τῆς ἐμῆς οἰκειότητος αὐτῶν γίνεσθαι δῆλον, ἐξ ὧν τοσαύτης ἀξιοῦνται τῆς παρ' ἐμοῦ προνοίας, ὡς καὶ τῶν ἐναντίων πολλῶν τε ὄντων καὶ δυνατῶν ῥᾳδίως κρατεῖν. Εἶτα βουλόμενος δεῖξαι τὸ δόκιμον τοῦ τρόπου τῶν οἰκείων, λέγει δὲ τοὺς περὶ τῶν Μακκαβαίων, οἳ τὸν ὑπὲρ τοῦ ἔθνους καὶ τῶν νόμων τῶν θείων πόλεμον πρὸς τοὺς τῶν Μακεδόνων εἵλοντο βασιλέας, ἐπάγει.

11,12 «Καὶ ἐρῶ πρὸς αὐτούς· Εἰ καλὸν ἐνώπιον ὑμῶν ἐστιν δότε τὸν μισθόν μου ἢ ἀπείπασθε»

Οὕτω γάρ, φησίν, ἔσονται δόκιμοι περὶ ἐμὲ καὶ βέβαιοι, ὥστε θαῤῥοῦντά με πρὸς αὐτοὺς λέγειν, ὅτι εἰ μὲν ἀρεστὸν ὑμῖν τὸ ὑπ' ἐμοί τε εἶναι καὶ τῆς ἐπιστασίας ἀξιοῦσθαι τῆς ἐμῆς, καὶ δὴ παρέχετέ μοι τῆς εὐνοίας καὶ τῆς ὑπακοῆς τῆς ὑμετέρας τὸν μισθόν[1], εἰ δὲ βαρὺ τὸ πρὸς ἐμὲ νεύοντας τοσούτων πειρᾶσθαι κακῶν, ὁπόσαπερ ὑπομένειν ἀναγκάζεσθε νῦν παρὰ τῶν πολεμίων, φανερὰν τῆς ἐμῆς ἐπιστασίας ποιήσασθε τὴν παραίτησιν. Ὅμοιον γάρ ἐστι τῷ παρὰ τοῦ Κυρίου πρὸς τοὺς μαθητὰς εἰρημένῳ «μὴ καὶ ὑμεῖς θέλετε ὑπάγειν;»[2]. Ὅπερ οὐκ ἀποτρέπων αὐτοὺς συνεῖναι λέγει, ἀλλὰ τῇ [577] φωνῇ βεβαιοτέρους δεικνύς. Τὸν αὐτὸν δὴ τρόπον κἀνταῦθα λέγει, ὅτι θαῤῥῶν αὐτοῖς προτείνω τοῦτο, εἰδὼς ὅτι δέξονται τὸ δι' ἐμὲ πάσχειν κακῶς ἢ ἐν ἀπολαύσει τῶν κρειττόνων εἶναι τῆς ἐπιστασίας ἔξω τυγχάνοντες τῆς ἐμῆς. Ἐπάγει τοίνυν.

11,12 «Καὶ ἔστησαν τὸν μισθόν μου τριάκοντα ἀργυρίους»

384 Οὐχ ἀριθμὸν οὐδὲ ἐνταῦθα λέγων τὰ τριάκοντα, ἀλλ' ἵνα εἴπῃ, ὅτι πολλήν μοι τὴν ἔννοιαν ἀπέδωκαν τὴν οἰκείαν, καὶ διέμειναν τὴν εὐγνωμοσύνην ἐπιδεικνύντες τὴν ἑαυτῶν.

11,13 «Καὶ εἶπε Κύριος πρός με· Κάθες αὐτοὺς εἰς τὸ χωνευτήριον, καὶ σκέψαι εἰ δόκιμόν ἐστιν, ὃν τρόπον ἐδοκιμάσθην ὑπὲρ

---

1. Πρβλ. Ζαχ. 11,12. **2.** Ἰω. 6,67.

αὐτῶν. Καὶ ἔλαβον τοὺς τριάκοντα ἀργυρίους καὶ ἐνέβαλον αὐτοὺς εἰς τὸν οἶκον Κυρίου εἰς τὸ χωνευτήριον»

Βούλεται δὲ εἰπεῖν, ὅτι ὥσπερ χωνείᾳ τινὶ τῷ πειρασμῷ τῶν κακῶν περιβέβληκα αὐτῶν τὴν περὶ ἐμὲ προαίρεσιν, ὥστε με ἰδεῖν, εἰ οὕτως εἰσὶ δεδοκιμασμένοι περὶ ἐμὲ ὥσπερ ἐγὼ περὶ αὐτούς, τουτέστιν εἰ οὕτω βεβαίαν ἔχουσι περὶ ἐμὲ τὴν εὔνοιαν ὡς ἐγὼ δὴ βεβαίαν αὐτοῖς τὴν ἐπιστασίαν παρέχω τὴν ἐμήν. «Ἐμβέβληκα τοίνυν αὐτοὺς εἰς τὸν οἶκον Κυρίου εἰς τὸ χωνευτήριον»[1] — εἰκότως τό «εἰς τὸν οἶκον» εἰπών, ὑπὲρ οὗ δὴ ἅπαντα τὸν ἀγῶνα ὑβριζομένου παρὰ τῶν πολεμίων εἶχον —, ἵνα εἴπῃ, ὅτι καὶ διὰ τῆς χωνείας τῶν κακῶν ὤφθησαν δόκιμοι. Εἶτα τὴν τῶν οἰκείων εὔνοιαν εἰρηκώς, ἀποδίδωσι τοῖς προτέροις τὸ λεῖπον, καὶ ἐπειδήπερ εἶπεν ἐν τοῖς ἀνωτέροις, ὅτι «ἔλαβον τὴν ῥάβδον μου τὴν καλὴν καὶ ἐπέρριψα αὐτήν»[2], ἐπάγει.

11,14 «Καὶ ἀπέρριψα τὴν ῥάβδον τὴν δευτέραν, τὸ Σχοίνισμα, τοῦ διασκεδάσαι τὴν διαθήκην τὴν ἀνὰ μέσον Ἰούδα καὶ ἀνὰ μέσον Ἰσραήλ»

Ἵνα εἴπῃ, ὅτι καὶ τὴν βασιλείαν καὶ τὰ ἐκ ταύτης ἀγαθὰ περιεῖλον αὐτῶν διὰ τὴν μοχθηρίαν τοῦ τρόπου. Κάλλος μὲν γὰρ κέκληκε τὴν ἱερωσύνην ὡς εὐπρεπεῖς καὶ δοκίμους ἐργαζομένην Θεῷ, σχοίνισμα δὲ τὴν βασιλείαν ὡς διαμετροῦσαν καὶ διορίζουσαν τοῖς ὑπηκόοις τὸ πρέπον, οἷόν ἐστι τό «λέγων σοι δώσω τὴν γῆν Χαναὰν σχοίνισμα κληρονομίας ὑμῶν»[3] ἀντὶ τοῦ, τὴν γῆν Χαναὰν ὑμῖν διελών τε καὶ ἀφορίσας τῆς γῆς ἁπάσης δέδωκα εἰς κληρονομίαν. Εἶτα καὶ δεικνὺς ὅτι ἐπὶ πλεῖστον ἐν τούτοις στραφήσονται τοῖς κακοῖς, ἐπάγει.

11,15-16 «Καὶ εἶπε Κύριος πρός με· Ἔτι λάβε σεαυτῷ σκεύη ποιμενικὰ ποιμένος ἀπείρου. Διότι ἰδοὺ ἐγὼ ἐξεγερῶ ποιμένα ἄπειρον ἐπὶ τὴν γῆν· τὸ ἐκλεῖπον οὐκ ἐπισκέψεται καὶ τὸ ἐσκορπισμένον οὐ μὴ ζητήσῃ καὶ τὸ συντετριμμένον οὐ μὴ κατευθύνῃ τὰ

---

1. Ζαχ. 11,13. **2.** Ζαχ. 11,10. **3.** Ψαλ. 104,11.

κρέα τῶν ἐκλεκτῶν καταφάγεται καὶ τοὺς ἀστραγάλους αὐτῶν ἐκστρέψει»

385 Ἐνταῦθα πάλιν ἐν προστακτικῷ σχήματι τὸ ἐσόμενον λέγει. Ἐπιμένει γάρ, φησίν, ἡ περὶ τὸν λαὸν ἐκ τῶν κακῶς ποιμαινόντων ταλαιπωρία, οἳ μεταχειριοῦνται τὴν ἱερωσύνην κακῶς. Σκεύη γὰρ ποιμενικὰ[1] ἀνήκοντα τῇ προβολῇ τῆς ἱερωσύνης ἔργα δηλοῖ, δι' ὧν ταύτην ἔθος ἐκτελεῖσθαι τὴν λειτουργίαν. Ἐπιλήψονται τοίνυν, φησίν, τῆς ἱερωσύνης ἄνδρες οὐδεμίαν τοῦ πράγματος ἐμπειρίαν ἔχοντες, οὐδέ τι πράττειν τῶν δεόντων εἰδότες, οἳ οὔτε τὸ ἠσθενηκὸς ἐπισκέψονται οὔτε τῶν ἀφισταμένων ζήτησιν ποιοῦνται, θεραπείαν τε τοῖς κεκακω**[580]**μένοις ἐπάγουσιν οὐδεμίαν· ἀλλ' οὐδὲ τῶν ὑγιῶν λόγος αὐτοῖς, ὅπως ἂν ἐπὶ τῆς οἰκείας μένοιεν εὐρωστίας, τοὐναντίον μὲν οὖν τῶν πρὸς τὸ κρεῖττον ὁρώντων καὶ τὰς σάρκας, εἰ οἷόν τε, καὶ τοὺς ἀστραγάλους κατεσθίουσιν[2], παντὶ τρόπῳ κακῶς αὐτοὺς διατιθέντες, καὶ τὰ μὲν αὐτοῖς τὰ δὲ τοῖς προσήκουσιν αὐτοῖς λυμαινόμενοι, ἐπειδὴ πρὸς τὸ χεῖρον ῥέποντες αὐτοὶ πολεμίως ἔχουσι πρὸς τοὺς τοῦ δέοντος ἐραστάς. Οἷς καλῶς μετὰ ἀποδυσπετήσεως ἐπάγει πολλῆς ἐμφαίνων τὴν ἐπὶ τοῖς γινομένοις ἀγανάκτησιν τοῦ Θεοῦ πλείστην οὖσαν.

11,17 «Ὦ οἱ ποιμαίνοντες τὰ μάταια καὶ καταλελοιπότες τὰ πρόβατα· μάχαιρα ἐπὶ τοῦ βραχίονος αὐτοῦ καὶ ἐπὶ τὸν ὀφθαλμὸν αὐτοῦ τὸν δεξιόν· ὁ βραχίων αὐτοῦ ξηραινόμενος ξηρανθήσεται, καὶ ὁ ὀφθαλμὸς αὐτοῦ ὁ δεξιὸς ἐκτυφλούμενος ἐκτυφλωθήσεται»

Ἀλλὰ γὰρ οὐκ ἀτιμώρητα ταῦτα ἔσται, φησίν, ὑμῖν τοῖς ἐπὶ κακῷ τῇ ποιμασίᾳ κεχρημένοις καὶ πρὸς σφαγὴν ἐκδεδωκόσι τοῦ Θεοῦ τὸν λαόν. Εἰς γὰρ τοὺς βραχίονας καὶ τοὺς ὀφθαλμοὺς δώσετε **386** δίκην, τῶν μὲν μαραινομένων παντελῶς τῶν δὲ ἐκτυφλουμένων[3]. Βούλεται δὲ εἰπεῖν, ὅτι καὶ ἡ ἰσχὺς αὐτῶν πᾶσα διὰ τῆς τιμωρίας ἀφαιρεθήσεται τῆς θείας, καὶ ἡ ἐξουσία τοῦ δοκεῖν ἐφορᾶν ἑτέροις. Τούτοις ἐπάγει.

---

1. Πρβλ. Ζαχ. 11,15. **2.** Πρβλ. Ζαχ. 11,16. **3.** Πρβλ. Ζαχ. 11,17.

12,1 «Λῆμμα λόγου Κυρίου ἐπὶ τὸν Ἰσραήλ· λέγει Κύριος ἐκτείνων τὸν οὐρανὸν καὶ θεμελιῶν τὴν γῆν πλάσσων πνεῦμα ἀνθρώπου ἐν αὐτῷ»

Ἵνα εἴπῃ, ταῦτα κατὰ ἀποκάλυψίν μοι δειχθέντα παρὰ τοῦ Θεοῦ λέγω, ὃς ποιητὴς μὲν ἁπάντων ἐστὶ τῶν ὄντων, αὐτὸς δὲ καὶ ἄνθρωπον πεποίηκεν[1], ψυχῆς τε αὐτῷ καὶ προθέσεως λογικῆς μεταδούς. Ἵνα εἴπῃ, ὅτι ὡς ἠβουλήθη Θεὸς συνεχώρησε ταῦτα γενέσθαι, ὃς ἅτε πάντων Κύριος συγχωρεῖ καὶ ἀνθρώποις ὁπόταν ἐθέλοι τὰ δοκοῦντα αὐτοῖς ποιεῖν. Τί οὖν οὗτος; τί φησιν;

12,2 «Ἰδοὺ ἐγὼ τίθημι τὴν Ἰερουσαλὴμ ὡς πρόθυρα σαλευόμενα πᾶσι τοῖς λαοῖς κύκλῳ, καὶ ἐν τῇ Ἰουδαίᾳ ἔσται περιοχὴ ἐπὶ Ἰερουσαλήμ»

Ἐγὼ τοίνυν, φησίν, διὰ τὴν τῶν οἰκούντων κακίαν ἀσθενείᾳ παραδέδωκα πλείστῃ τὴν Ἰερουσαλήμ[2], ὥστε πᾶσιν ἐξεῖναι τοῖς βουλομένοις ἐπιέναι τε αὐτῇ καὶ σαλεύειν, ὡς ἂν ἐθέλοιεν. Ὅθεν δὴ καὶ ὁ παρὰ τῶν Μακεδονίας βασιλέων αὐτοῖς ἐπεγήγερται πόλεμος.

12,3 «Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ θήσομαι τὴν Ἰερουσαλὴμ λίθον καταπατούμενον πᾶσι τοῖς ἔθνεσιν· πᾶς ὁ καταπατῶν αὐτὴν ἐμπαίζων ἐμπαίξεται, καὶ ἐπισυναχθήσεται ἐπ' αὐτὴν πάντα τὰ ἔθνη τῆς γῆς»

Ἐντεῦθεν αὐτὴν ἐπιβήσονται μὲν ἀλλότριοι, πᾶσι δὲ τοῖς ἐπιβαίνουσιν ἄδεια γενήσεται τοῦ πράττειν εἰς αὐτὴν ἅπερ ἂν ἐθέλοιεν, ἅτε καὶ πολλῶν ἀθροισθησομένων ἐπ' αὐτὴν τούτου γε ἕνεκεν. Εἶτα εἰρηκὼς τὰς συμφορὰς[3] ὡς κατὰ συγχώρησιν τοῦ Θεοῦ γενομένας, λέγει λοιπὸν καὶ τὴν ἐπὶ τὸ κρεῖττον μεταβολήν, ἣν ἕξουσι τοῦ Θεοῦ βουληθέντος.

12,4-5 «Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, λέγει Κύριος παντοκράτωρ, πατάξω πάντα ἵππον ἐν ἐκστάσει καὶ τὸν ἀναβάτην αὐτοῦ ἐν παραφρονήσει, ἐπὶ δὲ τὸν οἶκον Ἰούδα ἀνοίξω τοὺς ὀφθαλμούς μου καὶ

---

1. Πρβλ. Ζαχ. 12,1. **2.** Πρβλ. Ζαχ. 12,2. **3.** Πρβλ. Ζαχ. 12,3.

πάντας τοὺς ἵππους τῶν λαῶν πατάξω ἐν ἀποτυφλώσει. Καὶ ἐροῦσιν οἱ χιλίαρχοι Ἰούδα πάντες ἐν ταῖς καρδίαις αὐτῶν· Εὑρήσομεν ἑαυτοῖς τοὺς κατοικοῦντας Ἰερουσαλὴμ ἐν Κυρίῳ παντοκράτορι Θεῷ αὐτῶν»

387 Ἀλλὰ γὰρ οὐκ εἰς τέλος αὐτοῖς ἐπιτείνεσθαι ἐάσω τῶν κακῶν τὴν πεῖραν, ἀθρόαν δὲ ἅπασιν αὐτοῖς **[581]** παρέξω τὴν βοήθειαν καὶ διὰ τῶν πρὸς τὴν ἐμὴν ὁρώντων βοήθειαν — βούλεται δὲ τῶν Μακκαβαίων εἰπεῖν — πᾶσαν τὴν ἱππικὴν τῶν ἐναντίων καταπλήξω δύναμιν, ὥστε καὶ τοὺς ἐπιβεβηκότας αὐτῶν εἰς παντελῆ παραφροσύνην τῷ μεγέθει τῶν κακῶν ἐμπεσεῖν[1]. Καὶ ταῦτα μὲν περὶ τοὺς ἐναντίους ἐργάσομαι, τοῖς δὲ ἐκ τῆς Ἰούδα φυλῆς, ἐξ ἧσπερ ἦσαν καὶ οἱ ἡγούμενοι τοῦ πολέμου Μακκαβαῖοι, τήν τε ἐποψίαν καὶ τὴν κηδεμονίαν παρέξω τὴν ἐμήν, ἅπαν τῶν ἐναντίων τὸ ἱππικὸν ὡς ἂν τυφλώσει τινὶ περιβάλλων καὶ οὕτως ἄπρακτον κατὰ τῶν ἐμοὶ προσηκόντων ποιῶν. Τότε δὴ λοιπὸν οἱ ἡγούμενοι τοῦ Ἰούδα ἠσθήσονται, ὅτι περ αὐτοῖς ἄδεια δέδοται παρὰ τοῦ Θεοῦ τοῦ πάλιν ἀνελθεῖν τε εἰς τὴν Ἰερουσαλὴμ[2] μετὰ παῤῥησίας καὶ μετὰ τῆς πρόσθεν αὐτὴν οἰκεῖν εὐθηνίας ἁπάντων ἐπιμελομένους, ὧν προσῆκόν ἐστιν ἐπιμελεῖσθαι τοὺς οἰκοῦντας αὐτόθι, εἰ δὴ μέλλοιεν ἀρέσκειν Θεῷ. Καὶ καθεξῆς ἐπάγει.

12,6-7 «Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ θήσομαι τοὺς χιλιάρχους Ἰούδα ὡς δαλὸν πυρὸς ἐν ξύλοις καὶ ὡς λαμπάδα πυρὸς ἐν καλάμῃ, καὶ καταφάγονται ἐκ δεξιῶν καὶ ἐξ εὐωνύμων πάντας τοὺς λαοὺς κυκλόθεν, καὶ κατοικήσει Ἰερουσαλὴμ ἔτι καθ' ἑαυτὴν ἐν Ἰερουσαλήμ. Καὶ σώσει Κύριος τὰ σκηνώματα Ἰούδα καθὼς ἀπ' ἀρχῆς, ὅπως μὴ μεγαλύνηται καύχημα οἴκου Δαβὶδ καὶ ἔπαρσις τῶν κατοικούντων Ἰερουσαλὴμ ἐπὶ τὸν Ἰούδαν»

Τότε δή, φησίν, οὕτως ἰσχυροὺς ἐργάσομαι τοὺς ἡγουμένους τῆς **388** Ἰούδα φυλῆς[3] κατὰ τῶν πολεμίων, ὥστε πάντας αὐτοὺς ταῖς πληγαῖς καὶ τῷ φόνῳ δίκην πυρὸς ἐπινέμεσθαι ξύλοις ἐπιπεπτωκότος ἢ καλάμῃ. Οὕτως πολὺν ἐντεῦθέν τε κἀκεῖθεν καὶ παν-

1. Πρβλ. Ζαχ. 12,4. **2.** Πρβλ. Ζαχ. 12,5. **3.** Πρβλ. Ζαχ. 12,6.

ταχόθεν ἐργάσονται φόνον τῶν ἐναντίων. Περιγενήσεται δὲ τῇ Ἰερουσαλὴμ τὸ ἐν εἰρήνῃ διάγειν λοιπὸν μηδεμίαν ὄχλησιν ὑπὸ τῶν ἐναντίων δεχομένῃ, ἅτε πάντας ἐμοῦ τοὺς τῆς Ἰούδα φυλῆς τούς τε προσήκοντας αὐτοῖς περισῴζοντος, καὶ ἐπὶ τὴν πρόσθεν ἐπανάγοντος εὐπραγίαν. Τότε δὴ τοῦ μὲν μεγάλα φρονεῖν ἐπὶ τοῖς ἑαυτῶν ἀγαθοῖς οἵ τε ἐκ τοῦ Δαβὶδ καὶ πάντες οἱ τὴν Ἰερουσαλὴμ οἰκοῦντες Ἰουδαῖοι[1] παύσονται, αἰσθήσονται δὲ ἐξ αὐτῶν τῶν πραγμάτων, ὅτι πρότερόν τε ἐν εὐπραγίαις ἦσαν ἐμοῦ βουλομένου, οὐθὲν ἐκ τῆς οἰκείας ἑαυτοῖς περιποιεῖν δυνάμεως οἷοί τε ὄντες, καὶ τῆς ἐμῆς ἀποβληθέντες κηδεμονίας διὰ τὴν ἑαυτῶν μοχθηρίαν ἠλέγχθησαν ἀσθενέστατοί τε ὄντες καὶ οὐδεμίαν ἑαυτοῖς βοήθειαν παρέχειν δυνάμενοι. Καὶ ὅπως τοῦτο γενήσεται λέγων.

12,8 «Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ὑπερασπιεῖ Κύριος ὑπὲρ τῶν κατοικούντων Ἰερουσαλήμ, καὶ ἔσται ὁ ἀσθενῶν ἐν αὐτοῖς ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ὡς Δαβίδ, ὁ δὲ οἶκος Δαβὶδ ὡς οἶκος Θεοῦ, ὡς ἄγγελος Κυρίου ἐνώπιον αὐτοῦ»

Αἰσθήσονται γὰρ τότε τῇ ἐμῇ βοηθείᾳ τοσοῦτον κατὰ τῶν ἐναντίων δυνάμενοι πάντες, ὡς τοὺς πρὸ βραχέος ἀσθενεῖς ἐν τοσαύτῃ γνωρίζεσθαι δυνάμει κατὰ τῶν πολεμίων, ἐν ὅσῃ περ ὤπται Δαβὶδ κατὰ τὸν οἰκεῖον καιρὸν τῇ ῥοπῇ τῇ θείᾳ. Ἔσται τε ζηλωτὸς ὁ οἶκος τοῦ Δαβὶδ[2] πάλιν καὶ θαυμαζόμενος ἀφ᾽ ὧν οἱ ἐκεῖθεν καὶ τῆς ἐκείνου φυλῆς τοῦ λαοῦ προεστῶτες τοσοῦτον ὤφθησαν ἰσχύοντες κατὰ τῶν ἀλλοτρίων, ὡς ἅπαντας καταφεύγειν ἐπ᾽ αὐτοὺς ὡς ἐπ᾽ οἶκον Θεοῦ, πολλὴν τοῖς καταφυγοῦσι παρέχοντα τὴν βοήθειαν, ἢ ὥσπερ ἐπί τινα ἄγγελον ἐπὶ πληγῇ πεμφθέντα τῶν ἐναντίων, ὅνπερ δὴ τρόπον ἤδη τῶν Ἀσσυρίων **[584]** ἐπεληλυθότων τῇ Ἰερουσαλὴμ ἐπὶ τὸν οἶκόν τε κατέφυγον ἅπαντες τοῦ Θεοῦ κἀκεῖθεν αὐτοῖς περιγέγονε τὸ τὸν ἄγγελον ἐπεληλυθότα τοσοῦτο πλῆθος ἀνελεῖν τῶν πολεμίων[3]. **389** Καὶ τίνα τρόπον ἔσται τοῦτο λέγων.

---

1. Πρβλ. Ζαχ. 12,7. **2.** Πρβλ. Ζαχ. 12,8. **3.** Πρβλ. Δ' Βασ. 19,33.

12,9-10 «Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ζητήσω ἐξᾶραι πάντα τὰ ἔθνη τὰ ἐρχόμενα ἐπὶ Ἰερουσαλήμ. Καὶ ἐκχεῶ ἐπὶ τὸν οἶκον Δαβὶδ καὶ ἐπὶ τοὺς οἰκοῦντας Ἰερουσαλὴμ πνεῦμα χάριτος καὶ οἰκτιρμοῦ»

Τότε γὰρ δὴ τοὺς μὲν κατὰ τῆς Ἰερουσαλὴμ ἐπικεχειρηκότας πάντας ἀφανιῶ, ἐπὶ δὲ τὸν οἶκον Δαβίδ — ἵνα εἴπῃ τοὺς ἐκεῖθεν ἡγουμένους τοῦ λαοῦ — ἅπαντάς τε τοὺς τῇ Ἰερουσαλὴμ[1] προσήκοντας πολλὴν τήν τε χάριν καὶ τὴν φιλανθρωπίαν ἐπιδείξομαι τὴν ἐμὴν πᾶν εἶδος αὐτοῖς παρέχων κηδεμονίας. Ἀφ' οὗ δή τι γενήσεται;

12,10 «Καὶ ἐπιβλέψονται πρός με εἰς ὃν ἐξεκέντησαν, καὶ κόψονται ἐπ' αὐτῷ κοπετὸν ὡς ἐπὶ ἀγαπητῷ καὶ ὀδυνηθήσονται ἐπ' αὐτῷ ὀδύνην ὡς ἐπὶ πρωτοτόκῳ»

Τότε δὴ οἱ τἀναντία τῶν ἐμοὶ δοκούντων ἑλόμενοι πρότερον καὶ τοσαύτῃ τόλμῃ χρησάμενοι κατ' ἐμοῦ τῆς ἀβουλίας καὶ τῆς παρανομίας αἰσθήσονται τῆς ἰδίας ὥστε καὶ μεταμελομένους αὐτοὺς μεγάλῳ χρῆσθαι κοπετῷ καὶ οἵῳπερ ἄν τις χρήσαιτο ὀδυνώμενος ἐπὶ τελευτῇ πρωτοτόκου[2]. Εἶτα λέγει μὲν ὅτι πολλοὶ τῶν τῆς Ἰερουσαλὴμ μεταμελόμενοι τοῦ κοπετοῦ μεθέξουσι τούτου, οἳ τἀναντία τῶν δεόντων αἱρούμενοι πρότερον τὴν ἐπὶ τὸ κρεῖττον μεταβολὴν τοῦ ἔθνους θεασάμενοι μεταμέλεσθαι ὡς εἰκὸς ἐπὶ ταῖς παρανομίαις ἤμελλον ταῖς ἰδίαις.

Λέγει δὲ καὶ καθεξῆς ἀπαριθμούμενος τὰς φυλάς, δηλῶν ὅτι ἑκάστη καθ' ἑαυτὴν χρήσεται τῷ πένθει, ἵνα συντόμως εἴπῃ, ὅτι πάντας τοὺς τὰ χείρονα ἑλομένους μεταμέλεια λήψεται. Ἐπειδὴ γὰρ πολλὴ μέν τις πρότερον ἡ ἐπὶ τὸ χεῖρον ἐγεγόνει ῥοπὴ τοῦ ἔθνους πολλὴ δὲ ὕστερον ἡ ἐκ τῆς τῶν Μακκαβαίων προστασίας ἐπὶ τὸ κρεῖττον μεταβολὴ τετυχηκότων τῆς θείας ῥοπῆς, ὡς ἀναιρεθῆναι μὲν τοὺς ἐναντίους ὑπ' αὐτῶν, ἀποκαταστῆναι δὲ τῇ πόλει καὶ τῷ τοῦ Θεοῦ ναῷ τὴν εὐκοσμίαν τούς νόμους τε πάλιν τοὺς θείους τήν τε τῆς ἱερωσύνης ἐπιμέλειαν τῆς προσηκούσης τυγχά-

1. Πρβλ. Ζαχ. 12,9. 2. Πρβλ. Ζαχ. 12,10.

νειν σπουδῆς, ἀναγκαίως ἄρα ἐκ τῆς μεταβολῆς μετεμέλοντο, ἐφ' οἷς πρόσθεν **390** εἰς τοσαύτας ἀσεβείας τε καὶ παρανομίας ἐξώκειλαν. Δηλώσας δὲ τὸν κοπετὸν καὶ τὴν μεταμέλειαν λέγει τὴν ἐπὶ τὸ κρεῖττον μεταβολήν, ἀφ' ἧς δὴ μάλιστα τὰ τῆς τοσαύτης μεταμελείας ἐνεγίνετο πᾶσιν.

13,1 «Ἐν ἐκείνῃ γάρ, φησίν, τῇ ἡμέρᾳ πᾶς τόπος ἔσται διανοιγόμενος τῷ οἴκῳ Δαβίδ»

Ἵνα εἴπῃ, ὅτι πάντες ἑτοίμως ὡς ἡγουμένους προσδέξονται μετὰ πάσης αὐτοῖς προθυμίας προστρέχοντες ὡς εὐσέβεσί τε καὶ ἰσχυροῖς τῇ θείᾳ ῥοπῇ κατὰ τῶν ἐναντίων φανεῖσιν[1]. Εἶτα δεικνὺς ὅπως καὶ τὰ τῆς θεοσεβείας ἐπὶ τὸ δέον διὰ τῆς τῶν Μακκαβαίων ἐπικρατείας μεταστήσεται, παρασκευαζόντων ἀφανίζεσθαι μὲν ἅπαντα τὰ χείρω κρατεῖν δὲ τὰ τῷ Θεῷ δοκοῦντα.

13,2 «Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, λέγει Κύριος Σαβαώθ, ἐξολοθρεύσω τὰ ὀνόματα τῶν εἰδώλων ἀπὸ τῆς γῆς, καὶ οὐκέτι ἔσται αὐτῶν μνεία· καὶ τοὺς ψευδοπροφήτας καὶ τὸ πνεῦμα τὸ ἀκάθαρτον ἐξαρῶ ἀπὸ τῆς γῆς»

Τότε γὰρ δὴ διὰ τῆς ἐκείνων ἐπιστασίας πᾶσα μὲν ἡ τῶν εἰδώλων ἀφαιρεθήσεται **[585]** θεραπεία, πᾶσα δὲ καταλυθήσεται τῶν ψευδοπροφητῶν ἡ ἀπάτη, οὐθενὸς ἔτι τολμῶντος οὐδὲν ἐπιτηδεύειν τοιοῦτο. Καὶ δεικνύς, ὁπόση τις ἡ ἐπικράτεια γενήσεται τοῦ καλοῦ, φησίν, ὅτι εἰ τολμήσειέ τις παρελθὼν κατὰ τὸν καιρὸν ἐκεῖνον προσποιήσασθαί τι τῶν ἐσομένων μηνύειν ἐκ πνεύματος ἐνεργούμενος ἀλλότριου, οὐδενὸς ἐπὶ τῷ τολμήματι τούτῳ καὶ τῷ παρανομήματι οὐδὲ παρὰ τῶν γεννησαμένων αὐτὸν συγγνώμης ἢ ἐλέου τεύξεται ἔτι αὐτοὶ γὰρ ἐκεῖνοι μόνον οὐχὶ συνδήσαντες αὐτὸν ὑπὲρ ὧν δὴ ψευδεῖ καὶ πεπλανημένῃ προφητείᾳ κεχρῆσθαι τολμᾷ, παραδώσουσι τιμωρίᾳ[2]. Οὕτως αἰσχύνῃ μὲν περιβληθήσονται πάντες οἱ τηνικαῦτα τοιούτοις ἐπιχειροῦντες, πρὸς μεταμέλειαν δὲ νεύσουσι καὶ πένθος ἐκ τῶν ἐπιγινομένων αὐτοῖς κακῶν. Τοῦτο γὰρ λέγει τό

1. Πρβλ. Ζαχ. 13,1. **2.** Πρβλ. Ζαχ. 13,2.

13,4 «Ἐνδύσονται δέῤῥιν τριχίνην»

Οἷόν ἐστι παρὰ τῷ μακαρίῳ Δαβὶδ τό· «διέῤῥηξας δὲ τὸν σάκ**391**κον μου καὶ περιέζωσάς με εὐφροσύνην»[1], ἵνα εἴπῃ, τὸ πένθος περιελὼν εὐφροσύνης με πεπλήρωκας. Οἱ δὴ τοιοῦτοι, φησίν, πρὸς μεταμέλειαν νεύσαντες καὶ πενθικὸν περιθέμενοι σχῆμα[2] ἀπαρνήσονται τὴν ἀπάτην τὴν οἰκείαν, λέγοντες, ὡς οὔτε ἴσασί τι οὔτε χρήσονται ἔτι τοιούτῳ, ἀσχοληθήσονται δὲ τοῦ λοιποῦ περὶ τὴν ἐργασίαν τῆς γῆς, ὅπερ οὖν καὶ ἐπιτηδεύειν εὐθὺς ἐκ πρώτης ἔμαθον ἡμέρας παρὰ τῶν γεννησαμένων αὐτούς. Κἂν εἴ τινες δὲ αὐτοὺς ἔτι νεαρὰς φέροντας τῶν τυπτησάντων αὐτοὺς τὰς πληγὰς ἐρωτῷεν, ὅθεν δὴ ταύτας ἐπιφέροιντο, ἀπαγγελοῦσι σαφῶς οὐθὲν ἀρνησάμενοι, ὅτι ἐπιχειροῦντες οἷς οὐ προσῆκον ἦν ἐπὶ τῆς οἰκίας τῆς ἑαυτῶν εἶεν δεδεγμένοι τὰς μάστιγας παρ' ἐκείνων, οἷς δὴ μάλιστα πάντων ἀγαπητοὶ τυγχάνειν ἐδόκουν ἅτε γονεῦσιν υἱοί, οἳ μηδεμίαν αὐτῶν φειδὼ πεποίηνται ἁμαρτανόντων, ἐπειδὴ τῆς εὐσέβειας τὴν ἐπιμέλειαν ἀνωτέραν τῆς φυσικῆς ἔθεντο συμπαθείας.

Ἀλλὰ γὰρ τὴν ἐπὶ τὸ κρεῖττον μεταβολὴν τῶν πραγμάτων εἰρηκὼς ὁ Προφήτης, ὅπως τε τῇ τῶν Μακκαβαίων προστασίᾳ καθῃρέθησαν μὲν οἱ ἐναντίοι, γέγονε δὲ ἐν εὐκοσμίᾳ τὸ ἔθνος πολλῇ, ὥστε πᾶσαν μὲν ἀσέβειαν ἐξ αὐτῶν καὶ παρανομίαν ἀνῃρῆσθαι κρατεῖν δὲ πάντα γε ὁπόσα τοῖς θείοις νόμοις ἀκόλουθα συνέβαινεν εἶναι, ὥσπερ ἐκ τῆς τοιαύτης ἀποκαλύψεως, ἣν ἐκ τῆς τοῦ Ἁγίου Πνεύματος ἐδέδεκτο ἐνεργείας, ἔθνους τε γεγονὼς καὶ κατιδὼν ἀκριβῶς τὰ ἐσόμενα, οἷά τε ἐξ οἵων γενήσεται τὰ Ἰουδαίων, καὶ οἵαν μὲν ἐκ τῆς τῶν Μακκαβαίων προστασίας διόρθωσιν δέξεται τὰ κατ' αὐτούς, ἐν ὅσῃ δὲ γέγονεν ἀκοσμίᾳ ἐκ τῆς ἐκείνων μοχθηρίας, οἳ παρὰ τῶν βασιλέων παρά τε τὸ πρέπον καὶ τὸ τοῖς νόμοις ἀκόλουθον τοῖς θείοις τήν τε ἱερωσύνην ἀναδεχόμενοι καὶ τὴν τοῦ λαοῦ προστασίαν συγχύσεως μεγίστης πεπληρώκασιν ἅπαντα, μεγίστην τινὰ τὴν ἀγανάκτησιν ἐπὶ τῇ μοχθηρίᾳ τῶν τοῦ τοσούτου κακοῦ γεγονότων αἰτίων δεξάμενος τοιάδε φησίν.

---

1. Ψαλ. 29,12. **2.** Πρβλ. Ζαχ. 13,4.

13,7 «Ῥομφαία, ἐξεγέρθητι ἐπὶ τὸν ποιμένα καὶ ἐπ' ἄνδρα πολίτην αὐτοῦ, λέγει Κύριος παντοκράτωρ»

392 Προστακτικῶς πάλιν κἀνταῦθα τὸ ἐσόμενον μηνύει καὶ ὥσπερ πρὸς αὐτὸ τὸ ξίφος τρέψας τὸν λόγον, κινήθητι δή, φησίν, ὦ μάχαιρα, κατά τε ἐκείνων τῶν οὕτω κακῶς τῇ προστασίᾳ χρησαμένων καὶ **[588]** κατὰ πάντων ὅσοι τῷ ἔθνει προσήκοντες συμπράττειν αὐτῶν ἔσπευδον τῇ μοχθηρίᾳ.

13,7 «Πάταξον τὸν ποιμένα καὶ διασκορπισθήτω τὰ πρόβατα»

Τῇ γὰρ πληγῇ τῇ οἰκείᾳ θάνατον μὲν ἐπήγαγε τοῖς οὕτω κακῶς τῇ προστασίᾳ τοῦ λαοῦ χρησαμένοις, ἅπαν δὲ τῶν συμπραττόντων αὐτοῖς τὸ σύστημα ἅμα τῇ ἐκείνων πληγῇ διασκέδασον τῇ τιμωρίᾳ. Ταῦτα προστακτικῶς εἰρηκὼς εἰς τὴν τῶν ἐσομένων μήνυσιν, ἐπάγει τὰ ἑξῆς, ἀκόλουθον ἐπαγαγὼν τοῖς μηνυομένοις τοῦ λόγου τὸ σχῆμα.

13,7 «Καὶ ἐπιστρέψω τὴν χεῖρά μου ἐπὶ τοὺς μικροὺς ποιμένας»

Καὶ γὰρ καὶ εἴ τινες ὑπὸ τοῖς ἡγουμένοις εἶεν συμπράττειν τε αὐτῶν τῇ μοχθηρᾷ προστασίᾳ βουλόμενοι, καὶ δὴ καὶ αὐτοὶ κατά τινα τάξιν τὴν δοκοῦσαν αὐτοῖς ἐμπεπιστεῦσθαι κατάρχειν ἐσπουδακότες τοῦ χείρονος, τιμωρήσομαι κἀκείνους. Μικροὺς γὰρ ποιμένας[1] τοὺς τοιούτους καλεῖ. Εἶτα δεικνὺς τὸ τῆς τιμωρίας δίκαιον.

13,8-9 «Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐν πάσῃ τῇ γῇ, λέγει Κύριος, τὰ δύο αὐτῆς μέρη ἐξολοθρευθήσεται καὶ ἐκλείψει, τὸ δὲ τρίτον ὑπολειφθήσεται ἐν αὐτῇ· καὶ διδάξω τὸ τρίτον διὰ πυρὸς καὶ πυρώσω αὐτούς, ὡς πυροῦται τὸ ἀργύριον, καὶ δοκιμῶ αὐτούς, ὡς δοκιμάζεται τὸ χρυσίον· αὐτὸς ἐπικαλέσεται τὸ ὄνομά μου, καὶ ἐγὼ ἐπακούσομαι αὐτῷ καὶ ἐρῶ· Λαός μου οὗτός ἐστιν, καὶ αὐτὸς ἐρεῖ Κύριος ὁ Θεός μου»

Ὅτι γάρ, φησίν, δικαίαν ὑπομενοῦσιν οἱ τοιοῦτοι τὴν τιμωρίαν αὐτὸ δηλοῖ τὸ πρᾶγμα, οἳ τοσαύτην ἐποίησαν ἐπὶ τὸ χεῖρον τοῦ

---

1. Πρβλ. Ζαχ. 13,7.

393 ἔθνους τὴν ἐκτροπήν, ὥστε τὰ δύο μέρη τοῦ λαοῦ ῥέψαντα πρὸς τὸ χεῖρον τιμωρίᾳ παραδοθῆναι. Τὰ δέ «δύο μέρη»[1] φησίν, ἵνα εἴπῃ τοὺς πλείστους· ἀλλὰ γὰρ καὶ οὕτως ὑπολειφθήσονται οὐκ ὀλίγοι τοῦ δέοντος ἐρασταί, εἰ καὶ ἐλάττους ἐκείνων οὗτοι — τοῦτο γὰρ λέγει τό «τρίτον»[2] —, οἳ ὥσπερ διὰ πυρός τινος τῷ μεγέθει τῶν ἐπαχθέντων αὐτοῖς κακῶν δοκιμασθέντες μείζονα τῆς ἀρετῆς τῆς οἰκείας παρέσχοντο τὴν ἀπόδειξιν, πλεῖστα μὲν ὅσα ὑπομεμενηκότες κακά, οὐδαμοῦ δὲ τῆς περὶ ἐμὲ ἐκστάντες εὐνοίας, οἳ καὶ πρὸς τὴν ἐμὴν βοήθειαν εἶδον καὶ τετυχήκασι ταύτης. Ἐγώ τε γὰρ αὐτοὺς οἰκείους ἐθέμην τὴν κηδεμονίαν ὑποσχόμενος τὴν ἐμήν, κἀκεῖνοι δὲ ἐν ἐμοὶ τὸ πᾶν ἔθεντο τῇ τε δεσποτείᾳ καὶ τῇ προστασίᾳ τὸ πᾶν πιστεύσαντες τῇ ἐμῇ. Καὶ δὴ πάλιν εἰπὼν τήν τε γεγενημένην ἐπικράτειαν τοῦ κακοῦ τῇ τῶν κακῶς προεστώτων μοχθηρίᾳ καὶ τὴν ἐντεῦθεν ἐπαχθεῖσαν αὐτοῖς τιμωρίαν, ἀντιπαρατίθησι τὴν κηδεμονίαν, ἣν τοῖς περὶ αὐτὸν μεμενηκόσι βεβαίως παρέσχετο.

14,1-2 «Ἰδοὺ ἡμέρα ἔρχεται Κυρίου καὶ διαμερισθήσεται τὰ σκῦλά σου ἐν σοί. Καὶ ἐπισυνάξω πάντα τὰ ἔθνη ἐπὶ Ἰερουσαλὴμ εἰς πόλεμον, καὶ ἁλώσεται ἡ πόλις, καὶ διαρπαγήσονται αἱ οἰκίαι, καὶ αἱ γυναῖκες μολυνθήσονται, καὶ ἐξελεύσεται τὸ ἥμισυ τῆς πόλεως ἐν αἰχμαλωσίᾳ, οἱ δὲ κατάλοιποι τοῦ λαοῦ μου οὐ μὴ ἐξολοθρευθῶσιν ἐκ τῆς πόλεως»

Παραγένηται γάρ, φησίν, καιρὸς ἐν ᾧ πλεῖστοι τῶν ἀλλοτρίων ἐπιστρατεύσαντες τῇ Ἰερουσαλὴμ ἅπασαν αὐτὴν σκυλεύσουσιν ἔνδον, καὶ ἡ μὲν ὑπὸ τῶν πολεμίων ληφθήσεται, διαρπαγήσεται δὲ πάντα τὰ ταῖς οἰκίαις ἐνόντα, τοσαύτῃ τε οἱ ἐπεισεληλυθότες τῇ πόλει[3] χρήσονται τῇ παροινίᾳ, ὡς μήτε **[589]** τῆς εἰς τὰ σώματα τῶν γυναικῶν[4] ὕβρεως ἀποσχέσθαι καὶ πλείστους ὅσους τῆς πόλεως αἰχμαλώτους λαβεῖν. Ἀλλὰ καὶ τούτων οὕτω γινομένων διὰ τὴν ἑτέρων κακίαν, οἱ τῆς ἐμῆς εὐνοίας ἀντεχόμενοι ἀβλαβεῖς ἐπὶ τῆς πόλεως τῇ κηδεμονίᾳ διεφυλάχθησαν τῇ ἐμῇ.

394 Εἶτα λοιπὸν ἐφεξῆς τὴν βοήθειαν λέγει τὴν θείαν ἀφ' ἧς ἅπαντα αὐτοῖς ἐπὶ τὸ κρεῖττον τῇ τῶν Μακκαβαίων προστασίᾳ

---

1. Ζαχ. 13,8. **2.** Ζαχ. 13,9. **3.** Πρβλ. Ζαχ. 14,1. **4.** Πρβλ. Ζαχ. 14,2.

μετέστη. Προηγήσεται μὲν γάρ, φησίν, τῶν οἰκείων ὁ Θεός, ὥσπερ ἐν παρατάξει πολέμου νόμῳ στρατηγῶν τε αὐτοῖς καὶ κατὰ τῶν ἐναντίων παραταττόμενος. Σταθεὶς δέ, φησίν, «ἐπὶ τὸ τῶν ἐλαιῶν ὄρος κατέναντι τῆς Ἰερουσαλήμ»[1] κλονήσει μὲν τὸ ὄρος, συγκινήσει δὲ ἅπαντα τὰ πρὸ τῆς πόλεως καὶ τὴν πόλιν αὐτήν, ὥστε δοκεῖν μὲν ποικίλως διατέμνεσθαι τὸ ὄρος τῷ φόβῳ τοῦ κινήματος, δοκεῖν δὲ τὰ τότε πράγματα ἐοικέναι τοῖς ἐπὶ τοῦ σεισμοῦ γεγονόσιν, ὃν ἐπὶ τῆς Ὀζίου βασιλείας κατὰ θείαν ὀργὴν ἀποτελεσθῆναι συνέβη. Λέγει μὲν οὖν ἅπαντα ὑπερβολικῶς, ὡς εἴωθεν, καὶ ὅτι τῷ μεγέθει τῆς βοηθείας, ἣν παρέχεται τοῖς οἰκείοις τῇ τε κατὰ τῶν ἐναντίων ἀγανακτήσει ὡσπερεὶ σαλεύειν ἅπαντα δόξει. ἐχρήσατο δὲ τῇ πρὸς τὸν Ὀζίαν ὁμοιότητι ἐπειδὴ κἀκεῖνος οὐθὲν τῇ ἱερωσύνῃ προσήκων ἐπεχείρησεν αὐτῆς ἐπιλαβέσθαι, ἐφ' ᾧ δὴ καὶ τῷ μεγέθει τοῦ σεισμοῦ[2] τὴν ἀγανάκτησιν τὴν οἰκείαν ὁ Θεὸς ἐπεδείξατο. Τὸν αὐτὸν δὴ τρόπον καὶ νῦν, φησίν, διὰ τοὺς ἀσεβεῖ γνώμῃ παρωσαμένους μὲν τὴν νομικὴν εὐταξίαν τῇ ἱερωσύνῃ δὲ παρὰ τὸ πρέπον ἐπικεχειρηκότας πολλὴν ἐπιδείξεται τὴν ἀγανάκτησιν ὁ Θεὸς τὴν οἰκείαν, συσσείων ἅπαντα ἐπὶ τιμωρίᾳ μὲν τῶν ἐναντίων, σωτηρίᾳ δὲ τῶν οἰκείων. Οἷς ἐπάγει·

14,5 «Καὶ ἥξει Κύριος ὁ Θεός μου καὶ πάντες οἱ ἅγιοι μετ' αὐτοῦ»

Ἀπ' αὐτοῦ γὰρ δή, φησίν, τοῦ μεγέθους τῶν πραγμάτων ὡσανεὶ πόρρωθεν πόθεν εἰς βοήθειαν ἡμῶν ἐληλυθὼς ὁ Θεὸς φανεῖται, ἄγων τὸ οἰκεῖον στρατόπεδον ἅπαν σὺν ἑαυτῷ. Λέγει δὲ τὰς ἀοράτους δυνάμεις. Ταύτας γὰρ καλεῖ ἁγίους[3], οἷς πρὸς ἅπαντα αὐτῷ τὰ δοκοῦντα ἐν τοῖς περὶ τοὺς ἀνθρώπους γιγνομένοις ὑπηρετεῖσθαι εἰώθασιν.

14,6 «Καὶ ἔσται ἐν ἐκείνῃ τῇ ἡμέρᾳ οὐκ ἔσται φῶς ἀλλὰ ψύχος καὶ πάγος ἔσται μιᾷ ἡμέρᾳ»

395 Οὐ φῶς ὄντως καὶ ψύχος καὶ πάγος[4] λέγει, ἀλλ' ὥσπερ εἴωθε λέγειν, ὅτι ὁ ἥλιος σκοτισθήσεται καὶ δύσεται αὐτοῖς ὁ

---

1. Ζαχ. 14,4. **2.** Πρβλ. Β' Παρλ. 26,16. **3.** Πρβλ. Ζαχ. 14,5. **4.** Πρβλ. Ζαχ. 14,6.

ἥλιος, καὶ ὅσα τοιαῦτα ὡς τῶν ἐν συμφοραῖς ὄντων οὐδεμίαν αἴσθησιν τοῦ φωτὸς λαμβανόντων ἀλλ' ὥσπερ ἐν σκότῳ τινὶ τότε εἶναι δοκούντων, οὕτω κἀνταῦθά φησιν. Δόξουσι μὲν γὰρ ὑπὸ τοῦ μεγέθους τῶν γινομένων οἱ ἄνθρωποι, φησίν, οὐδὲ φῶς ὁρᾶν, ὥσπερ δὲ ἐν ψύχει καὶ πάγῳ ταραττόμενοι ἐν τρόμῳ τε καὶ κλόνῳ μενοῦσι συνταράττοντες τοὺς ὀδόντας τῷ μεγέθει τῶν γενησομένων κακῶν ἐκ τῆς ἐπιφανείας τῆς θείας. Οἷόν ἐστι καὶ τὸ παρὰ τοῦ Κυρίου λεγόμενον «ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων»[1].

14,7 «Καὶ ἡ ἡμέρα ἐκείνη γνωστὴ τῷ Κυρίῳ»

Ἵνα εἴπῃ, ὅτι κατὰ γνώμην Θεοῦ γενήσεται τοιαῦτα, ἐπείπερ ἀρεστὸν αὐτῷ τὸ οὕτω ταῦτα τότε συμβῆναι. Οἷόν ἐστι τό «ἔγνω Κύριος τοὺς ὄντας αὐτοῦ»[2], ἀντὶ τοῦ ᾠκειώσατο αὐτοὺς καὶ ἀρεστοὺς ἐνόμισεν ἑαυτῷ. Οὕτω καὶ τὴν ἡμέραν λέγει γνωστὴν **[592]** τῷ Κυρίῳ ὡς ἀρεστὴν αὐτῷ, τῷ κατὰ γνώμην αὐτοῦ τὰ τοιαῦτα ἐν αὐτῇ γενέσθαι, ἐπὶ τιμωρίᾳ μὲν τῶν ἐναντίων σωτηρίᾳ δὲ τῶν οἰκείων. Ὅθεν ἐπάγει·

14,7 «Καὶ οὐχ ἡμέρα καὶ οὐ νύξ, καὶ πρὸς ἑσπέραν ἔσται φῶς»

Ἐπικρατούντων μὲν γὰρ τῶν κακῶν τοσοῦτο περιχυθήσεται σκότος ἅπασιν, ὡς μηδεμίαν εἶναι νυκτός τε καὶ ἡμέρας διαφοράν, οὕτω σκότος λήψεται τὰ πάντα. Ἀκολουθήσει δὲ τούτοις — τοῦτο γὰρ λέγει «πρὸς ἑσπέραν»[3] — φῶς, τουτέστιν ἡ ἀντίληψις ἡ θεία, ἐπειδὴ πάντα ἐκεῖνα διαπράττεται ἐπὶ τιμωρίᾳ τῶν ἐναντίων, ὡς ἂν τοὺς οἰκείους ἑαυτῷ περιποιήσειεν διὰ τούτων. Ἐπάγει γοῦν.

14,8 «Καὶ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐξελεύσεται ὕδωρ ζῶν ἐξ Ἰερουσαλήμ»

Ἵνα εἴπῃ, τότε καθαρὰ ἱερωσύνη ἐπὶ τῆς Ἰερουσαλὴμ[4] ἐπιτελεσθήσεται καὶ νόμιμος προστασία τε ἀρέσκουσα τῷ Θεῷ καὶ διδασκαλία **396** τοῖς νόμοις ἀκόλουθος τοῖς θείοις, ἥτις οὐ τοῖς κατ' ἐκεῖνον τὸν καιρὸν τοῦ ἔθνους ἐπιτηδεία μόνον ἔσται, ἀλλὰ καὶ

1. Ματθ. 8,12. **2.** Β' Τιμ. 2,19. **3.** Ζαχ. 14,7. **4.** Πρβλ. Ζαχ. 14,8.

τοῖς μετὰ ταῦτα. Θάλασσαν μὲν γὰρ πρώτην τοὺς τότε λέγει, ἐσχάτην δὲ τοὺς μετ' ἐκείνους. Οἷς προστέθειχεν, ὅτι

14,8 «Ἐν θέρει καὶ ἐν ἔαρι ἔσται οὕτως»

Ἵνα εἴπῃ, ὅτι κατὰ πάντα καιρὸν[1] διὰ τῆς θείας κηδεμονίας ἐπικρατήσει τὰ κρείττω. Οὕτω τε, φησίν, κατὰ πάσης τῆς γῆς ἔσται βασιλεὺς γνωριζόμενός τε καὶ ὁμολογούμενος μόνος εἶναι Θεὸς ὁ τοῦ παντὸς ποιητής τε καὶ Κύριος. Αὐτός τε γάρ, δι' ὧν ποιεῖ τὴν κηδεμονίαν καὶ τὴν ἐξουσίαν ἐπιδείκνυται τὴν οἰκείαν, καὶ δὴ καὶ πάντες οἱ κατὰ γῆν — ἵνα εἴπῃ τοὺς τοῦ ἔθνους — διαμένουσι λοιπὸν ἀπηλλαγμένοι μὲν πλάνης ἁπάσης τὴν ὀνομασίαν δὲ μόνην τὴν αὐτοῦ καλοῦντες ὡς Θεοῦ. Εἶτα καὶ περὶ τόπων λέγει διαφόρων, βουλόμενος διὰ πάντων εἰπεῖν, ὅτι κατὰ παντὸς μέρους προσήκοντος τῇ γῇ τῇ ἡμετέρᾳ διαμενεῖ Θεὸς γνωριζόμενός τε καὶ προσκυνούμενος, ἀπεληλαμένης πάσης πλάνης τε καὶ ἀσεβείας ἐξ ἡμῶν. Μετὰ ταύτης δέ, φησίν, τῆς γνώσεως καὶ οἰκήσουσι τὴν Ἰερουσαλὴμ λοιπὸν ἅπαντες βεβαίως οἱ τῷ ἔθνει προσήκοντες τῷ ἡμετέρῳ, καὶ οὐθεὶς ἔσται λοιπὸν ἐν τῷ ἔθνει ἀσεβείᾳ χαίρων οὐδὲ ἀπηλλοτριωμένος Θεοῦ. Τοῦτο γὰρ λέγει.

14,11 «Καὶ ἀνάθεμα οὐκ ἔσται ἔτι»

Ὡς γὰρ ὁ μακάριος λέγει Παῦλος· «εἴ τις οὐ φιλεῖ τὸν Κύριον Ἰησοῦν Χριστόν, ἤτω ἀνάθεμα»[2]. Οὐκ ἔσται οὖν, φησίν, οὐκέτι τοῦτο, ἐπεὶ μηδέ ἐστί τις λοιπὸν ἠλλοτριωμένος Θεοῦ, διαμενεῖ τε λοιπὸν οἰκουμένη ἡ Ἰερουσαλὴμ ὑπὸ πάντων μετὰ πολλῆς τῆς ἀσφαλείας, ἣν ὑπὸ τῆς θείας ἕξει κηδεμονίας διὰ τὴν τοῦ κρείττονος ἐπιμέλειαν.

Ἐν μὲν δὴ τούτοις συνεπέρανε τῶν Μακκαβαϊκῶν τὴν προφητείαν, καὶ τὰ κατ' ἐκεῖνον ἐσόμενα τὸν καιρὸν τά τε παρ' αὐτῶν πλημμελεῖσθαι μέλλοντα καὶ τὰ περὶ αὐτοὺς γενησόμενα παρὰ τῶν ἐναντίων, καὶ μὴν καὶ ὅσην τινὰ τὴν περὶ αὐτοὺς ἐπιδείξεται κηδεμονίαν ὁ Θεὸς τοῖς τοῦ καλοῦ προεστῶσι τὴν οἰκείαν παρέχων **397** ῥοπήν. Ἐντεῦθεν δὲ ἀναλαμβάνει τὰ πρὸ τῆς τῶν Μακκαβαϊκῶν μηνύσεως αὐτῷ ῥηθέντα, ἐν οἷς τὰ διὰ τοῦ Ζοροβαβὲλ

1. Πρβλ. Ζαχ. 14,8. **2.** Α' Κορ. 16,22.

προσεσόμενα τῷ ἔθνει καλὰ λέγων προσέθηκε τῶν περὶ τὸν Γὼγ τὴν ἀναίρεσιν· τούτων δὴ κἀνταῦθα πάλιν ἀναλαμβάνει τὴν μήνυσιν, ἅτε καὶ ἐγγύθεν ἐσομένων, ὡς ἂν τοῖς τε μετὰ πλεῖστον γίγνεσθαι μέλ[593]λουσι τὸν χρόνον, λέγω δὲ τοῖς Μακκαβαϊκοῖς, πίστις ᾖ τὰ πρόσφατον περὶ τὸν Γὼγ γινόμενα, καὶ τῷ Προφήτῃ δὲ ἐγγένηται τὴν οἰκείαν προφητείαν εἰς χρηστοτέραν μήνυσιν συμπερᾶναι. Λέγει τοίνυν.

14,12 «Καὶ αὕτη ἔσται ἡ πτῶσις, ἣν κόψει Κύριος πάντας τοὺς λαούς, ὅσοι ἐπεστράτευσαν ἐπὶ Ἱερουσαλήμ»

Τοῦ γὰρ ἔθνους, φησίν, ἐκείνου τοῦ μεγίστου τε καὶ ἀμαχωτάτου περιέσονται τῇ θείᾳ δυνάμει, ὡς ἑστώτων μὲν αὐτῶν ταχῆναι τὰς σάρκας[1] οὐδὲ προβαίνειν ἐπὶ τὸν πόλεμον ἐωμένων τῷ φθάνειν αὐτῶν τὴν ὁρμὴν τὸν Θεὸν διὰ τῆς ἐπαγομένης αὐτοῖς τιμωρίας. Ἀφαιρεθήσεται δὲ αὐτῶν καὶ ἡ τοῦ βλέπειν ἰσχὺς ἐκ τοῦ μεγέθους τῶν καταλαμβανόντων αὐτοὺς κακῶν, μενοῦσί τε ἄφωνοι διὰ τὴν τῶν συμβάντων ἀπορίαν. Καὶ συντόμως, φησίν, τοσαύτη τις αὐτοὺς ἀθρόα κατὰ θείαν ὀργὴν ἔκστασις λήψεται, ὥστε ἕκαστον ἐπὶ τὸν πλησίον τρέποντα τὴν οἰκείαν χεῖρα μηδὲ τοῦτο εἰδέναι ἀλλ' οἴεσθαι ἀλλοτρίων ἐφάπτεσθαι, ὡς κατά γε τὸ πλεῖστον ἔργον αὐτοὺς ἀλλήλων γενέσθαι, πλείονάς τε αὐτῶν ὑπὸ τῶν οἰκείων ἢ ὑπὸ τῶν Ἰουδαίων πληττομένους πεσεῖν. Ἀλλὰ γὰρ ἐν τοιούτοις κακοῖς ἐξεταζομένων ἐκείνων «παρατάξεται», φησίν, «καὶ Ἰούδας ἐν Ἱερουσαλήμ»[2], ἵνα εἴπῃ, ὅτι θάῤῥων ἐπὶ τὸν κατ' αὐτῶν ἐξελεύσεται πόλεμον ὑπὸ τῷ Ζοροβαβὲλ στρατηγούμενος, ὃς ἐκ τῆς τοῦ Ἰούδα φυλῆς βασιλεὺς αὐτῶν κατὰ θείαν ἀναδέδεικται κρίσιν. Οὕτω τε κρατήσουσι τῶν ἐναντίων, ὥστε πάντα αὐτοῖς τὰ προσόντα χρυσόν τε καὶ ἄργυρον καὶ ἐσθῆτα καὶ ὅ, τί ποτ' ἂν ἔχοιεν παρ' ἑαυτοῖς ἀγαθόν, ταῦτα δὴ πάντα ἀφελομένους τὸν οἰκεῖον αὐξῆσαι πλοῦτον. Τοῦτο γὰρ εἶπε,

14,14 «Καὶ συνάξει τὴν ἰσχὺν πάντων τῶν λαῶν κυκλόθεν»

398 Ἰσχὺν αὐτῶν εἰπὼν τὰ προσόντα, ἀφ' ὧν εἶχον τὸ δύνασθαι. Ὅθεν καὶ σαφηνίζων αὐτὸ ἐπήγαγεν·

1. Πρβλ. Ζαχ. 14,12. 2. Ζαχ. 14,14.

14,14 «Χρυσόν τε καὶ ἄργυρον καὶ ἱματισμὸν εἰς πλῆθος σφόδρα»

Τούτοις ἐπάγει, ὅτι πολλή τις ἀπώλεια καὶ ἵππων ἔσται καὶ ἡμιόνων καὶ καμήλων καὶ ὄνων καὶ πάντων τῶν προσόντων αὐτοῖς κτηνῶν, ὁπόσα περ ἐπιτήδειά πως ἑαυτοῖς εἰς τὸν πόλεμον νομίσαντες εἶναι συλλαβόντες ἦγον μεθ' ἑαυτῶν. Ὁ μὲν δὴ θάνατος αὐτῶν, φησίν, καὶ ἡ ἀπώλεια τοσαύτη τις ἔσται καὶ τοιαύτη. Ὁπόσοι δ' ἂν αὐτῶν περισωθεῖεν, ἐπιγνόντες τοῦ Θεοῦ τὴν δύναμιν ἐξ ὧν πεπόνθασιν, νόμον θήσονται παρ' ἑαυτοῖς, διηνεκῶς ἀνιόντες ἐπὶ τὴν Ἰερουσαλὴμ τὴν καθήκουσαν ἀποτιννύναι τῷ Θεῷ προσκύνησιν, ἐπιτελεῖν δὲ καί «τὴν ἑορτὴν τῆς σκηνοπηγίας»[1], ἐπειδὴ τοῖς πόῤῥωθεν παραγινομένοις ἐπιτήδειος ὁ καιρὸς θερινὸς ὑπάρχων. Καὶ πολλοῖς δὲ τῶν δι' ὑπεροψίαν οὐκ ἀποπληρούντων ταῦτα τιμωρίαν ἐπάξω, ἀβροχίᾳ καὶ τῇ ἐντεῦθεν ἀκαρπίᾳ καταδικάζων αὐτούς, ὡς ἂν αἴσθοιντο τῆς τοῦ πάντων Κυρίου ἀμελοῦντες. Κἂν οἱ τῆς Αἰγύπτου δέ, κἂν οἵτινες δή ποτε ταύτην ἀναδέξωνται τὴν γνώμην τὴν αὐτὴν δώσουσι τιμωρίαν. Βούλεται δὲ εἰπεῖν, ὅτι πολλοὶ τῶν ἀλλοτρίων ἐκπλαγέντες ἐπὶ τῷ μεγέθει τῶν γεγονότων πολλαχόθεν ἐπὶ τὴν Ἰερουσαλὴμ συρρεύσουσι τὴν καθήκουσαν τῷ Θεῷ προσκύνησιν ἀποδιδόντες, ὡς καὶ τιμωρίαν ἀπεκδέχεσθαι, εἰ μὴ τοῦτο ποιοῖεν. Τούτοις ἐπάγει.

14,20 «Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἔσται τὸ ἐπὶ τὸν χαλινὸν τοῦ ἵππου ἅγιον τῷ Κυρίῳ παντοκράτορι, καὶ ἔσονται οἱ λέβητες ἐν τῷ οἴκῳ Κυρίου ὡς φιάλαι πρὸ προσώπου τοῦ θυσιαστηρίου»

Βούλεται μὲν εἰπεῖν, ὅτι πολλὰ καὶ τῷ Θεῷ ἀνατεθήσεται παρὰ τῶν Ἰσραηλιτῶν ἀπὸ τῶν λαφύρων, ἃ παρὰ τῶν πολεμίων **[596]** λήψονται πολλά τε ὄντα καὶ ἀριθμὸν νικῶντα· οἷόν τι πεποίηκεν ὁ μακάριος Δαβίδ, μετὰ τὴν τοῦ Γολιὰθ[2] ἀναίρεσιν τὸ ξίφος ἀναθεὶς τῷ Θεῷ. Τὸ αὐτὸ δὲ λέγει κἀνταῦθα, ὅτι καὶ χαλινοὺς ἵππων, οὓς τῶν **399** ἀναιρεθέντων ἀφείλοντο προσοίσουσι τότε τῷ Θεῷ. Ἀπὸ γὰρ τοῦ χαλινοῦ[3] ὡς ἀπὸ μέρους ἠβουλήθη τὰ λοιπὰ

1. Ζαχ. 14,16,18,19. **2.** Πρβλ. Α' Βασ. 21,10. **3.** Πρβλ. Ζαχ. 14,20.

ὅπλα τε καὶ λάφυρα εἰπεῖν, ἅπερ οὖν ἀνατιθέναι ἤμελλον, ἑκάστου κατὰ τὴν οἰκείαν πρόθεσιν προσάγοντος τὸ δοκοῦν ἐκ τῶν λαφύρων. Ὅθεν ἐπάγει ὅτι προσαχθήσονται καὶ λέβητες πλεῖστοι, οὓς ἐπήγοντο οἱ πολέμιοι, ἐπιτηδείους ἑαυτοῖς εἶναι νομίζοντες εἰς τὴν ἕψησιν τῶν κρεῶν, οἳ διὰ τὸ πλῆθος φιαλῶν δίκην ἔσονται τοῦ οἴκου προκείμενοι τοῦ θείου, ἠβουλήθη δὲ ἀπὸ μὲν τοῦ χαλινοῦ τὰ ἀπὸ τῶν ὅπλων ἀνατιθέμενα εἰπεῖν, ἀπὸ δὲ τῶν λεβήτων τὰ ἀπὸ τῶν κτημάτων, ὡς εἴωθεν ἀπὸ μέρους τὰ πλεῖστα δηλοῦν ἡ θεία Γραφή, ὅταν περιττὴν ἡγῆται τὴν κατὰ μέρος ἀκριβολογίαν, ἐπεὶ κἀνταῦθα περιττὸν ἦν τὸ ἀριθμεῖν δόρατα καὶ ξίφη καὶ θώρακας λέβητάς τε καὶ τὰ ἐν ἀνθρώπων κείμενα χρήσει, οἷον εἰπεῖν πινάκια, ποτήρια ἢ καὶ εἴ τι τοιοῦτο, ἐκ δὲ τοῦ μέρους, ὡς εἶπόν τε ἤδη καὶ ἐπεσημηνάμην πολλάκις, ἐδήλωσε τὸ πᾶν εἰπεῖν. Δεικνὺς τῶν λεβήτων τῶν ἀνατιθεμένων τὴν χρείαν, ἐπάγει.

14,21 «Καὶ ἔσται πᾶς ὁ λέβης ἐν Ἰερουσαλὴμ καὶ ἐν τῷ Ἰούδᾳ ἅγιος τῷ Κυρίῳ παντοκράτορι· καὶ ἥξουσι πάντες οἱ θυσιάζοντες καὶ λήψονται ἐξ αὐτῶν καὶ ἑψήσουσιν ἐν αὐτοῖς»

Οἱ μὲν γὰρ προσκομισθέντες λέβητες, φησίν, ἅγιοι ἔσονται ἅτε ἀνακείμενοι τῷ Θεῷ, ἀφθονία δὲ ἐντεῦθεν ἔσται τοῖς προσάγουσι τὰς θυσιάσεις τῷ ἔχειν ὅποι προσῆκεν ἑψήσαντας τὰ τῶν θυσιῶν πληρῶσαι τὸ πρέπον· ἣ γὰρ οὐχ οὕτως ἐν τῇ πρώτῃ τῶν Βασιλειῶν ἡ θεία λέγει Γραφή, διηγουμένη τῶν υἱῶν Ἠλὶ τὴν παρανομίαν, ὅτι «ἤρχετο τὸ παιδάριον τοῦ ἱερέως, ὡς ἂν ἡψήθη τὸ κρέας, καὶ κρεάγρα τριόδους ἐν τῇ χειρὶ αὐτοῦ καὶ καθιεῖ αὐτὴν εἰς τὸν λέβητα ἢ εἰς τὴν χύτραν ἢ εἰς τὸ χαλκίον· καὶ πᾶν ὃ ἀνέβαινεν ἐν τῇ κρεάγρᾳ ἐλάμβανεν ἑαυτῷ ὁ ἱερεύς;»[1], τοῦτο οὖν εἰπεῖν ἠβουλήθη, ὅτι ἀφθονία λοιπὸν τοῖς ἐπὶ τῇ θεραπείᾳ τοῦ Θεοῦ συνιοῦσιν εἰς τὴν **400** Ἰερουσαλὴμ ἔσται λεβήτων[2], ἐν οἷς προσῆκεν αὐτοὺς τὴν ἐπὶ ταῖς θυσίαις χρείαν ἑαυτῶν ἐκπληροῦν. Τούτοις ἐπάγει.

---

1. Α΄ Βασ. 2,13,14. 2. Πρβλ. Ζαχ. 14,21.

14,21 «Καὶ οὐκ ἔστι Χαναναῖος ἔτι ἐν τῷ οἴκῳ Κυρίου παντοκράτορος ἐν τῇ ἡμέρᾳ ἐκείνῃ»

Ἐπειδὴ διαβεβλημένοι Χαναναῖοι τὸν τρόπον ἦσαν ἐπί τε ἀσεβείᾳ ἐπί τε ἠθῶν μοχθηρίᾳ, τοῦτο βούλεται εἰπεῖν, ὅτι παύσονται πάντες λοιπὸν οἱ τοῦ Ἰσραὴλ τοῦ πρὸς ἀσέβειαν ἤ τινα μοχθηρίαν νεύειν ἠθῶν, ἐξ αὐτῶν δεδιδαγμένοι τῶν πραγμάτων, ἡλίκον ἀγαθὸν εὐσεβείας τε καὶ ἀρετῆς ἐπιμέλεια. Οὕτω καὶ ὁ μακάριος Ὡσῆε λέγει, «Χαναὰν ἐν τῇ χειρὶ αὐτοῦ ζυγὸς ἀδικίας, καταδυναστεύειν ἠγάπησεν. Καὶ εἶπεν Ἐφράιμ Πλὴν πεπλούτηκα, εὕρηκα ἀναψυχὴν ἐμαυτῷ»[1], τῇ τῶν Χαναναίων προσηγορίᾳ τοὺς Ἰσραηλίτας τὸ μὴ δέον διαπραττομένους καλέσας, ὡς ἂν τὸν ἐκείνων τρόπον μεμιμημένους.

1. Ὠσ. 12,7,8.

ΕΡΜΗΝΕΙΑ ΜΑΛΑΧΙΟΥ ΤΟΥ ΠΡΟΦΗΤΟΥ

401 [597] Τῶν μακαρίων προφητῶν Ἀγγαίου τε καὶ Ζαχαρίου μετὰ τὴν ἀπὸ Βαβυλῶνος ἐπάνοδον τοῦ λαοῦ κατὰ θείαν προφητευσάντων ἐνέργειαν, Ἀγγαῖος μὲν ὁ μακάριος περί τε τῆς τοῦ ναοῦ οἰκοδομῆς διείλεκται τῷ λαῷ καὶ δὴ καὶ τῶν περὶ τὸν Γὼγ μηνύει τὴν ἀπώλειαν, ὁ δὲ μακάριος Ζαχαρίας ταῦτά τε λέγει προστιθεὶς καὶ τὰ κατὰ τοὺς Μακκαβαίους μετὰ πολὺν γεγονότα τὸν χρόνον καὶ δὴ καὶ ἀποκαλύψεις πολλὰς καὶ διαφόρους ἐκτίθεται, δι' ὧν τό τε ποικίλον τῆς περὶ αὐτοὺς εὐεργεσίας ἐδήλωσε τοῦ Θεοῦ, καὶ διδασκαλίαν παρέσχετο θεοσεβείᾳ τε καὶ ἐπιμελείᾳ βίου προσάγειν αὐτοὺς δυναμένην αὐτάρκως. Ἐπειδὴ δὲ τῆς θείας προνοίας ἀξιωθέντες Ἰουδαῖοι καὶ τῆς ἀπὸ Βαβυλῶνος ἐπανόδου πλείστων τε ὅσων τετυχηκότες ἀγαθῶν καὶ δὴ καὶ ἐν εὐπραγίᾳ καταστάντες πολλῇ πλημμελοῦντος παντός, ὡς καὶ τὰς κατὰ νόμον ὡρισμένας θυσίας μὴ μετὰ τοῦ προσήκοντος ἐκτελεῖν, ἀναγκαίως ὁ παρὼν οὑτοσὶ Προφήτης κατὰ θείαν ἐνέργειαν ἐπὶ τοῦτο προβληθεὶς ἐλέγχει μὲν τῶν τε ἱερέων καὶ τοῦ λαοῦ τὰς πλημμελείας, ἅς αἵτινές εἰσιν ἐξ αὐτῶν τῶν γεγραμμένων ἄμεινον μάθοι τις ἄν, μηνύει δὲ καί τινα τῶν ἐσομένων. Ὄνομα δὲ τῷ Προφήτῃ κατὰ μὲν τὴν Ἑλλήνων γλῶτταν Ἄγγελος[1], κατὰ δὲ τὴν Ἑβραίων Μαλαχίας, ἐπειδὴ τὸν Ἄγγελον οὕτω καλεῖν Ἑβραίοις ἔθος, ὅθεν καὶ μεταβολῇ τῇ εἰς τὴν Ἑλλήνων γλῶτταν Ἄγγελος κέκληται ἀντὶ Μαλαχίου. Λέγει δὲ οὕτως.

1,1 «Λῆμμα λόγου Κυρίου ἐπὶ τὸν Ἰσραὴλ ἐν χειρὶ ἀγγέλου αὐτοῦ»

Ἵνα εἴπῃ, ὅτι κατὰ θείαν ἐνέργειαν ἐνεπιστεύθη τὸ τῆς προφητείας ἔργον ὁ Ἄγγελος εἰς ἔλεγχον τοῦ Ἰσραήλ, ἐπειδὴ κοινῇ ταύτῃ προσηγορίᾳ τούς τε ἱερέας καὶ τὸν λαὸν σημαίνειν ἤμελλεν. Ἰσραηλῖται γὰρ ἅπαντες ἐλέγοντο κοινῶς. Εἶτα μετὰ τὴν εἰωθυῖαν **402** ταύτην προγραφὴν τῶν προφητικῶν βιβλίων ἄρχεται τῶν οἰκείων λόγων ὁ Προφήτης οὕτως.

---

1. Πρβλ. Μαλ. 1,1.

1,1 «Θέσθε δὴ ἐπὶ τὰς καρδίας ὑμῶν»

Κάλλιστα ὡς ἂν παραλελοιπόσιν ἄχρι τοῦ δεῦρο, ἃ ποιεῖν αὐτοὺς προσῆκον ἦν, κελεύει νῦν γοῦν τὸ δέον εὐλογίσασθαι καὶ συνιδεῖν μὲν ἅπερ ἔπραττον, δοκιμάσαι δὲ ὁπόσον ἐξέβαινον τοῦ προσήκοντος, ὡς ἄν τινα καὶ διόρθωσιν ταῖς ἑαυτῶν προσαγάγοιεν πλημμελείαις. Εἶτα μετὰ τὴν προτροπὴν καὶ τὴν παραίνεσιν, καθ' ἣν ἐπιμελεστέρους αὐτοὺς περὶ τὸ δέον εἰργάζετο, ἐπάγει.

1,2 «Ἠγάπησα ὑμᾶς, λέγει ὁ Κύριος»

Καλῶς γὰρ τοῖς ἀγνώμοσι πρὸ πάντων τὴν ἀγάπην λέγει τὴν οἰκείαν ὡσανεὶ πρὸς ταύτην κρίνοιντο μάλιστα ἐλεγχομένοις ἐπὶ τῇ φαυ**[600]**λότητι τῶν τρόπων τῶν οἰκείων.

1,2 «Καὶ εἴπατε Ἐν τίνι ἠγάπησας ἡμᾶς;»

Οὐ φωνὴν λέγει, ἐπεὶ μηδὲ οἷόν τε ἦν αὐτοὺς ἀποκρινομένους εἰπεῖν τῷ Θεῷ, «ἐν τίνι ἠγάπησας ἡμᾶς»[1], δήλου παρὰ πᾶσι τυγχάνοντος, ὁπόσων αὐτοῖς ἀγαθῶν αἴτιος ἐγεγόνει, εἴτε ἐκ τῶν πρόσθεν ὑπαρξάντων εἴτε καὶ τῶν ὕστερον πολλάκις καὶ δὴ καὶ τῶν πρόσφατον γεγονότων. Ἀλλὰ γὰρ ἔθος τῇ θείᾳ Γραφῇ τὴν φωνὴν ἐπὶ πράγματος λέγειν καὶ τὴν τῶν τι ποιούντων διάθεσιν φωνῇ σημαίνειν. Οἷον τό, «εἶπον Τίς ὄψεται αὐτούς»[2], ἀντὶ τοῦ διέκειντο ὡς οὐδενὸς ἐφορῶντος τὰ γινόμενα· οὐ γὰρ δὴ ἔλεγον οὕτως· καί, «εἶπε γὰρ ἐν καρδίᾳ αὐτοῦ Οὐ μὴ σαλευθῶ, ἀπὸ γενεᾶς εἰς γενεὰν ἄνευ κακοῦ»[3]. Διέκειντο γάρ, φησίν, ὡς οὐθὲν ὑπομενοῦντες πώποτε κακόν· καὶ πολλὰ τοιαῦτα εἴποι τις ἄν, ἃ μὴ τοῦ παρόντος ἐστὶ συλλέγειν καιροῦ. Οὕτως οὖν κἀνταῦθα λέγει τό, «καὶ εἴπατε Ἐν τίνι ἠγάπησας ἡμᾶς;»[4], ἀντὶ τοῦ ἀγαπηθέντες παρ' ἐμοῦ καὶ εὖ πεπονθότες πολλάκις μοχθηρᾷ καὶ ἀγνώμονι κεχρημένοι τῇ διανοίᾳ διέκεισθε ὡς ἂν οὔτε ἠγαπημένοι παρ' ἐμοῦ οὔτε τινὸς τετυχηκότες πώποτε ἀγαθοῦ. Εἶτα λέγει τὰ πράγματα, ἀφ' ὧν ἐξῆν αὐτοὺς συνορᾶν, ἡλίκων ἔτυχον παρὰ τοὺς ἄλλους ἀγαθῶν.

---

1. Μαλ. 1,2. **2.** Ψαλ. 63,6. **3.** Ψαλ. 9,27. **4.** Μαλ. 1,2.

1,2-5 «Οὐχ ἀδελφὸς ἦν Ἠσαῦ τοῦ Ἰακώβ; λέγει Κύριος· καὶ ἠγάπησα τὸν Ἰακώβ, τὸν δὲ Ἠσαῦ ἐμίσησα καὶ ἔταξα τὰ ὅρια αὐτοῦ εἰς ἀφανισμὸν καὶ τὴν κληρονομίαν αὐτοῦ εἰς δόματα ἐρήμου. Διότι ἐὰν εἴπῃ ἡ Ἰδουμαία Κατέστραπται, καὶ ἐπιστρέψωμεν καὶ ἀνοικοδομήσωμεν τὰς ἠρημωμένας αὐτῆς· τάδε λέγει Κύριος Παντοκράτωρ, Αὐτοὶ οἰκοδομήσουσιν, καὶ ἐγὼ καταστρέψω· καὶ ἐπικληθήσεται αὐτοῖς ὅρια ἀνομίας καὶ λαὸς ἐφ' ὃν παρατέτακται Κύριος ἕως αἰῶνος. Καὶ οἱ ὀφθαλμοὶ ὑμῶν ὄψονται καὶ ὑμεῖς ἐρεῖτε Ἐμεγαλύνθη Κύριος ὑπεράνω τῶν ὁρίων Ἰσραήλ»

403 Πρόσφατον ἦσαν Ἰδουμαῖοι τετιμωρημένοι καὶ πλείστων ὅσων ἐν πείρᾳ γεγονότες κακῶν, ὑπὲρ ὧν διατεθείκεσαν τοὺς Ἰσραηλίτας κατὰ τὸν καιρὸν ἐκεῖνον, καθ' ὃν Ἀσσύριοί τε αὐτοῖς πρότερον καὶ Βαβυλώνιοι μετὰ τοῦτο ἐπῆλθον. Ταῦτα δὲ προείρητο μὲν τῷ μακαρίῳ Δαβὶδ ἐν Ψαλμοῖς· λέγει γάρ· «μνήσθητι, Κύριε, τῶν υἱῶν Ἐδὼμ τὴν ἡμέραν Ἰερουσαλὴμ τῶν λεγόντων Ἐκκενοῦτε, ἐκκενοῦτε, ἕως τῶν θεμελίων αὐτῆς. Θυγάτηρ Βαβυλῶνος ἡ ταλαίπωρος»[1]· ἐν οἷς ἔδειξεν ὅτι καὶ Βαβυλώνιοι δώσουσι δίκας, ὑπὲρ ὧν αὐτοὺς διατεθείκασι κακῶν, καὶ Ἰδουμαῖοι δὲ τιμωρηθήσονται συμπράξαντες αὐτοῖς ἐν τοῖς κατὰ τῶν Ἰσραηλιτῶν κακοῖς. Προεῖπε δὲ καὶ ὁ μακάριος Ἀβδιοὺ ὁ προφήτης μετὰ τοῦτο, ἀλλ' ἐπειδὴ νῦν εἰλήφει τὴν ἔκβασιν ἐκεῖνα καὶ νεαρὰ παρὰ πᾶσιν ἦν ἡ μνήμη τῆς ἐπιγενομένης κατὰ τῶν Ἰδουμαίων παρὰ τοῦ Θεοῦ τιμωρίας[2], εἰκότως ἐκ παραθέσεως τῆς πρὸς ἐκείνου ἐνδείκνυται τὴν ἀγάπην ἑαυτοῦ, τὴν περὶ τούτους ἀπὸ τῶν προπατόρων τούτων τε καὶ τῶν Ἰδουμαίων τὴν ἀρχὴν ποιησάμενος· ἦν γὰρ τούτων μὲν Ἰακώβ, Ἠσαῦ δὲ ἐκείνων. Λέγει τοίνυν, ὅτι ἀδελφοὶ μὲν ἦσαν ἀμφότεροι, τοῦ νόμου δὲ τῆς φύσεως κοινὰ πάντα αὐτοῖς ποιοῦντος, ἠγάπησα μὲν **[601]** τὸν ὑμέτερον προπάτορα ἐμίσησα δὲ τὸν **404** ἐκείνων τὸν Ἠσαῦ[3], καὶ δὴ διαμεμένηκα μὲν ἄχρι τοῦ δεῦρο τῆς τε περὶ ὑμᾶς ἀγάπης καὶ τοῦ περὶ ἐκείνων μίσους τὴν ἀπόδειξιν παρεχόμενος. Πᾶσαν μὲν γὰρ αὐτῶν τὴν χώραν ἠφάνισα δι' ὑμᾶς, δίκας αὐτοὺς εἰσπραττόμενος ὧν καθ' ὑμῶν τετολμήκασιν, πᾶσαν δὲ αὐτῶν τὴν κτῆσιν μετέστησα εἰς

---

1. Ψαλ. 136,7-8. **2.** Πρβλ. Μαλ. 1,4. **3.** Πρβλ. Μαλ. 1,2-3.

ἐρημίαν[1], ἣν τοσαύτην αὐτοῖς ἐπήγαγον καὶ οὕτω χαλεπήν, ὥστε κἂν εἰ μεταβαλόμενοί ποτε βουληθεῖεν διορθώσασθαι τὰ οἰκεῖα καὶ ἀνοικοδομῆσαι τὰς ἠρημωμένας αὐτῶν πόλεις τε καὶ χώρας, μηθὲν δύνασθαι τοῦτο ποιεῖν. Ἀπεφηνάμην γὰρ κατ' αὐτῶν ἐρημίαν, καὶ οὐδαμῶς οἷόν τε συστῆναι τὰ ἐκείνων πάλιν, ἐπειδὴ κἂν ἐπιχειρήσωσιν οἰκοδομῆσαι, καταστρέψω πάλιν, ὥστε ἐκείνοις μὲν ὄνομα ἐπικεκλῆσθαι ἀνομίας ὅριον, ἅτε ὑπὸ παρανομίας ἠρημωμένοις[2]· περὶ ὑμᾶς δὲ οὕτως ἐδοκίμασα πᾶν ὅ, τι καλὸν διαπράξασθαι, ὥστε αὐτοὺς ὑμᾶς θεατὰς γεγονότας τῶν δωρουμένων ὑμῖν ἀγαθῶν ἐπιγνῶναι τοῦ Θεοῦ τὴν δύναμιν τοσούτοις φαιδρύναντας ἀγαθοῖς τὰ ὑμέτερα. Εἶτα ἐπιτείνων τὸ ἔγκλημα.

1,6 «Υἱὸς δοξάζει πατέρα καὶ δοῦλος τὸν Κύριον αὐτοῦ φοβηθήσεται. Καὶ εἰ Πατήρ εἰμι ἐγώ, ποῦ ἐστιν ἡ δόξα μου; καὶ εἰ Κύριός εἰμι ἐγώ, ποῦ ἐστιν ὁ φόβος μου; λέγει Κύριος παντοκράτωρ»

Υἱῶν μὲν οὖν ἴδιον, φησίν, τοιαῦτα διαπράττεσθαι, ἀφ' ὧν κόσμος τις καὶ σεμνολογία περιέσται τοῖς πάτρασιν, δούλων δὲ τὸ μετὰ πολλοῦ τοῦ δέους ὑπηρετεῖσθαι τοῖς δεσποτικοῖς ἐπιτάγμασιν. Ἐγὼ δέ, φησίν, εἰμὶ μὲν ὑμῶν Κύριος, ἅτε ἐκ τοῦ μὴ ὄντος ὑμᾶς εἰς τὸ εἶναι παραγαγών, δι' ὑπερβάλλουσαν δὲ φιλανθρωπίαν τε καὶ χρηστότητα ᾠκειωσάμην τε ὑμᾶς καὶ ἐδεξάμην υἱοὺς ἐμοὺς καλεῖσθαι, μεταδέδωκά τε ὑμῖν παῤῥησίας τοῦ πατέρα ὑμῶν ὀνομάζειν ἐμέ[3], ὁρῶ δὲ πρὸς οὐδ' ἕτερον ὑμᾶς εὐγνωμονοῦντας, οὔτε γὰρ ὡς πατέρα τῇ καλοκαγαθίᾳ τῶν ἐπιτηδευμάτων τῶν οἰκείων σεμνύνειν ἐσπουδάκατε, οὔτε ὡς Δεσπότην δεδοικότες τῶν ἐπιταγμάτων **405** φροντίζετε τῶν ἐμῶν. Οὕτω δὴ κοινὸν κατὰ πάντων τὸν ἔλεγχον ποιησάμενος, διορίζει καὶ τὰ πρόσωπα καὶ τὰ πράγματα, καὶ δὴ διαλεγόμενος πρὸς τοὺς ἱερέας οὕτω φησίν.

1,6 «Ὑμεῖς, οἱ ἱερεῖς οἱ φαυλίζοντες τὸ ὄνομά μου»

Ὑμεῖς, φησίν, οἱ τὴν λειτουργίαν ἐμπεπιστευμένοι τὴν θείαν καὶ ὁδηγοὶ τοῖς λοιποῖς ὀφείλοντες εἶναι τῶν κρειττόνων τοιαῦτα

---

1. Πρβλ. Μαλ. 1,3. **2.** Πρβλ. Μαλ. 1,4. **3.** Πρβλ. Β' Βασ. 7,14. Ψαλ. 81,6. 88,27. Ρωμ. 9,26.



διαπράττεσθε, ἀφ' ὧν οὐδενὸς ἄξιον ὄντα με λόγου δείκνυτε τοῖς παρ' ὑμῶν πραττόμενα ὁρῶσιν.

1,6 «Καὶ εἴπατε Ἐν τίνι ἐφαυλίσαμεν τὸ ὄνομά σου;»

Ὁμοίως κἀνταῦθα λέγων τό «εἴπατε»[1], ἵνα εἴπῃ, ὅτι ἐκ πολλῆς τῆς ἀπροσεξίας οὐδὲ αἴσθησιν ἔχετε ἐπὶ τῷ τοσούτῳ πλημμελήματι, ἀλλὰ διέκεισθε ὡς οὐδὲν ἄτοπον διαπραττόμενοι, καίτοι γε τοσοῦτον ἐργαζόμενοι κακόν. Εἶτα λέγει καὶ τὸ γινόμενον.

1,7 «Προσάγοντες πρὸς τὸ θυσιαστήριον ἄρτους ἠλισγημένους»

Οὐ γὰρ κατὰ τὴν τοῦ νόμου διδασκαλίαν οὐδὲ κατὰ τὰς Μωσαϊκὰς διατάξεις σὺν ἐπιμελείᾳ ποιεῖσθε τῶν ἄρτων τὴν πρόθεσιν[2], ἀλλὰ κοινοὺς καὶ ὡς ἔτυχε γεγονότας παρὰ τὸ διατεταγμένον λαβόντες αὐτοὺς ἐπιτίθετε τῇ τραπέζῃ. Λέγει δέ «ἠλισγημένους»[3] τοὺς ζυμωτούς, ὃ προδήλως ἐναντίον ἦν τῷ νόμῳ, ἀζύμους ἐπὶ τοῦ θυσιαστηρίου κελεύοντι προσάγεσθαι τοὺς ἄρτους, ζυμωτὸν δὲ μηδ' ὅλως[4].

«Πᾶ**[604]**σαν γὰρ θυσίαν», φησίν, «ἣν ἂν προσφέρητε Κυρίῳ οὐ ποιήσετε ζυμωτόν»[5]· οὗπερ οὕτω σαφῶς διατεταγμένου ἐναντίον ἦν τῷ ζημωτοὺς προσφέρειν τοὺς ἄρτους, ὑπὲρ οὗ δὴ καὶ αἰτιᾶται δικαίως αὐτοὺς ὡς τἀναντία τῷ νόμῳ διαπραττομένους προδήλως.

1,7 «Καὶ εἴπατε Ἐν τίνι ἠλισγήσαμεν αὐτούς;»

Καὶ τοῦτο, φησίν, ποιοῦντες οὐδὲ συλλογίζεσθαι βούλεσθε τοῦ γινομένου τὴν ἀτοπίαν. Τὸ γάρ «εἴπατε»[6] κἀνταῦθα πάλιν τὴν διάθεσιν λέγει, ἵνα εἴπῃ, ὅτι ὡς οὐθὲν διαπραττόμενοι διάκεισθε, ἀναισθησίᾳ καὶ ἀπροσεξίᾳ τὴν τοσαύτην ἐργαζόμενοι πλημμέλειαν.

1,7 «Ἐν τῷ λέγειν ὑμᾶς Τράπεζα Κυρίου ἐξουδενωμένη ἐστί καὶ τὰ ἐπιτιθέμενα ἐξουδενώσατε»

406 Πάλιν κἀνταῦθα τό «ἐν τῷ λέγειν»[7] οὕτω φησὶν ὡς ἀντὶ

---

1. Μαλ. 1,6. **2.** Πρβλ. Ἐξ. 40,4. **3.** Μαλ. 1,7. **4.** Πρβλ. Ἐξ. 29,2. Λευϊτ. 2,4. Ἀριθ. 6,19. **5.** Λευϊτ. 2,11. **6.** Μαλ. 1,7. **7.** Ἔνθ' ἀν.

πράγματος τὴν διάθεσιν δηλῶν. Βούλεται γὰρ εἰπεῖν, ὅτι τὸ ταῦτα ποιεῖν ὑμᾶς οὐχ ἕτερόν τι κατὰ διάνοιαν ἔχοντας δείκνυσιν, οὐδ' ἑτέρως πως διακειμένους, ἀλλ' ἢ ὡς οὔτε τῆς τραπέζης τῆς ἐμῆς τυγχάνειν τινὸς ὀφειλούσης σπουδῆς, ἀναγκαίως τε καὶ τῶν ἐπιτιθεμένων οὐδενὸς ὀφειλόντων ἀξίων εἶναι λόγου. Τοῦτο γὰρ δηλοῖ τὸ ῥᾳθύμως ὑμᾶς ποιεῖσθαι τῶν ἄρτων τὴν πρόθεσιν, οὐ φροντίζοντας ὅπως ἂν κατὰ τὴν νομικὴν ἐπιτελεσθείη διάταξιν. Καὶ πρῶτον μὲν εἶπε τὸ τῶν ἄρτων, ὡς ἂν πρῶτον ἁμάρτημα, ἐπειδήπερ ἐκείνους μάλιστα τοὺς ἐπὶ τῆς τραπέζης προτιθεμένους ἄρτους ἐπιμελείας τυγχάνειν ἐχρῆν, ὡς τρόπον τινὰ ὑπὲρ παντὸς τοῦ λαοῦ προσαγομένους, ἐπειδήπερ ἐκέλευσεν αὐτοὺς ὁ Θεὸς καὶ ἓξ εἶναι τὸν ἀριθμόν[1], δύο φυλῶν ἐν ἑκάστῳ γνωριζομένων, ὡς ἂν ἐν τοῖς ἓξ αἱ δώδεκα καταλογίζοιντο φυλαί, ὑπὲρ ὧν δὴ τὴν πρόθεσιν ἐκέλευσε γίγνεσθαι τῶν ἄρτων. Ἑξῆς δὲ ἐπάγει καὶ ἑτέραν αὐτῶν πλημμέλειαν.

1,8 «Διότι ἐὰν προσαγάγητε τυφλὸν εἰς θυσίαν, οὐ κακόν· καὶ ἐὰν προσαγάγητε χωλὸν ἢ ἄῤῥωστον, οὐ κακόν»

Ἐν δὲ τῷ τοιαῦτα, φησίν, προσφέρειν τῷ Θεῷ θυσίας ἕνεκεν οὐχ ἁμαρτάνειν οἴεσθε· καὶ δεικνὺς τοῦ γινομένου τὴν ἀτοπίαν.

1,8 «Προσαγάγετε δὴ αὐτὸ τῷ ἡγουμένῳ σου, εἰ προσδέξεται, εἰ λήψεται πρόσωπόν σου, λέγει Κύριος παντοκράτωρ»

Ἀλλὰ γὰρ εἰ μὴ κατὰ σαυτὸν συνορᾷς τοῦ γινομένου τὸ ἄτοπον, πειράθητι αὐτὸ προσαγαγεῖν τῷ τὴν ἡγεμονίαν ὑμῶν πεπιστευμένῳ, καὶ θέασαι δή, εἰ δέξεται, εἰ αἰδοῖ τῇ πρὸς σὲ κομιεῖται τὴν ὕβριν[2]· οὐχὶ δέ, τοὐναντίον ὡς ἂν ὑβρισμένος παρὰ σοῦ μᾶλλον ἢ τετιμημένος προσυβρίσας σε ἀποπέμψει μετὰ τοῦ προσκομισθέντος, ὄντος τοιούτου. Δείξας αὐτῶν ἀμφοτέρας τὰς ἀτοπίας τήν τε ἐπὶ τῶν ἄρτων καὶ τὴν ἐπὶ τῶν θυμάτων, ἐπάγει.

1,9 «Καὶ νῦν ἐξιλάσκεσθε τὸ πρόσωπον τοῦ Θεοῦ ὑμῶν καὶ δεήθητε αὐτοῦ, ἵνα ἐλεήσῃ ὑμᾶς»

407 Ἀλλὰ γὰρ κἂν τοῖς μετὰ ταῦτα διορθώσασθε τὰ πρόσθεν

---

1. Πρβλ. Λευϊτ. 24,6. **2.** Πρβλ. Μαλ. 1,8.

ὑμῶν ἁμαρτήματα, καὶ παυσάμενοι τοῦ τοιαῦτα διαπράττεσθαι, ἔτι ὑπὲρ τῶν παρεληλυθότων αἰτήσατε συγγνώμης τυχεῖν παρὰ τοῦ Θεοῦ. Καὶ φοβῶν εἰκότως.

1,9 «Ἐν χερσὶν ὑμῶν γέγονε ταῦτα»

Ἐγγύθεν γὰρ ἔχετε τῶν κακῶν τὴν πεῖραν, οἷς οὐ πρὸ πολλοῦ περιπεπτώκατε διὰ τὴν τοῦ προσήκοντος ἀμέλειαν, ὧν τῇ μνήμῃ μάλιστα πᾶσαν ἔχειν ὑμᾶς ἐπιμέλειαν προσήκει τοῦ καλοῦ.

1,9 «Εἰ λήψομαι ἐξ ὑμῶν πρόσωπα ὑμῶν, λέγει Κύριος παντοκράτωρ»

Ἀφ' ὧν ὀφείλετε εἰδέναι, ὡς οὐδὲ νῦν ὑμᾶς ἁμαρτάνοντας αἰδεσθήσομαι, εἰ μὴ μεταμελείᾳ τινὰ διόρθωσιν ἐπαγάγοιτε τοῖς πλημμελουμένοις παρ' ὑμῶν.

1,10 «Διότι καὶ ἐν ὑμῖν συγκλεισθήσονται θύραι, καὶ οὐκ ἀνάψετε τὸ θυσιαστήριόν μου δωρεάν»

[605] Οὐ γὰρ χαλεπόν μοι, καὶ νῦν ἄβατον ὑμῖν ποιῆσαι τὸν ναὸν τὸν ἐμὸν καὶ παῦσαι πάλιν ὑμᾶς τοῦ τῷ θυσιαστηρίῳ ὑπηρετεῖσθαι τῷ ἐμῷ διαπραττομένους τοιαῦτα, ὅπερ οὖν ἤδη πεποίηκα παραδοὺς μὲν πυρὶ τὸν ναόν[1], ἐπειδὴ πλημμελοῦντας ὑμᾶς ἀνήκεστα ἑώρων ἐν αὐτῷ, αἰχμαλωσίᾳ δὲ ὑμᾶς παραδούς[2], ἐν ᾗ καθεστῶτες οὐδὲν τῶν εἰς ἱερατικὴν λειτουργίαν ἡκόντων ποιεῖν οἷοί τε ἦτε.

1,10 «Οὐκ ἔστι θέλημά μου ἐν ὑμῖν, λέγει Κύριος παντοκράτωρ, καὶ θυσίαν οὐ προσδέξομαι ἐκ τῶν χειρῶν ὑμῶν»

Εὖ γὰρ ἴστε, ὅτι ἄχρις ἂν τοιαῦτα διαπράττησθε, ἀποστρέφομαί τε τὰ παρ' ὑμῶν γινόμενα, καὶ τὰς θυσίας ὑμῶν οὐ προσίεμαι[3], ὥστε οὐδὲ τὸ κέρδος ἀποίσεσθε, οὗπερ οὖν ἐλπίδι τῶν θυσιῶν τὴν προσκομιδὴν ποιεῖσθε.

1,11 «Διότι ἀπὸ ἀνατολῶν ἡλίου καὶ ἕως δυσμῶν αὐτοῦ τὸ ὄνομά μου δοξάσει ἐν τοῖς ἔθνεσιν, καὶ ἐν παντὶ τόπῳ θυμίαμα

---

1. Πρβλ. Δ' Βασ. 25,9. **2.** Πρβλ. Ψαλ. 77,61. **3.** Πρβλ. Μαλ. 1,10.

προσάγεται τῷ ὀνόματί μου καὶ θυσία καθαρά, διότι μέγα τὸ ὄνομά μου ἐν τοῖς ἔθνεσιν, λέγει Κύριος παντοκράτωρ»

408 Ἁπανταχοῦ, φησίν, γῆς τὴν ὀνομασίαν τὴν ἐμὴν ἅπαντες διώκουσιν οἱ ὅπου ποτὲ καθεστῶτες τῶν ἀνθρώπων, Θεὸν γὰρ σέβειν ἐσπούδακεν ἕκαστος καὶ τὴν τούτου περιέπειν ὀνομασίαν[1], ὡς ἂν Δεσπότου τε καὶ Κυρίου· ὅπερ οὖν ὄντως εἰμὶ ἐγώ, ὥστε εἰ καὶ πεπλανημένως οἷς οὐ προσῆκε τὴν ὀνομασίαν περιτιθέασι τὴν ἐμὴν ἀλλὰ τὴν ἐμήν γε ὅμως περιέπουσιν ἅπαντες καὶ ἐπ᾽ ὀνόματι τῷ ἐμῷ τὰς θυσίας ἐπιτελοῦσιν, πάντων μέγιστον καὶ πάντων ὑπερέχον νομιζόντων τὸ θεῖον· ὑμεῖς δὲ τὸ παρὰ πᾶσιν οὕτω μέγα τε νομιζόμενον καὶ σεπτὸν ἐξυβρίζοντες φαίνεσθε, ἐπειδὴ ἐν τῷ τὴν τράπεζαν τὴν ἐμὴν κοινὴν ἡγεῖσθαι καὶ μηδὲν ἔχουσαν πλέον τῶν λοιπῶν τά τε ἐπιτιθέμενα μηδεμιᾶς ἄξια νομίζειν σπουδῆς τοιαῦτά τέ μοι προσφέρειν, τὴν ἐμὴν ὀνομασίαν προδήλως ἐνυβρίζοντες φαίνεσθε, ἐν οὐδενὸς μέρει τιθέμενοι τὸ θεῖον, ὃ παρὰ πᾶσιν οὕτω τε μέγα καὶ φοβερὸν ὑπείληπται καὶ σεβάσμιον καὶ πάντων ὑπερέχον δικαίως.

1,13 «Καὶ εἴπατε Ταῦτα ἐκ κακοπαθείας ἐστίν, καὶ ἐξεφύσησα αὐτά, λέγει Κύριος παντοκράτωρ»

Εἶτα ὑμεῖς μέν, φησίν, σεμνύνεσθε ὡς ἐκ πόνου καὶ ἱδρώτων καὶ κακοπαθείας προσφέροντες ἰδίας, ἐγὼ δὲ αὐτὰ ἀπέρριφα[2] τοσαύτην οὖσαν ὑμῶν τὴν ἐν τῇ προσκομιδῇ καταφρόνησιν θεωρῶν.

1,13 «Καὶ εἰσεφέρετε ἁρπάγματα καὶ χωλὰ καὶ τὰ ἐνοχλούμενα· καὶ προσεφέρετε αὐτὰ εἰς θυσίαν, εἰ προσδέξομαι αὐτὰ ἐκ τῶν χειρῶν ὑμῶν; λέγει Κύριος παντοκράτωρ»

Ἐπειδὴ δὲ καὶ ἐν ταῖς θυσίαις τοιαῦτα προσεκομίζετε, ἔτι μᾶλλον αὐτὰ ἀπεπεμπόμην ὡς φαῦλα καὶ ἐκ φαύλης προσφερόμενα γνώμης. Εἶτα καὶ νόμον τιθείς.

1,14 «Καὶ ἐπικατάρατος ὃς ἦν δυνατὸς καὶ ὑπῆρχεν ἐν τῷ ποιμνίῳ αὐτοῦ ἄρσεν καὶ ἡ εὐχὴ αὐτοῦ ἐν αὐτῷ καὶ θύει διεφθαρμένα

---

1. Πρβλ. Μαλ. 1,11. **2.** Πρβλ. Μαλ. 1,13.

τῷ Κυρίῳ· διότι βασιλεὺς μέγας ἐγώ εἰμι, λέγει Κύριος παντοκράτωρ, καὶ τὸ ὄνομά μου ἐπιφανὲς ἐν τοῖς ἔθνεσιν»

409 Πᾶς δή, φησίν, εὐχὴν ἐπὶ θυσίᾳ πεποιημένος, εἶτα εὐπορῶν καὶ δυνάμενος ἐκ τῶν προσόντων αὐτῷ ποιμνίων προσαγαγεῖν ἄρσεν τε καὶ δόκιμον, **[608]** καὶ οἷον προσάγεσθαι πρέπον Θεῷ, καὶ τοῦτο μὲν οὐ προσάγων, φαῦλον δέ τι καὶ διεφθαρμένον θύων τῷ Θεῷ, τῆς ἐσχάτης ἄξιός ἐστι τιμωρίας[1], ἐπειδὴ Θεῷ τῷ πάντων βασιλεύοντι καὶ παρὰ πᾶσιν ἀνθρώποις ὁμοίως ἐπὶ τῷ μεγέθει τῆς οἰκείας ἐγνωσμένῳ φύσεως, εὐπορῶν ὧν δεῖ, προσάγει τὰ μὴ τοιαῦτα.

2,1-2 «Καὶ νῦν ἡ ἐντολὴ αὕτη πρὸς ὑμᾶς, οἱ ἱερεῖς· ἐὰν μὴ ἀκούσητε καὶ ἐὰν μὴ θῆσθε εἰς τὴν καρδίαν ὑμῶν τοῦ δοῦναι δόξαν τῷ ὀνόματί μου, λέγει Κύριος παντοκράτωρ, καὶ ἐξαποστελῶ ἐφ' ὑμᾶς τὴν κατάραν καὶ ἐπικαταράσομαι τὴν εὐλογίαν ὑμῶν καὶ καταράσομαι αὐτήν· καὶ διασκεδάσω τὴν εὐλογίαν ὑμῶν, καὶ οὐκ ἔσται ἐν ὑμῖν, ὅτι ὑμεῖς οὐ τίθεσθε ἐπὶ καρδίας ὑμῶν»

Ἀλλὰ γὰρ ἰδοὺ ταῦτα περὶ ὑμῶν ἀποφαίνομαι τῶν ἐπὶ τῆς ἱερατικῆς καθεστώτων λειτουργίας, ὅτι εἰ μὴ νῦν γοῦν βουληθείητε σπουδῇ τοῖς παρ' ἐμοῦ λεγομένοις προσέχειν καὶ τῇ τῆς λειτουργίας ἐπιμελείᾳ τὴν προσήκουσάν τε καὶ ὀφειλομένην ἀποτίσαι τῷ Θεῷ δόξαν, μεγίστην ὑμῖν ἐπάξω τιμωρίαν, καὶ τὴν τιμὴν δὲ ταύτην, ἧς ἀπολαύετε νῦν εἰς ἀτιμίαν τε καὶ πεῖραν μεταστήσω κακῶν, πᾶσάν τε ὑμῶν τὴν ἱερατικὴν ἀφελῶ τιμήν, ὡς μηδένα ἐξ ὑμῶν ἔτι διάδοχον τῆς ἀξίας γενέσθαι ταύτης· εὔδηλον γάρ, ὅτι «κατάραν»[2] μὲν τὴν τιμωρίαν λέγει καὶ τὴν πεῖραν τῶν κακῶν, «εὐλογίαν»[3] δὲ τῶν ἀγαθῶν τὴν ἀπόλαυσιν. Ὅθεν οὕτω καὶ τὴν ἱερωσύνην ὀνομάζει, ὡς πολλῶν ἀγαθῶν αἰτίαν τοῖς τε ἔχουσι καὶ τοῖς ὑπὲρ ὧν ἐπιτελεῖσθαι συμβέβηκε ταύτην. Εἶτα εἰς μείζονα ἔνδειξιν τῆς ἀγανακτήσεως τῆς οἰκείας.

---

1. Πρβλ. Μαλ. 1,14. **2.** Μαλ. 2,2. **3.** Ἐνθ' ἀν.

2,3 «Ἰδοὺ ἐγὼ ἀφορίζω ὑμῖν τὸν ὦμον καὶ σκορπιῶ ἔνυστρον ἐπὶ τὰ πρόσωπα ὑμῶν, ἔνυστρον ἑορτῶν ὑμῶν, καὶ λήψομαι ὑμᾶς εἰς τὸ αὐτό»

410 Κεκελευσμένον ἦν ἐν τῷ νόμῳ, ὥς τι ἐξαίρετον ἐκ τῶν θυσιῶν ἀφαιρεῖσθαι τῷ Θεῷ τὸν ὦμον[1]. Οὐκέτι οὖν, φησίν, οὐδὲ τοῦτο δέξομαι παρ' ὑμῶν ἐπεὶ μηδὲν δεόμενος εἰς ὠφέλειαν ὑμετέραν διετάξαμην οὕτω γίνεσθαι. Ἐπειδὴ δὲ ἐν τοσούτοις τὴν περὶ ἐμὲ δεικνύντες ἀμέλειαν τούτῳ με οἴεσθε τιμᾶν τῷ τὸν ὦμον ἀφαιρεῖν μοι, ὑμῖν αὐτὸν ἀποστρέφω, τῆς ἀγανακτήσεως ἔλεγχον παρεχόμενος τῆς ἐμῆς. Ἐάσω δὲ ὑμᾶς καρποῦσθαι καὶ τοῦτο μετὰ τῆς κόπρου τῶν ζώων, ἐπειδὴ τοῦτο ὑμῖν ἐν ταῖς ἑορταῖς προσάγεσθαι πρέπον, ἃς τῇ κακίᾳ τῶν πραττομένων μολύνετε, κοινήν τε ἅπασιν ὑμῖν τὴν ὑπὲρ τῶν πραττομένων ἐπάξω τιμωρίαν. Τοῦτο γάρ ἐστι τό «λήψομαι ὑμᾶς εἰς τὸ αὐτό»[2].

2,4 «Καὶ ἐπιγνώσεσθε διότι ἐγὼ Κύριος ἐξαπέσταλκα πρὸς ὑμᾶς τὴν ἐντολὴν ταύτην τοῦ εἶναι τὴν διαθήκην μου πρὸς τοὺς Λευίτας, λέγει Κύριος παντοκράτωρ»

Τότε ἐκ τῆς περιγινομένης ὑμῖν ἀτιμίας τε καὶ τιμωρίας αἰσθήσεσθε ἀκριβῶς τῆς τε ἐξουσίας καὶ τῆς δυνάμεως τῆς ἐμῆς καὶ ὅτι ἐγὼ μὲν εὖ ποιεῖν βουλόμενος ἐξ ἀρχῆς εἰς τὴν ἱερατικὴν παρήγαγον ἀξίαν, τοιαύτας τινὰς θέμενος πρὸς ὑμᾶς τὰς συνθήκας, ἵνα τῆς παρ' ἐμοῦ δοθείσης ἀπολαύοντες τιμῆς ἅπαντα πρὸς τὴν ἐκείνων ὠφέλειαν ποιῆτε, ὑπὲρ ὧν μέτιτε τὴν ἱερωσύνην. Ὑμεῖς δὲ οὐθένα τούτων ἐποιήσασθε λόγον, **[609]** ἀλλὰ τῆς τε δοθείσης ὑμῖν ὑπερίδετε τιμῆς καὶ ἀμελείᾳ τοσαύτῃ τὴν ἐμὴν παραδεδώκατε λειτουργίαν. Εἶτα ἐπειδὴ τὰ τῆς ἱερωσύνης ἐκ τοῦ Ἀαρὼν εἴληφε τὴν ἀρχήν, ὃς πρῶτος Ἀρχιερεὺς κατὰ θείαν προβολὴν ἀπεδείχθη[3], ἐπάγει.

2,5-7 «Ἡ διαθήκη μου ἦν μετ' αὐτοῦ τῆς ζωῆς καὶ τῆς εἰρήνης, καὶ ἔδωκα αὐτῷ φόβον φοβεῖσθαί με καὶ ἀπὸ προσώπου ὀνόματός μου στέλλεσθαι αὐτόν. Νόμος ἀληθείας ἦν ἐν τῷ στόματι αὐτοῦ,

---

1. Πρβλ. Ἐξ. 29,22. Ἰεζ. 24,4. **2.** Μαλ. 2,3. **3.** Πρβλ. Ἐξ. 28,1. Ἰησ. Ν. 22,13. Ἑβρ. 5,4-5.

καὶ ἀδικία οὐχ ηὑρέθη ἐν χείλεσιν αὐτοῦ· ἐν εἰρήνῃ κατευθύνων ἐπορεύθη μετ' ἐμοῦ καὶ πολλοὺς ἀπέστρεψεν ἀπὸ ἀδικίας. Ὅτι χείλη ἱερέως φυλάξεται γνῶσιν, καὶ νόμον ἐκζητήσουσιν ἐκ τοῦ στόματος αὐτοῦ, ὅτι ἄγγελος Κυρίου παντοκράτορός ἐστιν»

411 Ἐκεῖνον γοῦν πρῶτον, φησίν, ἐπιλεξάμενος συνθήκας πρὸς αὐτὸν ἐθέμην, ἐπαγγειλάμενος μὲν αὐτῷ καὶ ζωῆς μακρᾶς καὶ εἰρήνης ἀπόλαυσιν, κελεύσας δὲ τὸν φόβον ἐπὶ τῆς διανοίας ἔχειν τὸν ἐμὸν καὶ μετὰ πολλοῦ τοῦ δέους καὶ τὴν μνήμην ποιεῖσθαι τὴν ἐμήν[1]. Ἠκολούθησε δὲ ἄρα καὶ τὰ παρ' ἐκείνου πρέποντα τῇ τιμῇ τῇ παρ' ἐμοῦ, ἐπειδὴ τέθεικε μὲν ἑαυτῷ νόμον τοῦ ζῆν τε σὺν ἀληθείᾳ καὶ ἅπαν ἀποστρέφεσθαι ψεῦδος[2]. Ἐφθέγξατο δὲ οὐδὲ πώποτε ἄδικον οὐθὲν οὔθ' ὃ βλάβης αἴτιον τοῖς ὑπὸ τὴν ἱερωσύνην ἐγίγνετο.

Ὑπὲρ δὲ τούτων ἀκολούθως ταῖς ἐπαγγελίαις ταῖς ἐμαῖς αὐτός τε ἐν εἰρήνῃ διῆγεν, ἐν οὐδενὶ πώποτε πρός με διενεχθεὶς οὐδέ τι τῶν ἐμοὶ διαπραξάμενος ἐναντίων — τοῦτο γὰρ λέγει τό «ἐν εἰρήνῃ κατευθύνων ἐπορεύθη μετ' ἐμοῦ»[3]—, καὶ πολλοὺς δὲ ὅσους ἐπὶ τὸ κρεῖττον ἐκ τοῦ χείρονοςο ἐπανῆγεν. Συντόμως τε εἰπεῖν, ὃ μάλιστα πρέπον ἦν ἱερεῖ διεπράττετο, διδάσκων μὲν τῆς ἀληθείας τὴν γνῶσιν, πρὸς δὲ τὸν νόμον τὸν θεῖον ἅπαντας τοὺς ὑπ' αὐτὸν ἐπανάγων καὶ διδάσκων, ὅπως ἂν ἀσχολοῖντο πάντοτε περὶ αὐτόν· τοῦτο γὰρ ἱερέως ἔργον, Ἀγγέλου τινὸς τάξιν ἐπέχειν τεταγμένου τοῖς λοιποῖς ἀνθρώποις καὶ πάντας ἐπὶ τὴν ἀρετὴν ἐπανάγοντος, ὅπερ οὖν καὶ τοῖς Ἀγγέλοις περὶ ἡμᾶς ἔργον ποιεῖν. Ταύτας μὲν δὴ πρὸς τὸν Ἀαρὼν ἐθέμην τὰς συνθήκας, ὃς καὶ ἀκόλουθα τοῖς ἐμοῖς διεπράττετο νόμοις, ὑμεῖς δὲ οἱ τὴν ἱερωσύνην διαδεξάμενοι τὴν ἐκείνου παμπολὺ τούτων ἐστὲ κεχωρισμένοι. Πῶς καὶ τίνα τὸν τρόπον;

2,8 «Ὑμεῖς δὲ ἐξεκλίνατε ἐκ τῆς ὁδοῦ καὶ ἠσθενήσατε πολλοὺς ἐν νόμῳ, διεφθείρατε τὴν διαθήκην τοῦ Λευί, λέγει Κύριος παντοκράτωρ»

Ἐξετράπητε γὰρ τῆς περὶ ταῦτα σπουδῆς, ὥστε καὶ τοὺς λοι-

---

1. Πρβλ. Μαλ. 2,5. 2. Πρβλ. Μαλ. 2,6. 3. Μαλ. 2,6.

πούς ῥαθύμους περὶ τὸν νόμον ποιῆσαι[1], οὕτω τε πάσας συντόμως εἰπεῖν **412**τὰς συνθήκας, ἃς πρὸς ἐκεῖνον ἐθέμην, βουλόμενος αὐτὰς καὶ ἐπὶ τῶν ἐκείνου διαδόχων κρατεῖν, τῇ οἰκείᾳ διεφθείρατε κακίᾳ.

2,9 «Καὶ ἐγὼ δέδωκα ὑμᾶς ἐξουδενωμένους καὶ παρειμένους εἰς πάντα τὰ ἔθνη, ἀνθ' ὧν ὑμεῖς οὐκ ἐφυλάξασθε τὰς ὁδούς μου, ἀλλ' ἐλαμβάνετε πρόσωπα ἐν νόμῳ»

Καλῶς ἐκ τῶν πρὸ βραχέος γεγονότων αὐτοὺς σωφρονίζει. Τοιαῦτα γάρ, φησίν, ὑμᾶς διαπραττομένους εὑρὼν αἰχμαλωσίᾳ παραδέδωκα, τὸ μηδὲ... ἀποδείξας καὶ πάντῃ τῆς ἱερατικῆς ἔξω καταστήσας τιμῆς, ἀνθ' ὧν οὐδένα λόγον ποιεῖσθαι τῶν προσταγμάτων ἐβούλεσθε τῶν ἐμῶν, συνεπράττετε δὲ καὶ τοῖς λοιποῖς ἀμελεῖν τῶν νόμων, οὓς σωφρονίζεσθαι παρ' ὑμῶν δίκαιον ἦν· τοῦτο γὰρ **[612]** λέγει τό, «ἐλαμβάνετε πρόσωπα ἐν νόμῳ»[2], ἀντὶ τοῦ ἐλέγχειν τοὺς ἁμαρτάνοντας παρὰ τὸ τῷ νόμῳ δοκοῦν οὐκ ἐβούλεσθε.

2,10 «Οὐχὶ Θεὸς εἷς ἔκτισεν ὑμᾶς; οὐχὶ Πατὴρ εἷς πάντων ὑμῶν; τί ὅτι ἐγκατελίπετε ἕκαστος τὸν ἀδελφὸν αὐτοῦ τοῦ βεβηλῶσαι τὴν διαθήκην τῶν πατέρων ὑμῶν;»

Καίτοι γε, φησίν, καὶ ὑμεῖς κἀκεῖνος, λέγει δὲ τὸν Ἀαρών, ὑφ' ἑνός τε γεγόνατε Θεοῦ κηδεμονίας τε καὶ τιμῆς ἠξιώθητε τῆς αὐτῆς, κοινῇ γὰρ καὶ πρὸς ἐκεῖνον καὶ πρὸς ὑμᾶς ἔφην τό «ἐγὼ εἶπον Θεοί ἐστε καὶ υἱοὶ ὑψίστου πάντες»[3], ὅπερ δὴ μάλιστα τοῖς τῆς ἱερατικῆς προεδρίας ἐπειλημμένοις καὶ ἡγουμένοις ἐντεῦθεν τοῦ λαοῦ ἁρμόττον. Πόθεν τοίνυν τοσαύτην ἐπὶ τῶν τρόπων ἐσχήκατε τὴν διαφοράν, ὥστε ἐκεῖνον μὲν ἐπανορθοῦσθαι τοὺς καθ' ἑαυτὸν καὶ πρὸς τὸ δέον ἐπανάγειν σπουδῇ, ὑμᾶς δὲ παρορᾶν τοὺς ὑπὸ τὴν ἱερωσύνην ὄντας, ἀδελφοὺς ὄντας ἰδίους, ἐξαμαρτάνοντάς τε οὕτως καὶ μόνον οὐχὶ πατοῦντας τῶν νόμων τῶν ἐμῶν τὴν ἀκρίβειαν. Τοιγαροῦν τί γέγονεν;

---

1. Πρβλ. Μαλ. 2,8. **2.** Μαλ. 2,9. **3.** Ψαλ. 81,6.

2,11 «Ἐγκατελείφθη Ἰούδας, καὶ βδέλυγμα ἐγένετο ἐν τῷ Ἰσραὴλ καὶ ἐν Ἱερουσαλήμ, διότι ἐβεβήλωσεν Ἰούδας τὰ ἅγια Κυρίου, ἐν οἷς ἠγάπησεν, καὶ ἐπετήδευσεν εἰς θεοὺς ἀλλοτρίους»

413 Τοιγαροῦν ἐπειδὴ καὶ οἱ τοῦ λαοῦ τὸ μὴ δέον ἔπραττον καὶ ὑμῖν τοῖς ἱερεῦσι λόγος οὐθεὶς ἦν τῆς ἐκείνων διορθώσεως, ἀφεθέντες τῆς προνοίας τῆς ἐμῆς εἰς αἰχμαλωσίαν ἀπεληλύθατε, ὑπὲρ ὧν δὴ τῆς θεραπείας ἀμελήσαντες τοῦ Θεοῦ, ἣν δὴ μάλιστα μετὰ πολλῆς ὑμᾶς μετιέναι προσῆκον ἦν τῆς σπουδῆς, εἰς εἰδώλων ἐξετράπητε θεραπείαν[1]. Οὕτως ἀπὸ τῶν ἱερέων εἰς ἅπαντας ἐκβαλὼν τὸν λόγον, ὡς ἂν τῇ τούτων κακίᾳ καὶ τῶν λοιπῶν γεγονότων τοιούτων, εἰς σωφρονισμὸν ἁπάντων κοινῇ λοιπὸν ἐπάγει.

2, 12 «Ἐξολοθρεύσει Κύριος τὸν ἄνθρωπον τὸν ποιοῦντα ταῦτα, ἕως ἂν καὶ ταπεινωθῇ ἐκ σκηνωμάτων Ἰακὼβ καὶ ἐκ προσαγόντων θυσίαν τῷ Κυρίῳ παντοκράτορι»

Ἀλλ' εἴ γε μὴ τούτων ἀποσταίητε, φησίν, παντελὴς ἀπώλεια λήψεται πάντας ὑμᾶς, ὥστε εἰς τὴν ἐσχάτην ταπείνωσιν τούς τε λοιποὺς ἀχθῆναι καὶ δὴ καὶ ὑμᾶς τοὺς ἱερατεύειν τε καὶ τὰς ὑπὲρ ἑτέρων θυσίας προσάγειν προσποιουμένους[2], οὐθὲν οὔτε ὑμῶν οὔτε ἐκείνων τῇ προσαγωγῇ τῶν θυσιῶν ὠφελεῖσθαι οἵων τε ὄντων.

Ἐντεῦθεν ἐφ' ἑτέραν αὐτῶν μεθίσταται παρανομίαν. Ἐπανελθόντες γὰρ ἀπὸ τῆς αἰχμαλωσίας καὶ τῆς ὑπὸ τοῦ Θεοῦ παρασχεθείσης αὐτοῖς εὐπραγίας μετεσχηκότες εἰς ἀκόλαστον ἐκτραπέντες βίον τὰς πρόσθεν ἑαυτῶν γυναῖκας ἠφίεσαν, ἐφ' ἑτέρας ὅπως ποτὲ τρέποντες τὸ ὄμμα, καὶ τὰς μὲν ἐν μακρῷ τῷ χρόνῳ συγγεγονυίας αὐτοῖς καὶ δὴ καὶ τῶν κατὰ τὴν αἰχμαλωσίαν κακῶν τῶν τε αὐτόθι ταλαιπωριῶν κεκοινωνηκυίας αὐτοῖς ἀπέβαλλον ἀδεῶς, ἐφ' ἑτέρας δὲ ἐτρέποντο ἐξ ἀκολασίας. Εἶτ' οὐδεμιᾶς ἐντεῦθεν βοηθείας προσαγομένης κακῶς πασχούσαις ταῖς γυναιξίν, οὐδέ τινος τοῖς γινομένοις ἐπιτιμῶντος ἀναγκαίως τήν τε ὕβριν καὶ τὴν ἀτιμίαν αἱ γυναῖκες οὐ φέρουσαι ταύτῃ ἐπὶ τὸν Θεὸν κατέτρεχον, πολλοῖς μὲν τοῖς δάκρυσι πολλαῖς δὲ ταῖς οἰμωγαῖς κε-

1. Πρβλ. Μαλ. 2,11. 2. Πρβλ. Μαλ. 2,12.

χρημέναι, καὶ τῆς παρὰ Θεοῦ προνοίας ὡς ἐν ἀβοηθήτοις ἀξιοῦσαι τυχεῖν. Ὑπὲρ δὴ τούτων οὕτω φησίν.

2,13 «Καὶ ταῦτα, ἃ ἐμίσουν, ἐποιεῖτε· ἐκαλύπτετε δάκρυσι τὸ θυσιαστήριον Κυρίου καὶ κλαυθμῷ καὶ στεναγμῷ ἐκ κόπων. Ἔτι ἄξιον ἐπιβλέψαι εἰς θυσίαν ὑμῶν ἢ λαβεῖν δεκτὸν ἐκ τῶν χειρῶν ὑμῶν;»

414[613] «Ἐκαλύπτετε δάκρυσι τὸ θυσιαστήριον Κυρίου καὶ κλαυθμῷ καὶ στεναγμῷ»[1]· οὐ πρὸς τοὺς ὀδυρομένους φησίν, ἀλλὰ πρὸς τοὺς αἰτίους τούτου. Οὐ γὰρ δὴ ταῖς ἀπὸ τοσαύτης ἀνάγκης τε καὶ ἐπηρείας ἐπὶ τὸν Θεὸν κατατρέχειν ἀναγκαζομέναις καὶ τὰ συμβεβηκότα αὐταῖς ἀποδυρομέναις κακὰ μέμφεσθαι ἤμελλεν ὑπὲρ ὧν ταῦτα ποιοῦσιν, ἀλλ' εὔδηλον ὅτι τοῖς ἀδικοῦσι καὶ τῶν τοιούτων οἰμωγῶν τε καὶ δακρύων αἰτίοις ἐπιμέμφεται δικαίως. Τὸ οὖν «ἐκαλύπτετε» λέγει ἀντὶ τοῦ παρεσκευάζετε καλύπτεσθαι. Ἐποιεῖτε δή, φησίν, καὶ τοῦτο, ὃ πάντων μάλιστα ἀπειρημένον ἦν ἐμοὶ καὶ πολλοῦ γε μίσους φαινόμενον ἄξιον· οἷς καλῶς ἐπήγαγε τό «ἔτι ἄξιον ἐπιβλέψαι εἰς θυσίαν ὑμῶν ἢ λαβεῖν δεκτὸν ἐκ τῶν χειρῶν ὑμῶν;»[2]. Πῶς γὰρ δή, φησίν, καὶ δυνατὸν ἢ θυσίαν ἢ ἄλλο τι τῶν παρ' ὑμῶν προσκομιζομένων δέξασθαί με, τῶν γυναικῶν τῶν ὑμετέρων ἐπὶ τοσαύταις ἀδικίαις τε καὶ παροινίαις, ἃς ὑπομένουσι παρ' ὑμῶν, τοσούτῳ μὲν κλαυθμῷ, τοσούτοις δὲ ὀδυρμοῖς ἐπ' ἐμοῦ κεχρημένων, ἃς παριδεῖν οὐκ εὐπρεπὲς ἐμοί, ὥστε εἰ καὶ τὰς εἰς ἐμὲ γινομένας ὑμῶν πλημμελείας παρίδοιμι, ἀλλ' οὔ τι γε τὰς ἀδικίας παρόψομαι τῶν γαμετῶν τῶν ὑμετέρων. Ὅμοιον δέ ἐστι τῷ τοῦ Κυρίου ἐν τοῖς Εὐαγγελίοις λέγοντος, «ἐὰν προσφέρῃς τὸ δῶρόν σου ἐπὶ τὸ θυσιαστήριον καὶ ἐκεῖ μνησθῇς ὅτι ὁ ἀδελφός σου ἔχει τι κατὰ σοῦ, ἄφες ἐκεῖ τὸ δῶρόν σου ἐπὶ τὸ θυσιαστήριον, καὶ ὕπαγε πρῶτον διαλλάγηθι τῷ ἀδελφῷ σου, καὶ τότε ἐλθὼν πρόσφερε τὸ δῶρόν σου»[3]. Ὡς γὰρ ἐκεῖ περιττὴν εἶναι λέγει τὴν προσκομιδήν, μὴ τοῦ ἠδικημένου θεραπευθέντος πρότερον, οὕτως κἀνταῦθά φησιν, ὅτι μὴ δυνατόν με δέξασθαί τι

1. Μαλ. 2,13. **2.** Ἔνθ' ἀν. **3.** Ματθ. 5,23-24.

παρ' ὑμῶν προσφερόμενον, τὰς τοιαῦτα παρ' ὑμῶν ἠδικημένας ὁρῶντα.

2,14 «Καὶ εἴπατε· Ἕνεκεν τίνος;»

415 Κἀνταῦθα πάλιν τό «εἴπατε»[1] ὁμοίως εἰπὼν ἀντὶ τοῦ, καὶ διεπράττεσθε τοσοῦτο κακόν, ὡς οὐθὲν ἐργαζόμενοι, τοιαύτην τινὰ διάθεσιν ἐπὶ τῇ τοσαύτῃ κεκτημένοι παρανομίᾳ. Εἶτα δεικνὺς τοῦ γινομένου τὴν ἀτοπίαν ἐπάγει.

2,14 «Ὅτι Κύριος διεμαρτύρατο ἀνὰ μέσον σοῦ καὶ ἀνὰ μέσον γυναικὸς νεότητός σου, ἣν ἐγκατέλιπες καὶ αὐτὴ κοινωνός σου καὶ γυνὴ διαθήκης σου. Καὶ οὐκ ἄλλος ἐποίησεν, καὶ ὑπόλειμμα πνεύματός σου»

Ἐγὼ μὲν γάρ, φησίν, ἄνωθεν καὶ ἐκ πρώτης διεταξάμην τῆς δημιουργίας πατέρα τε καὶ μητέρα ἀφιέντας τῇ γυναικὶ προσκολλᾶσθαι τῇ ἰδίᾳ, ὡς ἂν εἶεν εἰς σάρκα μίαν οἱ δύο[2]. Ὑμεῖς δὲ τοσοῦτον τῶν νόμων ἠμελήκατε τῶν ἐμῶν, ὥστε τὴν ἐκ νεότητός σοι συναφθεῖσαν πρὸς γάμον καὶ κοινωνόν σοι τοῦ βίου γεγονυῖαν παντὸς ἀφιέναι, δίχα λόγου τῆς οἰκίας ἐξωθούμενον τῆς ἰδίας, πρὸς ἣν τοιαῦταί σοι διὰ τῶν γαμικῶν νόμων εἰσὶν αἱ συνθῆκαι, ὡς ἂν μία τε εἴητε **[616]** σὰρξ καὶ κοινὰ πάντα ἡγοῖσθε τὰ ἀλλήλων. Εἶτα ταύτην ἀφεὶς τὴν ἐπὶ τοιούτοις σοι συναφθεῖσαν ἐφ' ἑτέραν μετῄεις ἐξ ἀκολασίας, οὐδὲ ἐκεῖνο λογισάμενος, ὅτι ἐπὶ διαδοχῇ γένους ὁ γάμος συνέστηκεν, ἵνα θανάτῳ διαφθειρόμενον τὸ γένος ἀνασῴζηται τῇ τεκνογονίᾳ, ὥστε ὁ γάμος μηχάνημα τῆς διαδοχῆς εὕρηται παρὰ τοῦ Θεοῦ. Τοῦτο γὰρ λέγει τό «ὑπόλειμμα πνεύματός σου»[3], ἀντὶ τοῦ, ἐπειδὴ ἀποτίθεσθαι μέλλεις τοῦ παρόντος βίου τὴν ζωήν, οἷόν ἐστι τό, «ἐξελεύσεται τὸ πνεῦμα αὐτοῦ, καὶ ἐπιστρέφει εἰς τὸν χοῦν αὐτοῦ»[4], ὡς ἂν μὴ παντελῶς ἀπόλλυσθαι δοκοίης, ὑπελίπετό σοι τὴν διαδοχὴν μνημόσυνον ὁ Θεὸς καὶ λείψανον τῆς τε οὐσίας καὶ τῆς ὑποστάσεως τῆς σῆς. Ὥστε καὶ πρὸς τὴν αἰτίαν ὁρῶντα τοῦ γάμου δεδίττεσθαι τὸ πρᾶγμα ἐχρῆν καὶ μὴ

---

1. Μαλ. 2,14. **2.** Πρβλ. Γεν. 2,24. Ματθ. 19,5-6. Μάρκ. 10,7-8. Ἐφ. 5,31. **3.** Μαλ. 2,15. **4.** Ψαλ. 145,4.

πλημμελεῖν εἰς τοὺς περὶ τούτου τεθέντας νόμους ἄνωθεν παρὰ τοῦ Θεοῦ, φυλάττειν δὲ αὐτοὺς ἀκεραίους τῷ μένειν ἐπὶ τῶν προτέρων, ἃς οὕτω τε καὶ ἐπὶ τούτοις ἠγάγεσθε, μὴ μὴν ἐξ ἀκολα**416**σίας ἀφιέναι μὲν τὰς πρώτας, μεθίστασθαι δὲ ἐφ' ἑτέρας. Καὶ θαυμασιώτατα ἐπήγαγεν.

2,15 «Καὶ εἴπατε Τί ἄλλο ζητεῖ ὁ Θεὸς ἢ σπέρμα;»

Ἐπειδὴ γὰρ ἐδόκουν καὶ ἐκ τῶν παρανόμως συναπτομένων γυναικῶν παιδοποιεῖσθαι, τοῦτό φησιν. Οὐχ ὡς νόμους αἰδεῖσθε θείους τοὺς περὶ τοῦ γάμου τεθέντας παρὰ τοῦ Θεοῦ, ἀλλ' ὡς δίκην ἀλόγων εἰς συνουσίαν τε καὶ τῷ τίκτειν μόνον ἐκκείμενοι καὶ ἐπὶ τούτῳ γεγονότες παρὰ τοῦ Θεοῦ, οὕτω τὰς μὲν προτέρας ἀφίετε ἐφ' ἑτέρας δέ ἔρχεσθε, οὐδεμίαν διαφορὰν εἶναι νομίζοντες, ἢ ἐξ ἐκείνων τεκνογονεῖν ἢ ἐκ τούτων, δέον εἰδέναι, ὅτι τὸ μὲν ἀδεὲς τῆς διαδοχῆς ἀλόγοις ἁρμόττον, τοῖς δὲ λόγου μετειληφόσι πρέπον τὸ μετὰ τῶν νόμων τῶν θείων μετιέναι τε τοὺς γάμους καὶ τὴν ἐντεῦθεν στέργειν διαδοχήν. Κἀνταῦθα γὰρ τό «εἴπατε» οὐ φωνὴν λέγει, ἐπεὶ μηδὲ οἷόν τε ἦν αὐτοὺς τοῦτο εἰπεῖν, ὅτι «οὐδὲν ἄλλο ζητεῖ Θεὸς ἀλλ' ἢ σπέρμα»[1], ἀλλ' ἵνα τὴν διάθεσιν εἴπῃ τῇ διανοίας μοχθηρὰν οὖσαν, καὶ ὅτι οὕτω πάντα ἔπραττον, οὐχ ὡς ἄνθρωποι λογικοὶ νόμοις ζῆν ὀφείλοντες θείοις, ἀλλ' ὡς δίκην ἀλόγων πρὸς τὴν μίξιν μόνον καὶ τὴν διαδοχὴν ἐκκεῖσθαι. Εἶτα καὶ νόμον τιθείς.

2,15 «Καὶ φυλάξασθε ἐν τῷ πνεύματι ὑμῶν, καὶ γυναῖκα νεότητός σου μὴ ἐγκαταλίπῃς»

Τοιγαροῦν πᾶσαν ἐπιμέλειαν ποιήσασθε τοῦ λοιποῦ τοῦ μετὰ τῆς πρεπούσης διαθέσεως ταῖς γαμεταῖς συνεῖναι, ἃς ἄνωθεν εἰλήφατε, μὴ μὴν ἀφιέναι ταύτας. Καὶ ἐπειδὴ αὐτὸς διὰ Μωσέως βιβλίον ἀποστασίου προσέταξε δίδοσθαι ταῖς γυναιξίν[2], δεικνὺς ὁπόσον ἐστὶ τὸ διάφορον, ἐπάγει.

---

1. Μαλ. 2,15. 2. Πρβλ. Δευτ. 24,1,3.

2,16 «Ἀλλ' ἐὰν μισήσης ἐξαπόστειλον, λέγει Κύριος ὁ Θεὸς τοῦ Ἰσραήλ»

Ὅταν μὲν γὰρ ἐκ δυσκολίας γυναικὸς ἤ τινος μοχθηρᾶς ἢ ὅλως ἑτέρων τινῶν τῶν ἀξίαν αὐτὴν τοῦ μισεῖσθαι δεικνύντων εἰς τὸ **417** τοιαύτην ἔχειν τὴν γνώμην περὶ αὐτὴν καταστῇς, ἀπολύειν αὐτὴν ἐκέλευσα τότε, οὐ τὸν γαμικὸν λύων νόμον, ἐκ δὲ τῶν συμβαινόντων οὐ παρὰ τὴν σὴν αἰτίαν ἐπιτρέπων σοι μᾶλλον αὐτὴν ἀφιέναι, **[617]** ἢ εἰς καθημερινοὺς καθίστασθαι πρὸς αὐτὴν διαπληκτισμούς, μήποτέ τι καὶ χεῖρον ὁ μακρὸς ἐργάσηται χρόνος καί που καὶ πρὸς φόνον ὁπλισθῇς τῆς γυναικός. Οὕτω γὰρ καὶ ὁ Κύριος ἐν τοῖς Εὐαγγελίοις πρὸς Φαρισαίους ἐρωτήσαντας «Τί οὖν Μωσῆς ἔδωκε βιβλίον ἀποστασίου;» ἐπήγαγε «πρὸς τὴν σκληροκαρδίαν ὑμῶν ἐπέτρεψεν οὕτω Μωσῆς· ἀπ' ἀρχῆς δὲ οὐ γέγονεν οὕτως»[1]· «ὁ γὰρ ποιήσας ἐξ ἀρχῆς ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς, καὶ εἶπεν· ἕνεκεν τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα αὐτοῦ καὶ προσκολληθήσεται πρὸς τὴν γυναῖκα αὐτοῦ, καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν»[2]. Τοῦτο λέγει, ὅτι τὸ μὲν κάλλιστον ἦν, κατὰ τὸν νόμον τὸν ἄνωθεν μετὰ τοῦ προσήκοντος διαμένειν, ἀλλήλοις συνόντας ἄνδρα τε καὶ γυναῖκα, εἰδὼς δὲ ὑμῶν τὰς ὀργὰς ἀκαθέκτους οὔσας ἐκέλευσεν, εἰ αἱ φυόμεναι ἐν ὑμῖν αἰτίαι δοκοῖεν παροξυσμόν τινα παρέχειν, μᾶλλον ἀφιέναι τὴν γυναῖκα ἢ ἐκ μίσους πρὸς ἐπιβουλὴν καθίστασθαι φόνου. Εἶτα ἐπειδὴ ἐνῆν αἰτίαν οὐ παρεχούσης τῆς γυναικὸς ἐκ τῆς πρὸς ἑτέραν ῥοπῆς μῖσος πλάττειν ἑαυτῷ τὸ μὴ δίκαιον.

2,16 «Ἀποκαλύψει ἀσέβεια τὰ ἐνθυμήματα ὑμῶν, λέγει Κύριος παντοκράτωρ»

Εἰ γὰρ μὴ τούτων οὕτως ἐχόντων πλαττόμενοι τὴν αἰτίαν ἀποπέμποισθε τὰς ἄνωθεν ὑμῖν συναφθείσας γυναῖκας, ἐστὶν ὁ τῶν ἀσεβειῶν ὑμῶν ἐξεταστὴς Θεός. Οἷς καλῶς ἐπήγαγεν.

1. Ματθ. 19,7-8. 2. Ματθ. 19,4-5.



2,16 «Καὶ φυλάξασθε ἐν τῷ πνεύματι ὑμῶν, καὶ μὴ ἐγκαταλίπητε τὴν συνθήκην»

Ὥστε, φησίν, ὅλῃ διανοίᾳ καὶ διαθέσει τῇ προσηκούσῃ μετὰ τῆς δεούσης εὐγνωμοσύνης τὸν γαμικὸν φυλάττετε νόμον καὶ τὰς συνθήκας ἀπαραβάτους τηρεῖτε[1], μεθ' ὧν ἄνωθεν εἰς τὴν γαμικὴν ἐλη**418**λύθατε κοινωνίαν. Συμπεράνας δὴ τὰ τῶν γυναικῶν ἐν τούτοις, λέγει καὶ ἑτέραν αὐτῶν οὐ πλημμέλειαν ἁπλῶς ἀλλ' ἀσέβειαν. Πολλοὶ γὰρ τῶν ἀνθρώπων τὰ μὲν παρ' αὐτῶν ἁμαρτανόμενα ὁρᾶν οὐκ ἐθέλουσιν, ἀλλ' οὐδέ τι πάσχειν ὑπὲρ τούτων ἀνέχονται· τοὐναντίον μὲν οὖν καὶ δυσχεραίνουσιν ἐν πείρᾳ καθιστάμενοι λυπηρῶν, καὶ ταῦτα ἧττον πολλάκις πάσχοντες τῆς ἀξίας, ὑπὲρ ἑτέρων δὲ μέμφονται τῷ Θεῷ προχείρως ὡς ἁμαρτανόντων μὲν πλεῖστα δίκας δὲ οὐ διδόντων. Τοῦτο δὴ καὶ παρ' ἐνίων τῶν ἐν τοῖς Ἰσραηλίταις τότε γινόμενον ἐν τούτοις αἰτιώμενος ὁ Προφήτης οὕτω φησίν.

2,17 «Οἱ παροξύνοντες τὸν Θεὸν ἐν τοῖς λόγοις ὑμῶν καὶ εἴπατε Ἐν τίνι παρωξύναμεν αὐτόν; Ἐν τῷ λέγειν ὑμᾶς Πᾶς ποιῶν πονηρά, καλὸν ἐνώπιον Κυρίου, καὶ ἐν αὐτοῖς αὐτὸς ηὐδόκησεν· καὶ Ποῦ ἐστιν ὁ Θεὸς τῆς δικαιοσύνης;»

Ἀλλὰ γὰρ οὐδὲ ἐκείνην ὑμῶν παρήσω τὴν ἀσέβειαν, ἐφ' ἧπερ εἰς ἀγανάκτησιν καθ' ἑαυτῶν κινοῦντες τὸν Θεὸν οὐκ αἰσθάνεσθε - τὸ γάρ «καὶ εἴπατε Ἐν τίνι παρωξύναμεν αὐτόν»[2], κἀνταῦθα ἐπὶ τῆς διαθέσεως αἰτιώμενος λέγει -, ὡς οὐδὲ τοῦ ἀσεβεῖν ἐπὶ τοιούτοις αἴσθησιν ἔχοντες. Τί δὲ ἦν τὸ ἀσέβημα δηλῶν, φατέ, φησίν, ὅτι ἔοικεν ἀρέσκεσθαι τοῖς τὰ κακὰ διαπραττομένοις ὁ Θεός, καὶ τοῦτο δῆλον, ἐξ ὧν ἐπὶ τοιαύταις πλημμελείαις οὐ διδόασιν δίκας, καίτοι γε εἴ τις λόγος ἦν τοῦ δικαίου τῷ Θεῷ, προσηκόντως ἂν αὐτοῖς κόλασιν ἐπαγαγόντι τὴν ἐσχάτην. Τί οὖν;

3,1 «Ἰδοὺ ἐγὼ ἐξαποστελῶ τὸν ἄγγελόν μου, καὶ ἐπιβλέψεται ὁδὸν πρὸ προσώπου μου, καὶ ἐξαίφνης ἥξει εἰς τὸν ναὸν ἑαυτοῦ

---

1. Πρβλ. Μαλ. 2,16. **2.** Μαλ. 2,17.

Κύριος, ὃν ὑμεῖς ζητεῖτε, καὶ ὁ ἄγγελος τῆς διαθήκης, ὃν ὑμεῖς θέλετε»

[620] Ἐπειδὴ τοίνυν τοιαῦτά φατε καὶ τὴν περὶ τὸ δίκαιον ἐπιμέλειαν διὰ τῆς τιμωρίας ἐπιζητεῖτε παρ' ἐμοῦ, ἀποστελῶ μὲν Ἄγγελον ὑπηρετησόμενον τοῖς ἐμοὶ δοκοῦσιν - τὸ γάρ «ἐπιβλέψεται ὁδὸν πρὸ προσώπου μου»[1] τοῦτο λέγει ἀντὶ τοῦ, ὃς σπουδὴν θήσεται **419** ὥσπερ τις πρόδρομος διαπράξασθαι τὰ ἐμοί γε δοκοῦντα - παρέσομαι δὲ ἀθρόον ἐν αὐτῷ κἀγὼ διὰ τῶν ἔργων ἐμαυτὸν δεικνὺς ἐν τῷ ναῷ ἐπεὶ καὶ ἐν ἅπασι τοῖς γινομένοις ὅρῳ Θεοῦ ἡ μὲν ὑπουργία νοεῖται τῶν Ἀγγέλων, Θεὸς δὲ ὁ ἐν αὐτοῖς ἐργαζόμενος δι' ὧν ἐπιτάττει γίγνεσθαι. Οὕτω καὶ τὴν τοῦ μάννα τροφὴν Ἀγγέλων μὲν ὡς ὑπηρετησαμένων λέγει, «ἄρτον» γάρ, φησίν, «ἀγγέλων ἔφαγεν ἄνθρωπος»[2], Θεοῦ δὲ ὡς κελεύσαντος δοθῆναι, «ἐνετείλατο γὰρ νεφέλαις ὑπεράνωθεν καὶ θύρας οὐρανοῦ ἀνέῳξε καὶ ἔβρεξεν αὐτοῖς μάννα φαγεῖν»[3]. Τὸ δέ «ἥξει»[4] συνήθως λέγει ὡς ἂν ἐν τοῖς ὑπουργίᾳ τοῦ Ἀγγέλου γιγνομένοις Θεοῦ διαφαινομένου τοῦ τῶν ἀποτελουμένων αἰτίου· οἷόν ἐστι καὶ παρὰ τῷ μακαρίῳ Δαβὶδ τό «ἔκλινεν οὐρανοὺς καὶ κατέβη, καὶ γνόφος ὑπὸ τοὺς πόδας αὐτοῦ»[5], ἵνα εἴπῃ, ὅτι παραγεγονότος εἰς βοήθειαν ἡμετέραν ἐκ τῶν ἔργων ἐλάβομεν αἴσθησιν. Ὅθεν εἰπών, ὅτι «ἥξει εἰς τὸν ναὸν ἑαυτοῦ Κύριος, ὃν ὑμεῖς ἐζητεῖτε», ἐπήγαγεν, «καὶ ὁ ἄγγελος τῆς διαθήκης, ὃν ὑμεῖς θέλετε»[6], δεικνὺς ὅτι ἐν τοῖς ὑπουργίᾳ τοῦ Ἀγγέλου γιγνομένοις τὴν παρουσίαν ἐνδείξεται τὴν οἰκείαν ὁ Θεός. Ἐγώ τε οὖν, φησίν, ἐλεύσομαι, ὃν τιμωρὸν ἐπιζητεῖτε τῶν πλημμελουμένων, παρέσται δὲ καὶ ὁ Ἄγγελος ὁ ταῖς συνθήκαις ὑπηρετησάμενος, αἷς πεποίηκα πρὸς ὑμᾶς πολλάκις, ὃν ἐπιζητοῦντες εὑρήσετε τῶν πρὸς ἐμὲ συνθηκῶν ὑμῶν τιμωρούμενον τὴν παράβασιν. Ταῦτα μὲν δὴ τοῖς προῤῥηθεῖσιν ἀκολούθως εἴρηκεν ὁ Προφήτης, τὸ δὲ ἐπὶ τῆς τοῦ μακαρίου Ἰωάννου τοῦ Βαπτιστοῦ παρουσίας τὴν φωνὴν εἰρῆσθαι ταύτην οὐ θαυμαστόν[7], ἐκ τῶν πραγμάτων ἐπαληθευούσης τότε τῆς φωνῆς, τῷ παραγίνεσθαι μὲν πρόδρομον καὶ ὑπηρέτην τῶν

---

1. Μαλ. 3,1. **2.** Ψαλ. 77,25. **3.** Ψαλ. 77,23-24. **4.** Μαλ. 3,1. **5.** Ψαλ. 17,10. **6.** Μαλ. 3,1. **7.** Πρβλ. Ματθ. 11,10.

ὡρισμένων τὸν μακάριον Ἰωάννην ἅμα δὲ αὐτῷ παρόντα φανῆναι καὶ τὸν ὑπ' αὐτοῦ μαρτυρούμενον Δεσπότην Χριστόν[1], ἐν ᾧπερ ἡ πάντων ἀνθρώπων ἤμελλεν οἰκονομεῖσθαι σωτηρία. Ἀκολουθῶν μέντοιγε ὁ Προφήτης ἑαυτῷ ἐπάγει.

3,1 «Ἰδοὺ ἔρχεται, λέγει Κύριος παντοκράτωρ. Καὶ τίς ὑπομενεῖ ἡμέραν εἰσόδου αὐτοῦ; ἢ τίς ὑποστήσεται ἐν τῇ ὀπτασίᾳ αὐτοῦ;»

420 Ἐπειδὰν γὰρ παραγίνηται, φησίν, ὁ Θεὸς τιμωρὸς ἐπιφαινόμενος τῶν οὐ δεόντως γινομένων, οὐθεὶς ὑμῶν τῶν ταῦτα νῦν λέγειν τολμώντων ὑποστήσεται τῆς τιμωρίας τὸ μέγεθος. Δῆλος δέ ἐστιν ἐν τούτοις τὰ ἐπὶ τῶν Μακκαβαίων αὐτοῖς μηνύων κακά, ἅπερ τῆς ἑαυτῶν ἕνεκεν ὑπομεμενήκασι κακίας. Ὡς ὅ γε αὐτὴν τὴν φωνὴν ἁρμόττειν οἰόμενος τῷ Δεσπότῃ Χριστῷ ὡς ἂν περὶ αὐτοῦ καὶ οὐχ ἑτέρου του ῥη**[621]**θεῖσαν, ἔοικεν ἀγνοεῖν τὸ διάφορον τῶν ἐνταῦθά τε γεγραμμένων καὶ τῶν ἐπὶ τῆς παρουσίας οἰκονομηθέντων τοῦ Δεσπότου Χριστοῦ, ὃς εἰ καὶ κριτοῦ δίκην[2] διέκρινεν ἐν Ἰουδαίοις τοὺς φαύλους ἀπὸ τῶν κρειττόνων, τοὺς μὲν ἐπ' αὐτὸν πεπιστευκότας ἐπὶ τὸ κρεῖττον μεταστήσας τοὺς ἠπιστηκότας δὲ παραδοὺς τιμωρίᾳ[3], ἀλλ' εὔδηλον, ὅτι τῷ κοινῷ λόγῳ σκοπὸν τῆς οἰκείας ἔσχηκε παρουσίας, ὃν ὁ μακάριος Ἰωάννης δεδήλωκεν εἰπών· «Ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου»[4], καὶ τὰ ἐφεξῆς δὲ ἔτι μᾶλλον δείκνυσι τῶν ῥημάτων τὸν σκοπόν. Ἐπάγει γάρ.

3,2-4 «Διότι αὐτὸς εἰσπορεύεται ὡς πῦρ χωνευτηρίου καὶ ὡς πόα πλυνόντων· καὶ καθιεῖται χωνεύων καὶ καθαρίζων ὡς τὸ ἀργύριον καὶ τὸ χρυσίον· καὶ καθαριεῖ τοὺς υἱοὺς Λευὶ καὶ ἐκχεεῖ αὐτοὺς ὡς τὸ χρυσίον καὶ ὡς τὸ ἀργύριον· καὶ ἔσονται τῷ Κυρίῳ προσάγοντες θυσίαν ἐν δικαιοσύνῃ· καὶ ἀρέσει τῷ Κυρίῳ θυσία Ἰούδα ἐν Ἰερουσαλὴμ καθὼς αἱ ἡμέραι τοῦ αἰῶνος καὶ καθὼς τὰ ἔτη τὰ ἔμπροσθεν»

Ἀλλὰ γάρ, ἔσται τι, φησίν, κέρδος ἐκ τῆς ἐπαχθησομένης τότε

1. Πρβλ. Ἰω. 1,15. **2.** Πρβλ. Ἰω. 5,22,27-29. **3.** Πρβλ. Μάρκ. 16,16. Ἰω. 3,18. **4.** Ἰω. 1,29.

τιμωρίας ὑμῖν. Δίκην μὲν γὰρ πυρὸς ἐν χωνείᾳ ἀργύριόν τε καθαίροντος καὶ χρυσίον ἢ καὶ πόας διὰ τῶν πλυνόντων καθαιρούσης ἐσθῆτα ταῖς συμφοραῖς ταῖς τηνικαῦτα ἐπαγομέναις ὑμῖν καθαριεῖ **421** πάντας τοὺς τὴν ἱερωσύνην τολμῶντας ἐκτελεῖν ἀδοκίμως[1], ὥστε αὐτοὺς τοῖς ἐπιγινομένοις σωφρονισθέντας κακοῖς προσάγειν λοιπὸν τῷ Θεῷ θυσίας, ὡς νόμιμον προσάγειν Θεῷ προεστῶτι τοῦ δικαίου, ᾧ δὴ μετὰ πολλοῦ τοῦ δέους τὴν λειτουργίαν προσῆκεν ἐκπληροῦν, ὡς εἰδότι καὶ τιμωρεῖσθαι τοὺς καταμελεῖν ἐθέλοντας αὐτοῦ. Τότε δή, φησίν, Ἰουδαῖοι ἐπὶ τῆς Ἱερουσαλὴμ ἀρεστὰς προσοίουσι τῷ Θεῷ θυσίας ἀνάλογον τῷ πρόσθεν χρόνῳ[2], ἐν ᾧπερ τοῖς γεγονόσι κατὰ καιρὸν δικαίοις ἐπιμελησαμένοις τοῦ προσηκόντος τὰς ἑαυτῶν προσάγειν θυσίας νόμιμον ἦν. Οὔτε δὲ τό «καθαριεῖ τοὺς υἱοὺς Λευί»[3], οὔτε τό «ἀρέσει τῷ Κυρίῳ θυσία Ἰούδα ἐν Ἱερουσαλήμ»[4] ἁρμόσει, εἰ τῷ Δεσπότῃ Χριστῷ τις προσήκειν οἴοιτο τὰ λεγόμενα· οὐδὲ γὰρ υἱοὶ τοῦ Λευὶ μόνοι τὸν καθαρμὸν ἐδέξαντο τότε, ἀλλὰ πάντες ἄνθρωποι, οἷσπερ οὖν ἁρμόττουσα ἡ τοῦ μακαρίου Παύλου φωνή, «ἐκκαθάρατε τὴν παλαιὰν ζύμην, ἵνα ἦτε νέον φύραμα, καθώς ἐστε ἄζυμοι»[5]. Ἀλλ' οὐδὲ ἡ Ἰούδα θυσία ἐν Ἱερουσαλὴμ δεκτὴ τότε γέγονε τῷ Θεῷ, τοὐναντίον μὲν οὖν πεπαυμένης ἁπάσης νομικῆς θυσίας ἐν Ἱερουσαλὴμ γινομένης, ἅτε καὶ συγκαταλελυμένης τῇ τοῦ τόπου παρατηρήσει, ἀνεδείχθη θυσία ἀπόῤῥητός τε καὶ λογική, ἣν ἐπὶ μνημοσύνῳ τοῦ τε πάθους τοῦ **[624]** δεσποτικοῦ καὶ τῆς ἐκεῖθεν ἀναστάσεως οὐκ ἐν Ἱερουσαλήμ, ἀλλὰ πανταχοῦ γῆς οἱ πεπιστευκότες ἐπιτελοῦμεν ὁμοίως. «Πίστευε» γάρ «μοι», φησίν, «γύναι, ὅτι ἔρχεται ὥρα ὅτε οὔτε ἐν Ἱεροσολύμοις οὔτε ἐν τῷ τόπῳ τούτῳ προσκυνήσετε τῷ Πατρί»[6], καὶ τὴν αἰτίαν λέγων, «Πνεῦμα ὁ Θεός, καὶ τοὺς προσκυνοῦντας αὐτὸν ἐν πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν· καὶ γὰρ ὁ Πατὴρ τοιούτους ζητεῖ τοὺς προσκυνοῦντας αὐτόν»[7]· σαφῶς δεικνύς, ὅτι ἐκείνους μὲν ἀπεπέμψατο τοὺς τῇ τε Ἱερουσαλὴμ καὶ τῇ Σαμαρείᾳ περιγράφοντας τὴν προσκύνησιν τὴν θείαν, περὶ πολλοῦ δὲ ποιεῖται τούτους τοὺς ἐραστὰς τῆς ἀλη-

---

1. Πρβλ. Μαλ. 3,2-3. **2.** Πρβλ. Μαλ. 3,3-4. **3.** Μαλ. 3,3. **4.** Μαλ. 3,4. **5.** Α΄ Κορ. 5,7. **6.** Ἰω. 4,21. **7.** Ἰω. 4,23-24.

θείας, οἳ πανταχοῦ γῆς ὁμοίως προάγουσι τὴν θυσίαν τῷ τῶν ἁπάντων ποιητῇ Θεῷ καὶ πανταχοῦ γε παρόντι ὁμοίως. **422** Ἁρμοττόντως δὲ ταῦτα τῷ κατὰ τοὺς Μακκαβαίους εἴρηται καιρῷ, ὅτε πλείστης ὅσης παρά τε τῶν ἱερατεύειν δοκούντων καὶ παρὰ τῶν τοῦ λαοῦ γινομένης τῆς πλημμελείας, παρέδωκε μὲν αὐτοὺς ὁ Θεὸς τῷ πολέμῳ τῶν ἐκ τῆς Μακεδονικῆς βασιλευόντων διαδοχῆς, ὑφ᾽ ὧν δὴ πλείστοις περιεβλήθησαν κακοῖς, τῶν δὲ περὶ τὸν Μακκαβαῖον Ἰούδαν τοῦ νόμου προστάντων τοῦ θείου καὶ τὸν ὑπὲρ αὐτοῦ πόλεμον ἀναδεξαμένων πρὸς τοὺς τότε βασιλεύοντας τῶν Μακεδόνων πολλή τις ἐπὶ τὸ κρεῖττον μεταβολὴ περὶ ἅπαν γέγονε τὸ ἔθνος. Τετυχηκότες γὰρ τῆς θείας ῥοπῆς οἱ Μακκαβαῖοι τούς τε βασιλέας κατηγωνίσατο καὶ τοὺς παρ᾽ αὐτοῖς τῶν μοχθηρῶν τιμωρησάμενοι ἐν εὐσταθείᾳ τε καὶ εὐκοσμίᾳ τὸ ἔθνος ἅπαν παρεσκεύασαν εἶναι, ὥστε καὶ τοὺς νόμους τοὺς θείους κρατεῖν παρ᾽ αὐτοῖς, παρανομίαν τε πᾶσαν ἐξ αὐτῶν ἀπελαθῆναι πρότερον κρατοῦσαν, καὶ δὴ καὶ τὴν ἱερωσύνην πᾶσάν τε τὴν ταύτῃ καθήκουσαν λειτουργίαν μετὰ τοῦ προσήκοντος ἐκτελεῖσθαι· ὅπερ οὖν καὶ ὁ μακάριος Ζαχαρίας ἐν τοῖς ἑαυτοῦ δεδήλωκε λόγοις. Τοῦτο τοίνυν κἀνταῦθά φησιν, ὅτι ἐπειδὴ τὴν δικαίαν ζητεῖτε κρίσιν[1], ἔσται καιρός, ὁπηνίκα τιμωρήσομαι μὲν ὑμῶν τὰς πλημμελείας, σωφρονεστέρους δὲ ὑμᾶς διὰ τῶν ἐπιγινομένων ἐργασάμενος κακῶν, καὶ ὥσπερ τινι χωνείᾳ τῶν παλαιῶν ἐκκαθήρας πλημμελημάτων παρασκευάσω δὴ πάντων τε ἐπιμελεῖσθαι τῶν Θεῷ δοκούντων, καὶ δὴ καὶ τὴν τῶν θυσιῶν προσκομιδὴν ἀρεσκόντως ποιεῖσθαι Θεῷ[2]· οἷς ἀκολούθως ἐπειδὴ τῆς ἐπαχθησομένης αὐτοῖς τότε τιμωρίας τὸ κέρδος ἔφη, ὡς ἂν ἐντελεστέραν προσαγάγοι τοῖς ἀκούουσι τὴν διόρθωσιν, οὕτω φησίν.

3,5 «Καὶ προσελεύσομαι πρὸς ὑμᾶς ἐν κρίσει»

Ἀντὶ τοῦ φανοῦμαι ἐν ὑμῖν τότε κρίνων τοῖς παρ᾽ ὑμῶν πραττομένοις.

1. Πρβλ. Ἰω. 7,24. **2.** Πρβλ. Μαλ. 3,2-4.

3,5 «Καὶ ἔσομαι μάρτυς ταχὺς ἐπὶ τοὺς φαρμακοὺς καὶ ἐπὶ τὰς μοιχαλίδας καὶ ἐπὶ τοὺς ὀμνύοντας τῷ ὀνοματί μου ἐπὶ ψεύδει καὶ ἐπὶ τοὺς ἀποστεροῦντας μισθὸν μισθωτοῦ καὶ καταδυναστεύοντας χήρας καὶ κονδυλίζοντας ὀρφανοὺς καὶ τοὺς ἐκκλίνοντας κρίσιν προσηλύτου καὶ τοὺς μὴ φοβουμένους με, λέγει Κύριος παντοκράτωρ»

423 Δεικνὺς διὰ τούτων, ὑπὲρ ὁπόσων ὧν διαπράττονται τότε κακῶν δώσουσι δίκας. Τὸ δέ «μάρτυς ταχύς»[1], ἵνα εἴπῃ, ὀξεῖαν ἐπάγων τὴν τιμωρίαν, ὡς ἂν ἀκριβῶς τὰ καθ' ὑμᾶς ἐπιστάμενος. Ἐπὶ πάντας δὴ τούτους, φησίν, καὶ καθάπαξ δὲ ἐφ' ἅπαντας, ὅσοι τοῦ φόβου καταμελοῦντες τοῦ ἐμοῦ τοῖς χείροσιν ἀδεῶς προστετήκασιν, τοιαύτην ἐπάξω τιμωρίαν. Εἶτα ἐπάγει.

3,6-7 «Διότι ἐγὼ Κύριος ὁ Θεὸς ὑμῶν, καὶ οὐχ ἠλλοίωμαι· καὶ ὑμεῖς, υἱοὶ Ἰακώβ, οὐκ ἀπέχεσθε ἀπὸ τῶν ἁμαρτιῶν τῶν πατέρων ὑμῶν, ἐξεκλίνατε νόμιμά μου καὶ οὐκ ἐφυλάξατε»

[625] Ἐγὼ μὲν γὰρ ὁ αὐτός εἰμι πάντοτε ἐμαυτῷ καὶ ἀνεξικακεῖν ὅτε προσῆκεν εἰδὼς καὶ τιμωρίας καιρὸν ἐπιστάμενος, ὑμεῖς δὲ ἀκριβεῖς ἐστε μιμηταὶ τῶν πατρῴων ἁμαρτημάτων παραπλησίως ἐκείνοις τῶν τε νόμων ἐκτραπέντες τῶν ἐμῶν καὶ τῆς φυλακῆς αὐτῶν οὐδένα ποιούμενοι λόγον[2], ὑπὲρ ὧν δὴ καὶ τὴν τιμωρίαν δέξεσθε δικαίαν. Μεθίσταται δὲ πάλιν ὁ Προφήτης ἐφ' ἑτέραν πλημμέλειαν, ἣν περί τε τὰς ἀπαρχὰς ἐπλημμέλουν καὶ τὰς δεκάτας, ἀποδιδόναι ταύτας κατὰ τὴν τοῦ νόμου διάταξιν οὐκ ἐθέλοντες.

3,7 «Ἐπιστρέψατε πρός με, καὶ ἐπιστραφήσομαι πρὸς ὑμᾶς, λέγει Κύριος παντοκράτωρ»

Νεύσατε δὲ πρός με[3], φησίν, ὡς ἂν ἀκόλουθα ὑμῖν ὑπάρξειεν καὶ τὰ παρ' ἐμοῦ.

3,7 «Καὶ εἴπατε Ἐν τίνι ἐπιστρέψωμεν;»

Ἀλλὰ γὰρ οἴεσθε, φησίν, μηδὲ δεῖσθαί τινος ἐπιστροφῆς, οὕτως ἀναίσθητόν τινα ἀπ' ἐμοῦ πεποίησθε τὴν ἐκτροπήν.

---

1. Μαλ. 3,5. **2.** Πρβλ. Μαλ. 3,6-7. **3.** Πρβλ. Μαλ. 3,7.

3,8 «Εἰ πτερνίζει ἄνθρωπος Θεόν; Διότι ὑμεῖς πτερνίζετέ με»

Καὶ ταῦτα, φησίν, οὕτω νομίζετε ἀπατᾶν με οἰόμενοι, ὅπερ οὖν ἐπιχειρεῖν ἀνθρώποις περὶ Θεὸν τῆς ἐσχάτης ἐστὶν εὐηθείας τε καὶ μανίας.

3,8 «Καὶ εἴπατε Ἐν τίνι ἐπτερνίσαμέν σε;»

424 Ἀλλ' οὐδὲ τοῦτο ποιοῦντες αἴσθησιν ἔχετε τῆς ἀτοπίας τοῦ γιγνομένου. Εἶτα τὸ ἁμάρτημα λέγων.

3,8-9 «Ὅτι τὰ ἐπιδέκατα καὶ αἱ ἀπαρχαὶ μεθ' ὑμῶν εἰσιν· καὶ ἀποβλέποντες ὑμεῖς ἀποβλέπετε εἰς αὐτό, καὶ ὑμεῖς ἐμὲ πτερνίζετε»

Τὰς γὰρ δεκατιὰς καὶ τὰς ἀπαρχὰς οὐ κατὰ τὸ νενομισμένον προσάγετε τοῖς ἱερεῦσιν, ἀλλ' ἔχετε παρ' ἑαυτοῖς[1]. Εἶτά τι κέρδος ἑαυτοῖς ἐντεῦθεν προξενεῖν νομίζοντες καὶ ὡς ἐπί τινα μεγίστην ὠφέλειαν ἀφορῶντες εἰς ταῦτα δή, ἃ παρ' ὑμῶν ἀποδίδοσθαι προσῆκον ἦν, τοῦτο μὲν εἰλικρινῶς ποιεῖν οὐκ ἐθέλετε, βραχέων δέ τινων καὶ εὐτελῶν προσαγωγῇ τὸ νόμιμον ἀποδιδόναι προσποιεῖσθε, ὅπερ οὖν οὐδὲν ἕτερόν ἐστιν ἀλλ' ἢ ἀπατᾶν με νομιζόντων. Ἀπάτης γὰρ εἴη ἂν τὸ μὴ εἰλικρινῶς τὸ νόμιμον χρέος ἀποπληροῦν, πανουργεῖν δὲ αὐτοῦ περὶ τὴν ἀποπλήρωσιν πειρᾶσθαι. Εἶτα ἐπάγει.

3,9-10 «Τὸ ἔτος συνετελέσθη. Καὶ εἰσηνέγκατε πάντα τὰ ἐκφόρια εἰς τοὺς θησαυρούς, καὶ ἡ ἁρπαγὴ τοῦ πτωχοῦ ἐν τοῖς οἴκοις ὑμῶν»

Τὸ μὲν γὰρ ἔτος εἴληφε πέρας[2], καὶ αἱ τοῦ ἔτους τροπαὶ κατὰ τὴν ἐμὴν διάταξιν τὴν ἀκολουθίαν πεπληρώκασι τὴν οἰκείαν ἀφ' ὧν ἡ τῶν καρπῶν γέγονε φορά. Εἶτα ὑμεῖς ἐντελεῖς τοὺς ἀπὸ τῆς γῆς κομισάμενοι καρποὺς δέον ὑπὲρ τούτων ἀποτίσαι τῷ Θεῷ τὴν εὐχαριστίαν διὰ τῆς τῶν ἀπαρχῶν καὶ τῶν δεκατιῶν προσκομιδῆς, τοῦτο μὲν οὐ πεποιήκατε, βραχέα δέ τινα μόνον οὐχὶ προσ-

1. Πρβλ. Μαλ. 3,8. 2. Πρβλ. Μαλ. 3,9.

ρίψαντες τοῖς ἱερεῦσιν εἰς τοὺς θησαυροὺς ἅπαντα τοὺς οἰκείους εἰσηνέγκατε, οὐδὲ ἐκεῖνο λογισάμενοι, ὅτι οὐδὲν ἀπέοικε τοῦτο τοῦ τὰς τῶν πενήτων διαρπάζειν τροφάς[1], ὑπὲρ ὧν ταῦτα δίδοσθαι κεκέλευσται παρ' ὑμῶν, καὶ ὡς ἂν οἵ τε τῷ θυσιαστηρίῳ λειτουργοῦντες οἵ τε διὰ πενίαν τῷ ναῷ προσεδρεύοντες τῷ ἐμῷ τὰς ἀναγκαίας κομίζοιντο χρείας. Οἷς ἀκολούθως ἐπήγαγεν.

3,10-12 «Ἐπιστρέψατε δὴ ἐν τούτῳ, λέγει Κύριος παντοκράτωρ, ἐὰν μὴ ἀνοίξω ὑμῖν τοὺς καταῤῥάκτας τοῦ οὐρανοῦ καὶ ἐκχεῶ ὑμῖν τὴν εὐλογίαν μου ἕως τοῦ ἱκανωθῆναι· καὶ διαστελῶ ὑμῖν εἰς βρῶσιν καὶ οὐ μὴ διαφθείρω ὑμῶν τὸν καρπὸν τῆς γῆς καὶ οὐ μὴ ἀσθενήσῃ ὑμῶν ἡ ἄμπελος ἐν τῷ ἀγρῷ, λέγει Κύριος παντοκράτωρ. Καὶ μακαριοῦσιν ὑμᾶς πάντα τὰ ἔθνη, διότι ἔσεσθε ὑμεῖς γῆ θελητή, λέγει Κύριος παντοκράτωρ»

425[628] Ἀλλὰ γάρ, φησίν, μεταβαλόμενοι διόρθωσιν τούτων δὴ ποιήσασθε πάντων. Ὄψεσθε γάρ, ὅπως μὲν ὑμῖν πλούσιον παρέξω τὸν ὑετόν, ὅπως δὲ ὑμῖν τῶν καρπῶν παρέξω τὴν ἀφθονίαν εἰς κόρον — τοῦτο γὰρ λέγει, «τὴν εὐλογίαν μου ἕως τοῦ ἱκανωθῆναι»[2] —, ὥστε πλουσίαν ἔχειν ὑμᾶς τὴν ἐξ αὐτῶν ἀπόλαυσιν· τὸ γὰρ «καὶ διαστελῶ ὑμῖν εἰς βρῶσιν»[3], τοῦτο σημαίνει. Διαφυλαχθήσονταί τε ὑμῶν ἀδιάφθοροι πάντες οἱ καρποί, πλουσίαν ὑμῖν καὶ τῆς ἀμπέλου τὴν οἰκείαν ἀπόλαυσιν παρεχούσης, ὥστε ἐκ τῆς πολιτευομένης ἐν ὑμῖν εὐθηνίας ἅπαντας δὴ τοὺς ἐκτὸς μακαρίζειν ὑμᾶς ὅτι ὄντως ὑμῖν τὰ κάλλιστα βεβούληται Θεός[4], ὥστε καὶ τῇ γῇ τῇ ὑμετέρᾳ πλείστην παρὰ τοὺς λοιποὺς παρέχειν τὴν ἀφθονίαν τῶν καρπῶν. Εἶτα ἐπὶ τοὺς πρόσθεν ἀνατρέχει λόγους ὡς ἂν δυσσεβεῖς καὶ μοχθηρούς, δευτέρας ἀξιῶν νουθεσίας, καί φησιν.

3,13 «Ἐβαρύνατε ἐπ' ἐμὲ τοὺς λόγους ὑμῶν, λέγει Κύριος παντοκράτωρ»

Χαλεπαῖς, φησίν, λοιδορίαις ἐχρήσασθε κατ' ἐμοῦ.

---

1. Πρβλ. Μαλ. 3,10. **2.** Μαλ. 3,10. **3.** Μαλ. 3,11. **4.** Πρβλ. Μαλ. 3,12.

3,13 «Καὶ εἴπατε Ἐν τίνι κατελαλήσαμέν σου;»

Εἶτα οὐδὲ αἴσθησιν τῆς τοσαύτης λαμβάνετε δυσφημίας. Διόλου γὰρ ὁ Προφήτης οὗτος τό «εἴπατε»[1] τέθεικεν, ὥσπερ ὀνειδίζων αὐτοῖς ἀναισθησίαν πολλήν, μεθ' ἧς ἔπραττον τὰ ἄτοπα, οὐδεμίαν ἐπ' αὐτοῖς λαμβάνοντες αἴσθησιν, ἀλλ' οὕτως ἐπὶ τοῖς ἁμαρτήμασι διατιθέμενοι τοῖς ἑαυτῶν, ὡς μηδὲ ἁμαρτάνειν ἡγεῖσθαι. **426** Εἶτα λέγων τὸ ἁμάρτημα, εἴπατε, φησίν, ὡς ἀνωφελὲς τὸ Θεῷ δουλεύειν, οὐδὲ γὰρ ἡμῖν προσεγένετό τι ὄφελος ἐπιμεληθεῖσι τῆς φυλακῆς τῶν παρ' αὐτοῦ προστεταγμένων, ἀλλ' οὐδὲ δεηθεῖσιν αὐτοῦ πολλάκις οὐδὲν ὑπῆρξεν πλέον[2]. Περιέστηκε δὲ εἰς τοῦτο τὰ πράγματα, ὥστε ἡμᾶς μὲν εἶναι ἐν ἀνάγκαις καὶ θλίψεσιν, μακαρίζειν δὲ ἑτέρους οὐδένα τῶν αὐτῷ δοκούντων πεποιημένους λόγον, οἷς ἐπὶ τὸ κρεῖττον προβαίνει τὰ πράγματα, ἀνθεστηκόσι μὲν αὐτῷ πάντοτε, βλαπτομένοις δὲ οὐδὲν ἐκ τούτου.

3,16 «Ταῦτα κατελάλησαν οἱ φοβούμενοι τὸν Κύριον, ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ»

Ταῦτα δή, φησίν, πρὸς ἀλλήλους λέγειν οὐκ ὤκνουν οἱ προσποιούμενοι παρὰ πάντας τοὺς ἀλλοτρίους τὸν φόβον ἔχειν τὸν ἐμόν. Οἷς προσεσχηκὼς ὁ Θεὸς ἐν γραφῇ τὴν μνήμην αὐτῶν τοῖς μετέπειτα καταλέλοιπεν[3], ὁπηνίκα μὲν δώσουσι δίκας οἱ τοῖς τοιούτοις κεχρημένοι λόγοις καὶ πρὸς πᾶν εἶδος παρανομίας ἑαυτοὺς ἐκδεδωκότες. Περιέσται δὲ πᾶν ὅ, τι ἀγαθὸν τοῖς ὄντως ἐπιμελομένοις τῶν νόμων τῶν ἐμῶν, οὕσπερ οὖν ἐν ἐκείνῳ τῷ καιρῷ, καθ' ὃν τιμωρήσομαι τοὺς φαύλους, τῆς κηδεμονίας ἀξιώσω τῆς ἐμῆς, οὕτως αὐτοὺς ἐν τοῖς οἰκειοτάτοις ἔχειν αἱρούμενος, καὶ πᾶν ὅ, τὶ κάλλιστον περὶ αὐτοὺς δοκιμάζων ποιεῖν, ὡς ἂν εἴ τις **[629]** περὶ υἱὸν ἑαυτοῦ διατεθείη πολλὴν τὴν εὐγνωμοσύνην ἐπιδεδειγμένον πάντοτε περὶ αὐτόν[4]. Εἶτα ἐπάγει.

---

1. Μαλ. 3,13. **2.** Πρβλ. Μαλ. 3,14. **3.** Πρβλ. Μαλ. 3,16. **4.** Πρβλ. Μαλ. 3,17.

3,18 «Καὶ ἐπιστραφήσεσθε καὶ ὄψεσθε ἀνὰ μέσον δικαίου καὶ ἀνὰ μέσον ἀνόμου καὶ ἀνὰ μέσον τοῦ δουλεύοντος Θεῷ καὶ ἀνὰ μέσον τοῦ μὴ δουλεύοντος αὐτῷ»

Τότε φανερὰ γενήσεται ἡ διάκρισις τῶν τε δικαίων καὶ τῶν παρανόμων, καὶ τῶν δουλεύειν τε ἐσπουδακότων Θεῷ καὶ τῶν μηδένα τούτου ποιεῖσθαι λόγον ἐθελόντων, τῆς τε τοῖς κακοῖς ἐπαγομένης τιμωρίας καὶ τῶν τοῖς εὐγνώμοσι περιγινομένων ἀγαθῶν, σαφῆ ποιουμένων τὴν διάκρισιν τῶν τε ὄντων ἀγαθῶν καὶ τῶν ὄντων κακῶν[1]. Λέγει δὲ καὶ ταῦτα ἀκολούθως τοῖς πρόσθεν περὶ τῶν ἐσομέ**427**νων κατὰ τὸν τῶν Μακκαβαίων καιρόν, ὅτι δὴ μάλιστα βαρυτάτην μὲν οἱ κακοὶ τοῦ λαοῦ τὴν τιμωρίαν ἐδέξαντο, μεγίστης δὲ ἐν ἅπασι τῆς θείας ἔτυχον ῥοπῆς οἱ τοῦ κρείττονος ἐρασταί. Ὅθεν εἰς βεβαίωσιν τῶν εἰρημένων ἐπάγει.

3,19 «Ὅτι ἰδοὺ ἡμέρα ἔρχεται καιομένη ὡς κλίβανος καὶ φλέξει αὐτούς, καὶ ἔσονται πάντες οἱ ἀλλογενεῖς καὶ πάντες οἱ ποιοῦντες ἄνομα καλάμη, καὶ ἀνάψει αὐτοὺς ἡ ἡμέρα ἡ ἐρχομένη, λέγει Κύριος παντοκράτωρ, καὶ οὐ μὴ ὑπολειφθῇ αὐτῶν ῥίζα οὐδὲ κλῆμα»

Ἐν ἐκείνῳ γάρ, φησίν, τῷ καιρῷ ὡς ὑπὸ πυρὶ φλεχθήσονται οἵ τε ἀλλότριοι πάντες καὶ οἱ τῆς ἀνομίας ἐργάται καλάμης δίκην ὑπὸ τῆς προσπιπτούσης αὐτοῖς ἀφανιζόμενοι τιμωρίας[2]. Καὶ περὶ μὲν οὖν τοὺς κακοὺς ταῦτά φησιν, τοῖς δὲ φοβουμένοις τί;

3,20 «Καὶ ἀνατελεῖ ὑμῖν τοῖς φοβουμένοις τὸ ὄνομά μου ἥλιος δικαιοσύνης καὶ ἴασις ἐν ταῖς πτέρυξιν αὐτοῦ»

Ὑμῖν δὲ πολλὴ μὲν περιέσται λαμπρότης, δικαίως ὑμῖν παρὰ τοῦ Θεοῦ χορηγουμένη ὑπὲρ τῆς εἰς αὐτὸν εὐνοίας, ἀπαλλάξει δὲ ὑμᾶς παντὸς κακοῦ ὥσπερ τισὶ πτέρυξι τῇ κηδεμονίᾳ σκέπων τῇ οἰκείᾳ. Καὶ διοίσετε, φησίν, οὐδὲν μοσχαρίων ἀπολυθέντων τε ἐκ δεσμῶν καὶ μετὰ πολλῆς σκιρτώντων τῆς ἡδονῆς[3]. Κρατήσετε γὰρ καὶ τῶν παρανομούντων, οἳ σποδοῦ δίκην ὑπὸ τοῖς ποσὶν

---

1. Πρβλ. Μαλ. 3,18. **2.** Πρβλ. Μαλ. 3,19. **3.** Πρβλ. Μαλ. 3,20.

ἔσονται τοῖς ὑμετέροις[1], κατὰ τὸν καιρὸν ἐκεῖνον οὐδεμιᾶς ἐπιμελείας ἤ τινος ἀξιούμενοι διορθώσεως ἔτι. Λέγει δὲ ταῦτα, ὡς πολλάκις ἔφην, ἐπὶ τοῦ καιροῦ γεγονότα τῶν Μακκαβαίων, ὁπηνίκα τὴν ἑαυτοῦ παρασχὼν ῥοπὴν ὁ Θεὸς ἐτιμωρήσατο μὲν τοὺς κακούς, ἐν ἀνέσει δὲ καὶ εὐπραγίᾳ κατέστησε τοὺς τῶν αὐτοῦ νομίμων ἀντεχομένους, οἳ καὶ ἐτιμωρήσαντο καὶ κατεκράτησαν παντελῶς τῶν ἐναντίων, οὐ τῶν παρὰ τοῖς ἀλλοτρίοις μόνον, ἀλλὰ γὰρ καὶ τῶν οἰκείων· ἀφ' ὧν δὴ καὶ δῆλον ἅπασιν ἐγένετο, ὅσον ἐστὶ τὸ μεταξὺ τῶν τε δουλευόντων Θεῷ καὶ τῶν τἀναντία φρονούντων, ἀφ' ὧν οἱ μὲν **428** βαρυτάτην ἐδέξαντο τιμωρίαν, οἱ δὲ ἐν εὐθηνίᾳ τε καὶ εὐπραγίᾳ κατέστησαν πλείστῃ. Ἡ μὲν δὴ πρὸς τὸν λαὸν προφητεία τοῦ μακαρίου Ἀγγέλου τοῦτον ἔσχε τὸν τρόπον[2], ἣν περὶ τῶν αὐτοῖς προσηκόντων κατά τε τὸν καιρὸν ἐκεῖνον κατά τε τὸν τῶν Μακκαβαίων ἐποιήσατο, ἐπειδὴ δὲ τελευταῖος οὗτος ἐγένετο Προφήτης ἁπάντων τῶν γραφῇ τὰς ἑαυτῶν παραδεδωκότων προφητείας, καλῶς ἔχειν ἡγήσατο λοιπὸν δεῖξαι μὲν τοῦ νόμου τὴν κατάλυσιν, δεῖξαι δὲ τὰ μετὰ τοῦτο ἐσόμενα. Διό φησιν.

3,24,22-23 «Μνήσθητε νόμου Μωσῆ τοῦ δούλου μου, καθότι ἐνετειλάμην αὐτῷ ἐν Χωρὴβ πρὸς πάντα τὸν Ἰσραὴλ προστάγματα καὶ δικαιώματα. Καὶ ἰδοὺ ἐγὼ ἀποστελῶ ὑμῖν Ἠλίαν τὸν Θεσβίτην πρὶν ἢ ἐλθεῖν τὴν ἡμέραν Κυρίου τὴν μεγάλην καὶ ἐπιφανῆ, ὃς ἀποκαταστήσει καρδίαν πατρὸς πρὸς υἱὸν καὶ καρδίαν ἀνθρώπου πρὸς τὸν πλησίον αὐτοῦ, μὴ ἐλθὼν πατάξω τὴν γῆν ἄρδην»

[632]Ἀλλὰ γὰρ ἐφ' ἅπασι τοῖς εἰρημένοις ἐσχάτην ταύτην ὑμῖν παραδίδωμι τὴν ἐντολήν, ἵν' ἔχητε τὸν νόμον ἐν μνήμῃ τὸν ἐμόν, ὃν διὰ τοῦ Μωσέως πρὸς ἅπαντα δέδωκα τὸν Ἰσραήλ, ἅτινα πράττειν αὐτοὺς ἐφ' ἑκάστῳ χρή[3], σαφῶς εἰρηκὼς ὥσπερ οὖν πρῶτον τοῦ πείθεσθαι παρέξετε γνώρισμα τὸ τὸν Δεσπότην παραγεγονότα δέξασθαι Χριστὸν ὑπὲρ τῆς ἁπάντων ἀνθρώπων φανούμενον σωτηρίας, ὃς παύσει μὲν τὸν νόμον, ἐκφανεῖ δὲ τὴν τελειό-

---

1. Πρβλ. Μαλ. 3,21. **2.** Πρβλ. Μαλ. 1,1. **3.** Πρβλ. Μαλ. 3,24.

τητα τὴν οἰκείαν[1]. Ὅπερ οὖν καλῶς μὲν εἶχεν ὑμᾶς εὐθὺ καὶ κατὰ πρώτας φανέντι πιστεῦσαι καὶ γνῶναι τοῦτον ὄντα ἐκεῖνον, ὃν Μωσῆς τε καὶ πάντες ἐμήνυον οἱ Προφῆται τέλος μὲν ἐπιθήσοντα τῷ νόμῳ, τὴν κοινὴν δὲ ἁπάντων ἀνθρώπων ἐκκαλύψοντα σωτηρίαν, ὥστε κἀκεῖνο δῆλον ἅπασι γενέσθαι, ὅτι δὴ τοῦτο πάσης κατὰ τὸν νόμον οἰκονομίας ἐστὶ τό τε κεφάλαιον καὶ τὸ μέγιστον ἀγαθόν, τὸ πάντας ἀνθρώπους τῷ Δεσπότῃ προσαγαγεῖν Χριστῷ ἐπὶ τοῖς τοσούτοις ἀγαθοῖς **429** κατὰ τὸν καιρὸν φανουμένῳ τὸν οἰκεῖον. Ἐπειδὴ δὲ καὶ ἐπὶ τῆς ἐκείνου δείξεως τὴν ἀγνωμοσύνην ἐπιδείξετε τὴν οἰκείαν, Ἠλίας ἀποσταλήσεται πρὸς ὑμᾶς ὁ μακάριος πρὸ τῆς δευτέρας τοῦ Δεσπότου Χριστοῦ παρουσίας[2], ἣν ἀπ' οὐρανῶν ποιήσεται, ὥστε τοὺς διὰ τὴν εὐσέβειαν πρὸς ἀλλήλους διῃρημένους συνάψαι καὶ δὴ καὶ πατέρας διὰ τῆς κατὰ τὴν εὐσέβειαν ἐπιγνώσεως εἰς τὴν τῶν τέκνων ἀγαγεῖν ὁμόνοιαν, διῃρημένους πρότερον ἐκ τῆς κατὰ τὴν εὐσέβειαν αἰτίας, πάντας τε ἀνθρώπους συντόμως εἰπεῖν εἰς μίαν καὶ τὴν αὐτὴν καταστῆσαι συνάφειαν[3], τῶν ἐν ἀσεβείᾳ τότε καταλαμβανομένων δεχομένων μὲν παρ' αὐτοῦ τὴν τῆς ἀληθείας ἐπίγνωσιν ἐχομένων δὲ καὶ τὴν ἐντεῦθεν πρὸς τοὺς εὐσεβεῖς κοινωνίαν. Ταῦτα δὲ ποιήσεται τῆς ἁπάντων ἀνθρώπων φροντίζων σωτηρίας ὁ Θεός, ὡς ἂν μὴ μένοντες ἐπὶ τῆς ἀσεβείας φοβερᾶς αὐτοῦ τῆς παρουσίας πειραθῶσιν ἐπὶ ἀφανισμῷ παντελεῖ τῶν μοχθηρῶν γινομένης.

1. Πρβλ. Ρωμ. 10,4. **2.** Πρβλ. Μαλ. 3,22. **3.** Πρβλ. Μαλ. 3,23.

ΕΙΣ ΤΟΝ ΗΣΑΪΑΝ*

Ἠσ. 10,22

25 Διὰ δὲ τοῦ εἰπεῖν «κατάλειμμα»[1] τὸ εὐαρίθμητον τῶν παρὰ Ἰουδαίοις σωθησομένων ἐδήλωσεν, οὓς «κατάλειμμα» εἶπεν ὅτι ἐκ τοῦ πλήθους αὐτῶν ἐκλεξάμενος αὐτοὺς ὡς βελτίους κατέλιπεν ἑαυτῷ καὶ ἀφώρισεν.

Ἠσ. 10,23

Ὅπερ διὰ τῶν μακαρίων Ἀποστόλων εἰς ἔργον προῆλθεν, οἳ τὴν πολλὴν τῆς παλαιᾶς νομοθεσίας περίοδον διαγράφαντες εἰς σύντομον πολιτείας ὁδὸν διεβίβαζον τὰ ἔθνη[2] γράφοντες· «ὡς ἔδοξε τῷ Ἁγίῳ Πνεύματι καὶ ἡμῖν μηδὲν πλέον ὑμῖν ἐπιτίθεσθαι βάρος πλὴν τῶν ἐπάναγκες τούτων ἀπέχεσθαι εἰδωλοθύτων καὶ αἵματος καὶ πνικτοῦ καὶ πορνείας»[3]. Εἰς ταῦτα γὰρ ἐκ πολλῶν περιστήσαντες τὴν παρατήρησιν εὐχερῆ τῆς δικαιοσύνης τὴν πολιτείαν κατεσκεύασαν. Ὅπερ καὶ ὁ θεῖος Ἀπόστολος διδάσκει λέγων, «τὸν νόμον τῶν ἐντολῶν ἐν δόγμασι καταργήσας»[4]. Ἐπεὶ οὖν πολλὰ διέστειλεν ὁ νόμος περὶ βρωμάτων[5], οἱ Ἀπόστολοι μόνον ἐκέλευσαν φυλάττεσθαι ἀπὸ τῶν εἰλωλοθύτων καὶ αἵματος καὶ πνικτοῦ[6].

---

* Κατὰ τὴν ἔκδοσιν A. Möhle, Theodoret von Kyros, Kommentar zu Jesaia (Mitteilungen des Septuaginta - Unternehmens, τ. 5), Berlin 1932, σ. 25, σημ. 1.

1. Ἠσ. 10,22. **2.** Πρβλ. Ἠσ. 10,23. **3.** Πράξ. 15,28-29. **4.** Ἐφ. 2,15. **5.** Πρβλ. Λευϊτ. κεφ. 11. **6.** Πρβλ. Πράξ. 15,20,28-29.

ΕΙΣ ΤΟ ΚΑΤΑ ΜΑΤΘΑΙΟΝ

Α΄*

1

Ματθ. 1,8

96 Ζητεῖται τίνος ἕνεκεν τούτων οὕτως, ἐμνήσθη ὁ εὐαγγελιστής. Δέον ἄρα, εἴπερ ἔφη ὅτι «Ἰωρὰμ ἐγέννησε τὸν Ὀχοζίαν»[1] εἰπεῖν· «Ὀχοζίας δὲ ἐγέννησεν τὸν Ἰωάς, Ἰωὰς δὲ ἐγέννησεν τὸν Ἀμασίαν»[2], εἶτα κατὰ τάξιν τὴν ἀληθῆ καὶ προσήκουσαν εἰπεῖν· «Ἀμασίας δὲ ἐγέννησεν τὸν Ὀζίαν».

2

Ματθ. 1,16

Αἱ ἐπαγγελίαι πρὸς — ἐπιγράφεσθαι πατέρας ἐβούλετο**.

3

Ματθ. 1,16

Θεόδωρος δὲ ὁ Μοψουεστίας τὴν πρὸ ταύτης ἀποδοκιμάζων αἰτίαν καὶ ταύτην ἐγκρίνων φησίν· τούτοις κατὰ τὴν ἐμὴν κρίσιν πείθεσθαι ἀναγκαῖον· τὸ γάρ τοι «ὡς ἐνομίζετο»[3] παρὰ τῷ Λουκᾷ κείμενον — εἴ τις μὴ κατὰ τὴν προσφορὰν ἐξετάζοι τὰ ῥητά, τὴν

---

* Κατὰ τὴν ἔκδοσιν J. Reuss, Matthäus-Kommentare aus der griechischen Kirche (Texte und Untersuchungen zur Geschichte der altchristlichen Literatur 61), Berlin 1957, σσ. 96-135 (J. - P. Migne, PG 66, 705-713).

** Τὸ παραλειφθὲν κείμενον τῶν ὑπ' ἀριθμ. 2, 8, 10, 27, 29-30, 40-41, 58, 60, 88, 95, 107, 110 καὶ 112 ἀποσπασμάτων συμπεριλαμβάνεται εἰς τὰ ἔργα ἄλλων ἐκκλησιαστικῶν συγγραφέων, τὰ ὀνόματα τῶν ὁποίων ἀναφέρονται εἰς τὸν οἰκεῖον τόπον τῆς ὡς ἄνω κριτικῆς ἐκδόσεως τοῦ J. Reuss.

1. Ματθ. 1,8. **2.** Ματθ. 1,9. **3.** Λουκ. 3,23.

διάνοιαν δὲ καὶ τὸν τῶν γεγραφότων σκοπόν — οὐδὲν ἀπᾴδει τῶν παρὰ τῷ Ματθαίῳ κειμένων· ὥσπερ γὰρ οὗτος εἶπεν τό «ὡς ἐνομίζετο» ἐπειδὴ μὴ ἀληθῶς υἱὸς ἦν τοῦ Ἰωσήφ, ἀλλ' ἐνομίζετο παρὰ τοῖς πολλοῖς, οὕτως καὶ ὁ Ματθαῖος τό «ἐγέννησεν» μέχρι τοῦ Ἰωσὴφ εἰπὼν οὐκέτι ἐπήγαγεν, ὅτι Ἰωσὴφ ἐγέννησεν τὸν Χριστόν, ἀλλ' «Ἰωσὴφ τὸν ἄνδρα Μαρίας, ἐξ ἧς ἐγεννήθη Ἰησοῦς ὁ Χριστός»[1]. Ὥσπερ οὕτως ἐνέφηνε τῇ μεταβάσει, ὅτι ἐκ Μαρίας γεγέννηται, οὐκ ἐξ Ἰωσήφ, τοῦτο καὶ ὁ Λουκᾶς τῇ προσθήκῃ «ὡς ἐνομίζετο» ἔδειξεν· δῆλον γὰρ ἐκεῖνο, ὅτι τό «ὡς **97** ἐνομίζετο» περὶ τοῦ Χριστοῦ μόνον εἴρηται καὶ ἐπὶ τοῦ Ἰωσήφ, ὅτι «ἐνομίζετο» μὲν υἱὸς τοῦ Ἰωσήφ, οὐκ ἦν δέ· οὐ μὴν δὲ καὶ ἐπὶ τῶν λοιπῶν κατὰ τὴν αὐτὴν ἀκολουθίαν νοεῖσθαι δύναται· ἀνέβη γὰρ μέχρι τοῦ «Δαβίδ», κἀκεῖθεν ἐπὶ τόν «Ἀβραάμ», εἶτα ἐπὶ τόν «Ἀδάμ». Τίς δ' ἂν εἴποι τὸν κατὰ σάρκα Χριστόν, ὅτι τούτων ἐνομίζετο υἱός; Οὐχὶ δὲ ἦν ἐκεῖθεν κατάγων τὸ γένος οἷός τε εἰπεῖν, ὅτι ἕκαστος μὲν ἐνομίζετο εἶναι τοῦ προκειμένου υἱὸς οἷον ὁ «Ναθάν» τοῦ «Δαβίδ» ἢ ὁ «Δαβίδ» τοῦ «Ἰεσσαί» καὶ οἱ λοιποὶ καθ' ἑξῆς, οὐκ ἦσαν δὲ ἀληθῶς αὐτῶν υἱοί.

4

Ματθ. 1,18

Ὅτι δὲ τὸ Πνεῦμα τὸ Ἅγιον[2] οὐ Πατήρ, οὐ Υἱός, ἀλλὰ τρίτη τις παρὰ ταῦτα ὑπόστασις οὕτως ὑπὸ τοῦ Σωτῆρος κληθεῖσα, δῆλον εἰπόντος τοῖς ἑαυτοῦ μαθηταῖς μετὰ τὸ ἀναστῆναι ἐκ νεκρῶν· «πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος»[3]·

[705] Τὸ Πνεῦμα τὸ Ἅγιον μία τίς ἐστι τῆς Τριάδος ὑπόστασις καὶ οὔτε Πατὴρ ὀνομάζεται οὔτε Υἱός, ἀλλ' ἐξαίρετόν τι ὄνομα ἔχει τὸ καλεῖσθαι Πνεῦμα Ἅγιον, ὥς φησιν ὁ Σωτὴρ πρὸς τοὺς ἑαυτοῦ μαθητάς· «πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου

1. Ματθ. 1,16. **2.** Πρβλ. Ματθ. 1,18. **3.** Ματθ. 28,19.

δῆλον γάρ, ὅτι κἀνταῦθα τὸ Ἅγιον Πνεῦμα σημαίνεται, ἐπειδὴ ἡμῖν ἑτέρως εἰπεῖν καὶ καλέσαι αὐτὸ ἀδύνατον μὴ παρειληφόσιν ἑτέραν ὀνομασίαν ἰδίαν αὐτοῦ τῆς ὑποστάσεως ἐκ τῆς θείας Γραφῆς. Σαφῶς δὲ ἡμῖν αὐτοῦ τὴν ἀξίαν ἐν τούτοις ὁ εὐαγγελιστὴς ἐδήλωσε κοινωνοῦντός τε καὶ συνεφαπτομένου τῆς τῶν ἁπάντων δημιουργίας, εἴπερ δὴ καὶ τὸν ναὸν τοῦ Θεοῦ Λόγου κατεσκεύασεν[1]. Πνεύματος»· ὥσπερ γὰρ κοινωνόν ἐστι Πατρί τε καὶ Υἱῷ εἰς τὴν παντὸς δημιουργίαν, οὕτω καὶ τὸ ἐκ τῆς Παρθένου τοῦ Σωτῆρος σῶμα κατεσκεύασεν.

5

Ματθ. 1,21

98 Ἀντὶ τοῦ ἀθανάτους ποιήσει τοὺς ἀνθρώπους καὶ ἀτρέπτους ἀπαλλάττων αὐτοὺς τῆς ἁμαρτίας καὶ τῆς θνητότητος[2].

6

Ματθ. 2,1

Τόνδε ὁ Πατριάρχης Ἰακὼβ ἀκριβῶς χαρακτηρίζει τὸν χρόνον· «οὐκ ἐκλείψει» γάρ, φησίν, «ἄρχων ἐξ Ἰούδα καὶ ἡγούμενος ἐκ τῶν μηρῶν αὐτοῦ, ἕως ἂν ἔλθῃ» ᾧ ἀπόκειται «καὶ αὐτός»[3]. Ταύτας δὲ παρήγαγεν τὰς μαρτυρίας ὥστε δεῖξαι καὶ ἀπὸ τούτων, ὅτι κατὰ τὰς προφητικὰς φωνὰς ἅπαντα ἐγένοντο. Τὸ μὲν γὰρ ὅτι ἀπὸ Βηθλεὲμ εἴρηκεν ὁ Προφήτης, τὸ δὲ ὅτι «ἐν ἡμέραις Ἡρώδου»[4] ἡ τοῦ Ἰακὼβ ἐσήμανεν πρόῤῥησις. Πρῶτον μὲν αὐτῶν ἐβασίλευσαν οἱ ἐκ τοῦ Δαβίδ, ἐκ τῆς Ἰούδα φυλῆς, τοῦ Λευὶ ‹ἀδελφοῦ› ἄχρι τῶν κατὰ Βαβυλῶνα πραγμάτων. Μετὰ δὲ ταῦτα οἱ ἀρχιερεῖς αὐτοὶ καὶ τὴν ἡγεμονίαν εἶχον καὶ τοῦ γένους. Οὗτοι δὲ ἦσαν

---

1. Πρβλ. Ἰω. 2,21. **2.** Πρβλ. Ματθ. 1,21. **3.** Γεν. 49,10. **4.** Ματθ. 2,1.



μὲν ἐκ τῆς φυλῆς τοῦ Λευί, κατῆγον δὲ ἐκ τοῦ Ἰούδα τὸ γένος ἐπιμιξίας τῇ λευιτικῇ φυλῇ καὶ μάλιστα τοῖς ἀρχιερεῦσιν πρὸς τὴν βασιλικήν, τοῦ Ἰούδα λέγω, γεγενημένης. Μετὰ δὲ ταῦτα εἰς ἔριν ἐλθόντων Ἀριστοβούλου τε καὶ Ὑρκανοῦ τῶν ἀδελφῶν καὶ περὶ τῆς ἀρχῆς διαμαχεσαμένων τέλος εἰς τὸν Ἡρώδην ἡ βασιλεία περίεστη οὐκ Ἰουδαῖον ὄντα τὸ γένος· Ἀντιπάτρου γὰρ ἦν υἱὸς Ἰδουμαίου τυγχάνοντος. Οὗ δὴ κατὰ τὸν τῆς βασιλείας καιρὸν ὁ Δεσπότης ἀνεφάνη Χριστὸς παυσαμένων τῶν ἐκ τοῦ γένους βασιλέων τε καὶ ἀρχόντων.

7

Ματθ. 2,2

Διὰ τοῦτο οἱ μάγοι ἐκήρυξαν τὸν Χριστὸν ὡς ἀνύποπτοι καὶ μὴ ὄντε ἐγχώριοι ὡς οἱ Ἰουδαῖοι, ἀλλ' ἐκ μακρᾶς γῆς ἐλθόντες, ἵνα διαφημίσωσι πᾶσι δι' ὧν ὥδευον τὴν αἰτίαν δι' ἣν ἀπῄεσαν εἰς τὴν Ἰουδαίαν[1].

8

Ματθ. 2,13-15

Ἀναχωρήσαντες οἱ μάγοι[2] — ὡς μονοκέρως αὐτῷ,

9

Ματθ. 2,16

99 Οὐ μόνον «τοὺς ἐν Βηθλεὲμ παῖδας», ἀλλὰ καὶ τούς «ἐν τοῖς ὁρίοις αὐτῆς»[3] ἐκέλευσεν ἀναιρεθῆναι οἰόμενος, ὅτι ἐν τῷ πλήθει τῶν αἱρουμένων συναναιρεθήσεται καὶ ὁ ζητούμενος. «Τοὺς ἀπὸ διετοῦς δὲ καὶ

[705] Ὅσον γὰρ χρόνον ὑπώπτευσεν ὁ Ἡρώδης εἶναι ἀπὸ τῆς τοῦ Χριστοῦ γεννήσεως διὰ τῆς τῶν μάγων ἐλεύσεως, τοσούτων ἐτῶν παῖδας ἀποκτεῖναι παρεκελεύσατο. Μὴ τοίνυν ὑπολάβῃς αἰτίαν

1. Πρβλ. Ματθ. 2,2. 2. Πρβλ. Ματθ. 2,13. 3. Ματθ. 2,16.

κατωτέρω»[1] ἐκέλευσεν σφαγῆναι· τοσοῦτον γὰρ ὑπώπτευσεν εἶναι χρόνον ἀπὸ τῆς κατὰ σάρκα γεννήσεως τοῦ Χριστοῦ πῇ μὲν τῶν μάγων βραδυνάντων ἐν τῇ ὁδοιπορίᾳ, πῇ δὲ καὶ αὐτοῦ ἀσχοληθέντος διὰ τὴν βασιλικὴν φροντίδα. Πλὴν καὶ προσετίθη τῷ χρόνῳ διὰ τὸ ἐπιτυχεῖν τοῦ σκοποῦ. Οὐκ ἔστι δὲ τῆς τῶν παίδων ἀναιρέσεως ‹αἰτία› ἡ τοῦ Χριστοῦ γέννησις, ἀλλ' ἐκκάλυψις τῆς Ἡρώδου παιδοφονίας τότε ἀφορμὴν λαβούσης τοῦ κακοποιῆσαι, ἐπείπερ καὶ οἱ τὸν Χριστὸν σταυρώσαντες οὐ τότε πονηροὶ γεγόνασιν, ὅτε εἷλον τὸν Χριστόν, ἀλλὰ πονηροὶ ὄντες τότε ἀφορμὴν ἔλαβον τοῦ ποιῆσαι τὸν φόνον. Ὑπὲρ δὲ τούτου μέλλουσιν οἱ παῖδες ἀμοιβῆς τινος ἀγαθῆς τυχεῖν τὴν ἴσην τοῖς μάρτυσιν ἀξίαν ἀποφερόμενοι.

εἶναι τῆς τῶν παίδων ἀδίκου σφαγῆς τὴν τοῦ Χριστοῦ γέννησιν, ἀλλὰ τὴν τοῦ Ἡρώδου ἀθεΐαν τε καὶ ἀνοσιότητα· οὐδὲ γὰρ οἱ τὸν Χριστὸν σταυρώσαντες τότε γεγόνασι πονηροί, ἀλλὰ προϋπάρχοντες καὶ καιροῦ λαβόμενοι ἑαυτοὺς ἐφανέρωσαν, οἵτινες ἦσαν.

10

Ματθ. 2,23

Πλὴν ἐπισημήνασθαι ἄξιον[2] — εἰς Χριστὸν πίστεως.

11

Ματθ. 3,2

100 Τὸ τῆς ἐπαγγελίας εἶδος σφόδρα ἐπαγωγὸν ἦν καὶ παρα-

1. Ματθ. 2,16. 2. Πρβλ. Ματθ. 2,23.

πεῖσαι δυνάμενον ‹τοὺς› μετὰ πολλῆς αὐτῷ προσελθόντας σπουδῆς, ἀφ' οὗ παντελῆ τῶν ἁμαρτημάτων λαμβάνειν τὴν συγχώρησιν[1] ἔμελλον.

12

Ματθ. 3,2-11

Καὶ τοῦτο δὲ οὐ παρέργως, ἀλλ' ὡς ἐν μυστηρίῳ καὶ τύπῳ· καὶ γὰρ ἡ κάμηλος[2] οὔτε τοῖς ἀκαθάρτοις τελείως κτήνεσιν, οὔτε τοῖς καθαροῖς συνηρίθμηται, μέσην δέ τινα τάξιν ἔχει καὶ ἐπαμφοτερίζει τοῖς ἰδιώμασιν· τὸ μὲν γὰρ ἀνάγειν μηρυκισμόν, τοῦτ' ἔστιν ἀναφέρειν τὴν ἅπαξ καταποθεῖσαν τροφὴν καὶ πάλιν τοῖς ὀδοῦσι παραπέμπειν καὶ ἀναμασᾶσθαι τῶν καθαρῶν ἴδιον ζῴων, ὃ καὶ τῇ καμήλῳ πρόσεστιν· τὸ δὲ μὴ δίχηλον τὴν ὁπλὴν ἔχειν, τοῖς ἀκαθάρτοις προσπέφυκε. Καὶ ἡ τῆς καμήλου δὲ βάσις κατὰ τὴν τῶν ὀνύχων προσβολὴν οὐ διῄρηται. Ταύτης οὖν ἕνεκα τῆς αἰτίας ὁ Ἰωάννης τὰς τρίχας τοῦ ζῴου τούτου περιεβάλλετο[3] δεικνὺς ὡς ἡ εὐαγγελικὴ κλῆσις καὶ ἣν ἐγγίζειν ἔλεγε βασιλείαν Θεοῦ[4] καὶ τοὺς ἐκ τοῦ Ἰσραὴλ τοῦ καθαροῦ λαοῦ καὶ τοὺς ἐκ τῶν ἀκαθάρτων ἐθνῶν παραδέξεται καὶ ὅτι καὶ τούτοις κἀκείνοις ὁμοτίμως ἐκήρυττε τὴν μετάνοιαν[5].

13

Ματθ. 3,15

Τὸ τοῦ Ἰωάννου βάπτισμα καὶ τέλειον ἦν ἅμα καὶ ἀτελές· τέλειον μὲν κατὰ τὴν νόμου παραγγελίαν, ἀτελὲς δέ, ὅτι οὐκ ἐδίδου ἁμαρτημάτων ἄφεσιν, ἀλλ' ἐπιτηδείους πρὸς τὸ τέλειον ἐποίει. Διὸ καὶ ὁ Χριστὸς τέλειος ὢν κατὰ τὸν νόμον τοῦτο ἐβαπτίσατο τὸ βάπτισμα, τοῦτ' ἔστι τὸ τοῦ Ἰωάννου. Καὶ τοῦτο ἐδήλωσε λέγων· «οὕτως γὰρ πρέπον ἐστὶν ἡμῖν πληρῶσαι πᾶσαν δικαιοσύνην»[6].

---

1. Πρβλ. Ματθ. 3,2. **2.** Πρβλ. Ματθ. 3,4. **3.** Ἔνθ' ἀν. **4.** Πρβλ. Ματθ. 3,2. **5.** Πρβλ. Ματθ. 3,8. **6.** Πρβλ. Ματθ. 3,15.

14

Ματθ. 3,15-17

101 Ζητεῖται παρὰ πολλοῖς, τί ποτε ἄρα ἦν τὸ βάπτισμα, ὅπερ ὁ Κύριος ἐβαπτίσθη; τί οὖν ἐστιν; ὁ Κύριος ἡμῶν καὶ Σωτὴρ Ἰησοῦς Χριστὸς ὑπὲρ τῆς ἁπάντων σωτηρίας γενόμενος ἄνθρωπος[1] καὶ δὴ βίου τινὸς παραδόξου μέλλων ἑαυτὸν ἀποφαίνειν ἀρχήν, (καθ' ὃ καὶ ὁ Ἀδὰμ καλεῖται, ὥστε δι' αὐτοῦ καὶ τῶν λοιπῶν ἀναστάντων ἀνθρώπων ἀρχὴν αὐτὸν τῆς ἀϊδίου γενέσθαι ζωῆς ἐκείνης, ὃν τρόπον ταύτης δὴ τῆς προσκαίρου ζωῆς καὶ θνητῆς ἀρχηγὸν τὸν Ἀδὰμ συνέβη γενέσθαι), ἅπαντα τὰ καθ' ἡμᾶς ἐπ' αὐτοῦ προετύπωσεν· ὥσπερ γὰρ ἀπέθανέ τε καὶ ἀνέστη ἐπειδὴ ἐμέλλομεν καὶ ἡμεῖς, οὕτως ἐπειδὴ τυπικῶς διὰ τοῦ βαπτίσματος ἀπὸ τοῦ παρόντος βίου μετοικιζόμενοι εἰς τὴν μέλλουσαν καθίστασθαι ζωὴν ἀναγκαίως ἐμέλλομεν, ἐφρόντισε τοῦτο πρότερον ἐπ' αὐτοῦ πληρωθῆναι. Καὶ τοῦτο δὴ τὸ τῆς υἱοθεσίας βάπτισμα οἰκονομικῶς τὸ δι' «ὕδατος καὶ πνεύματος»[2] πρῶτος ἀναδεξάμενος μέγα μὲν καὶ τίμιον ἔδειξε τὸ βάπτισμα ἐφ' ἑαυτοῦ πρῶτος ὡς ἀληθῶς καταδεξάμενος. Ἐπολιτεύσατο δὲ καὶ αὐτὸς τὴν ἔξω τοῦ νόμου τῆς χάριτος πολιτείαν, ἣν καὶ ἡμᾶς πολιτεύεσθαι ἔδει. Πρέπον οὖν ἦν τὸν Κύριον ταπεινοφρονοῦντα ὡς ἄνθρωπον ἕνα ἐκ τοῦ λαοῦ τῷ προφήτῃ καὶ βαπτιστῇ ὑποταγῆναι εἰς τὸ βάπτισμα, ἵνα ἁγιάσῃ τὰ ὕδατα καὶ τὴν διὰ λουτροῦ ἡμῖν παλιγγενεσίαν[3] καὶ υἱοθεσίαν[4] καὶ ἄφεσιν ἁμαρτημάτων καὶ ὅσα ἄλλα ἐκ τοῦ βαπτίσματος ἡμῶν ἀγαθὰ ἐδωρήσατο[5], ὡς ἐν ἑαυτῷ προτυπώσῃ, Αὐτὸς τούτων μηδενὸς ἐπιδεόμενος ὡς Θεὸς καί «τὴν ἁμαρτίαν αἴρων τοῦ κόσμου»[6]. Διὰ τοῦτο ἐβαπτίσθη ὁ Χριστὸς παρὰ Ἰωάννου οὐχ ὡς ἁμαρτίας ἔνοχος, ἀλλ' ἵνα ὡς ἄνθρωπος «πληρώσῃ πᾶσαν δικαιοσύνην»[7]· δεύτερον, ἵνα μαρτυρήσῃ τῷ Ἰωάννῃ[8], ὅτι παρὰ Θεοῦ ἀπέσταλτο πρὸς τὸ βαπτίζειν· τρίτον, ἵνα διὰ τῆς καθόδου τοῦ Ἁγίου Πνεύματος ἁγιάσῃ τὰ τοῦ Ἰορδάνου ὕδατα καὶ πάντες οἱ

---

1. Πρβλ. Α' Κορ. 15,22. **2.** Ἰω 3,5. Πρβλ. Ρωμ. 6,4. **3.** Πρβλ. Τιτ. 3,5. **4.** Πρβλ. Ρωμ. 8,15. 9,4. Γαλ. 4,5. **5.** Πρβλ. Α' Πέτρ. 3,21. **6.** Ἰω. 1,29. **7.** Ματθ. 3,15. **8.** Πρβλ. Ἰω. 1,7.



βαπτιζόμενοι ἐν αὐτῷ ἁγιασθῶσιν. Ἀνοίγονται δὲ οἱ οὐρανοί[1] καὶ τὸ Πνεῦμα κάτεισι βαπτισθέντος αὐτοῦ καὶ φωνή[2] ἔρχεται, ἵνα μὴ μείζοντα αὐτοῦ τὸν Ἰωάννην ὑπολαμβάνοι τις· οὐ κρείσσων δὲ πάντως ὁ βαπτίζων τοῦ βαπτιζομένου· οὐδὲ γὰρ Ἀνανίας Παύλου[3].

15

Ματθ. 3,16

102 Διὰ τοῦτο περιστερᾷ[4] ὡμοιώθη τὸ Πνεῦμα τὸ Ἅγιον, διὰ τὸ φιλόστοργον, ὃ ἔχει περὶ ἡμᾶς, ὅτι ἀθετούμενος παρὰ τῶν ἀνθρώπων ὁ Θεὸς οὐδὲν ἧττον πάλιν διὰ τὴν οἰκείαν ἀγαθότητα πλησιάζει τοῖς ἀνθρώποις· οὕτω γὰρ καὶ ἡ περιστερὰ οὐκ ἀφίσταται τῶν συνήθων, κἂν ἀδικῶσιν αὐτὴν ἐκεῖνοι τὰ ἔκγονα αὐτῆς ἀποσπῶντες ἐξ αὐτῆς.

[705] Ἐν εἴδει περιστερᾶς ἐφάνη τὸ Πνεῦμα τὸ Ἅγιον ὡς φιλόστοργόν τε καὶ φιλάνθρωπον καὶ πολλάκις ὑφ' ὑμῶν ἀθετούμενον πάλιν ἔχεται ἡμῶν καὶ εὐεργετεῖ διὰ τὴν αὐτοῦ ἀγαθότητα· ἡ γὰρ περιστερὰ φιλόστοργον οὖσα καὶ φιλάνθρωπον ζῷον ὑπὸ τῶν ἀνθρώπων ἀδικουμένη τὰ ἐκείνης ἔκγονα ἀποσπώντων τε καὶ ἐσθιόντων οὐκ ἀφίσταται τῶν συνήθων, ἀλλ' ἔχεται παντοίως.

16

Ματθ. 3,17

Διὰ τῆς τοῦ Πατρὸς μαρτυρίας καὶ τῆς τοῦ Πνεύματος καθόδου δείκνυνται τῆς Ἁγίας Τριάδος αἱ ὑποστάσεις· ἐμαρτύρησε γὰρ ἄνωθεν ὁ Πατήρ, ὅτι ὁ μὲν βαπτιζόμενος Θεὸς ἦν[5], ὁ δὲ βαπτίζων ἄνθρωπος. Τοῦτο δέ, ἵνα μή τις ὑποπτεύσῃ ὅτι Ἰωάννης μείζων ἦν τοῦ Χριστοῦ ὡς βαπτίζων αὐτόν. Καὶ ἦν ὁ μὲν μαρ-

---

1. Πρβλ. Ματθ. 3,16. **2.** Πρβλ. Ματθ. 3,17. **3.** Πρβλ. Πράξ. 9,17. **4.** Πρβλ. Ματθ. 3,16. **5.** Πρβλ. Ματθ. 3,17.

τυρῶν ὁ Πατήρ, ὁ δὲ Υἱὸς ὁ μαρτυρούμενος, τὸ δὲ Πνεῦμα τὸ Ἅγιον τὸ ὑποδεικνύον τὸν μαρτυρούμενον.

17

Ματθ. 4,1-2

Ἐπειδὴ γὰρ ὁ Ἀδὰμ ἐν Παραδείσῳ καὶ τρυφῆς τυγχάνων ἐπὶ τὸ χεῖρον διὰ τῆς ἀπάτης ἐξέκλινεν, ἀναγκαίως τοῦτον εἰς τὴν ἔρημον[1] ἀνάγει ὥστε μείζονι τῇ καρτερίᾳ τοῦ διαβόλου τὸν τόνον ἐκλῦσαι καὶ νηστεύει μὲν νύκτας καὶ ἡμέρας τεσσαράκοντα[2].

18

Ματθ. 4,2

103 Ὅτε ὁ Χριστὸς ἐπείνασεν[3], ὡς γέγραπται, τότε ὁ διάβολος ἐπιτίθεται πειράσων, ἐπεὶ οὐδὲ πάνυ τεθαύμακε τὴν ἐν τεσσαράκοντα ἡμέραις νηστείαν γινώσκων τὸν Ἠλίαν τοσαύτας ἡμέρας νηστεύσαντα. Διὸ καὶ θαῤῥήσας προσέβαλεν[4] ὅμοιον ἐκείνῳ νομίσας εἶναι καὶ οὐ Θεόν.

19

Ματθ. 4,4

Παιδευόμεθα ἐκ τῶν θείων Γραφῶν, ὅτι μὴ μόνον ἄρτος[5] οἶδεν τρέφειν τὴν σάρκα, ἀλλὰ καὶ ῥῆμα Θεοῦ[6] ψιλόν· εἰ γὰρ ἀποφήναιτο καὶ προστάξειε ζῆν με καὶ ἄνευ τῆς τροφῆς, δυνατὸν αὐτῷ καὶ τοῦτο βουλομένῳ ποιεῖν.

20

Ματθ. 4,7

Εἰ ὡς Θεὸς ὁ Ἰησοῦς κατηγωνίσατο τὸν διάβολον, οὐδὲν μέγα ἐποίει νικήσας τὸν πλασθέντα ἐξ αὐτοῦ ἄγγελον ἀποστάτην, οὐδὲ

---

1. Πρβλ. Ματθ. 4,1. **2.** Πρβλ. Ματθ. 4,2. **3.** Ἔνθ' ἀν. **4.** Πρβλ. Ματθ. 4,3. **5.** Πρβλ. Ματθ. 4,4. **6.** Ἔνθ' ἀν.

ἡ νίκη ἐπεγράφετο τῇ ἀνθρωπότητι· ἀλλ' ὡς ἄνθρωπος τῇ ἀνεξικακίᾳ περιεγίνετο αὐτοῦ παιδεύων ἡμᾶς, ὅτι τοῦ διαβόλου οὐ διὰ σημείων, ἀλλὰ δι' ἀνεξικακίας καὶ μακροθυμίας περιγίνεσθαι χρὴ καὶ μηδὲν εἰς ἐπίδειξιν ποιεῖν καὶ φιλοτιμίαν ἁπλῶς.

21

Ματθ. 4,8

Ἠνείχετο δὲ ὁ Κύριος τοῦ διαβόλου τῇδε κἀκεῖσε αὐτὸν περιάγοντος ὡς καὶ τῶν ἑλκόντων αὐτόν «ἐπὶ σφαγὴν ὡς πρόβατον»[1], ἵνα διὰ τῆς ἄγαν ταπεινοφροσύνης καθέλῃ τὸ ἐκείνου φρύαγμα μηδὲ ἐκ τούτου βλαβεὶς τὴν προαίρεσιν ἐν τῷ ἐφ' ὃ αὐτὸν προεκαλεῖτο τρέχειν, μὴ μὴν ἡττᾶσθαι αὐτοῦ καὶ ὑπακούειν τοῖς ἐπιταττομένοις ὑπ' αὐτοῦ.

22

Ματθ. 4,8

104 ‹Οἰκονομικῶς› νοητέον τὸ ὅτι ὁ διάβολος ἀπήγαγεν αὐτόν[2] ἐπειδὴ τοῦτο τοῦ Χριστοῦ προθυμουμένου ποιεῖν καὶ ζητοῦντος ᾠκονομεῖτο εἰς ἧτταν σαφῆ τοῦ μάτην ἐπιχειροῦντος πειράζειν. Καὶ γὰρ ἐπὶ τοῦ Ἰὼβ λέγει, ὅτι «εἶπεν ὁ διάβολος τῷ Κυρίῳ»[3]· καίτοιγε τίς οὕτω εὐήθης, ὥστε οἰηθῆναι τῷ Θεῷ διαλέγεσθαι τὸν διάβολον; Ἀλλ', ὅτι ἐβούλετο, συνεχώρει ὁ Θεὸς εἰς ἀπόδειξιν τῆς στεῤῥότητος τοῦ Ἰώβ. Οὕτως κἀντεῦθεν τῷ διαβόλῳ περιάπτει, ὅπερ ἐκείνου βουλομένου γίνεσθαι ὑπὲρ ἁπάντων ᾠκονομεῖτο. Τὸ δέ «ἔδειξεν»[4] δῆλον, ὡς οὐ καθ' ὑπόστασιν ἐδείκνυ, ἐπεὶ μηδὲ οἷόν τε «ὄρος»[5] οὕτω εὑρεῖν «ὑψηλόν»[6] δι' οὗ πάντα τὸν κόσμον τῷ βουλομένῳ δυνατὸν κατιδεῖν, ἀλλὰ κατὰ φαντασίαν ὡς τὰ πολλὰ ἔθος δεικνύναι τοῖς δαίμοσιν οὗ δὴ γνώρισμα σαφὲς τὸ τοὺς γοητεύειν ἀκριβῶς ἐπισταμένους πολλὰ δεικνύναι οὐ παρόντων οὐδὲ γινομένων ὡς παρόντα τε καὶ γινόμενα.

---

1. Ἠσ. 53,7. **2.** Πρβλ. Ματθ. 4,8. Λουκ. 4,5. **3.** Ἰὼβ 1,7. 2,2. **4.** Λουκ. 4,5. **5.** Ματθ. 4,8. **6.** Ἔνθ' ἀν.

23

Ματθ. 4,10

Παράπληκτος ὁ διάβολος τῷ Θεῷ Λόγῳ ἐπαγγελλόμενος διδόναι ἅπερ αὐτὸς ἐποίησεν. Ἐπιπληκτικῶς δὲ ὁ Κύριος τῷ διαβόλῳ λαλεῖ λέγων, ὅτι μόνῳ Θεῷ[1] ἐδιδάχθημεν προσκυνεῖν[2], οὐχ ἑτέρῳ· «πάντες γὰρ αὐτοῦ εἰσι λειτουργικὰ πνεύματα εἰς διακονίαν ἀποστελλόμενα διὰ τοὺς μέλλοντας κληρονομεῖν σωτηρίαν»[3].

24

Ματθ. 5,13

Δεῖ οὖν ἀρετῇ ἰδίας φύσεως· «τὸ ἅλας»[4] εἰς πολλὰ χρησιμεύει, παρατραπὲν δὲ ὁλοτελῶς ἄχρηστον ὡς μὴ δυνάμενον ἐξ ἄλλου τινὸς διόρθωσιν λαβεῖν. Διὸ καὶ ῥίπτεται «ἔξω»[5]. Οὕτως καὶ ὑμεῖς, ἐὰν ἐπιλάβησθε τῆς **105** ἀρετῆς, καὶ ἑτέρους ὠφελήσετε· εἰ δὲ ἐκνεύσητε πρὸς ἃ μηδεὶς φρόνιμος ἐκνεύει μὴ ὄντος ἄλλου τοῦ δυναμένου ὑμᾶς διορθώσασθαι, καὶ τιμωρηθήσεσθε.

25

Ματθ. 5,14

Ὥσπερ διὰ τοῦ φωτὸς[6] ὁρᾷ τις ὅλα, οὕτω καὶ οἱ πειθόμενοι ὑμῖν δι' ὑμῶν ὁρῶσι τὰ τῆς ἀρετῆς ἔργα.

26

Ματθ. 5,15

«Μόδιον»[7] τὴν κακίαν εἶπεν, «λύχνον»[8] δὲ τὴν ἀρετήν. «Ὑμεῖς ἐστε τὸ φῶς τοῦ κόσμου»[9]

Τί οὖν ἐστιν, ὃ φησιν ὁ Σωτήρ· μόδιον ὑφ' ᾧ τὸν λύχνον τιθέασίν τινες; Μόδιον μὲν τὴν

1. Πρβλ. Ματθ. 4,10. 2. Ἔνθ' ἀν. 3. Ἑβρ. 1,4. 4. Ματθ. 5,13. 5. Ἔνθ' ἀν. 6. Πρβλ. Ματθ. 5,14. 7. Ματθ. 5,15. 8. Ἔνθ' ἀν. 9. Ματθ. 5,14.

εἰπών — ὡς τοῦ ἡλίου ἀκτῖνος πολὺ βέλτιον.

κακίαν ἐνταῦθα λέγει, λύχνον δὲ τὴν ἀρετήν· καὶ καθάπερ οἱ μέλλοντές τι ποιῆσαι τῶν ἀθεμίτων ἐν σκότει πορεύονται ἐκκλίνοντες τὸ φῶς, οὕτως καὶ οἱ τὴν κακίαν ἐργαζόμενοι τὴν ἀρετὴν ὑπὸ ταύτην κρύπτουσιν ὥστε δοκεῖν μὴ κακὸν ἐργάζεσθαι, ἀλλὰ μᾶλλον ἀγαθόν.

27

Ματθ. 5,15-16

Οὐ δεῖ ἐν — γῆς ἄνθρωποι φωτισθῶσιν[1].

28

Ματθ. 5,22

106 Τῷ δὲ εἰπεῖν «τῇ κρίσει» καί «τῷ συνεδρίῳ» καί «τῇ γεέννῃ τοῦ πυρός»[2] τὴν αὐτὴν ἐπάγει κόλασιν· οὐδὲ γὰρ ἄλλο καὶ ἄλλο σημαίνει διὰ τῶν διαφόρων λέξεων οὔτε διάφορον τιμωρίαν. Εἰ οὐκ ἐνδέχεται «μωρόν»[3] λέγειν, πῶς ὁ Κύριος μωροὺς εἶπεν; Μωρὸν τὸν ἀδελφὸν οὐ προσήκει καλεῖν· ὀργῆς γὰρ τὸ ῥῆμα καὶ οὐ δικαιοσύνης, ἀλλὰ καὶ ἀσεβές, ὅτε κατὰ ἁγίου λέγεται. Ὁ δὲ Κύριος τοὺς οὐδαμῶς ἰδίους αὐτῷ καὶ τῇ δικαιοσύνῃ μωροὺς ὀνομάζει δικαίως, οὐ πρὸς ὀργήν, ἀλλὰ πρὸς ἀλήθειαν. Γέεννα δέ ἐστι τὸ αἰώνιον κολαστήριον καὶ ταρταρῶδες.

29

Ματθ. 5,25-26

Ὃ λέγει τοιοῦτον — ὁ κορδάντης[4] δηλοῖ.

---

1. Πρβλ. Ματθ. 5,16. **2.** Ματθ. 5,22. **3.** Ἔνθ' ἀν. **4.** Πρβλ. Ματθ. 5,26.

30

Ματθ. 5,26

Ὁ μέντοι κορδάντης — σαφηνίσας λεπτὸν ὠνόμασεν.

31

Ματθ. 5,28

Ὁ ἐμβλέψας «πρὸς τὸ ἐπιθυμῆσαι»[1] τρόπον τινὰ ἠρεμοῦντα τὰ πάθη διανύττει διὰ τοῦ ὁρᾶν.

32

Ματθ. 5,31

107 Διὰ τὸ θέλειν ἄλλαις συνεῖναι ἐξέβαλε τὰς πρώτας καὶ διὰ τῆς μηχανῆς ταύτης οἱ μὲν ἐλάμβανον τὰς ἄλλων γυναῖκας, αἱ δὲ τοὺς ἀλλοτρίους ἄνδρας.

33

Ματθ. 5,31-32

Τὸν δὲ περὶ ῥεπουδίων λόγον συνέμιξε τοῖς πόρνοις· οἱ γὰρ εἰκῇ ἀπολύοντες[2] τὰς ἰδίας γαμετὰς διὰ τὸ θέλειν ἄλλαις συμμίγνυσθαι ἐποίουν τοῦτο. Τὸ αὐτὸ δὲ καὶ αἱ γυναῖκες. Τὴν οὖν ἐκβαλλομένην οὐ συγχωρεῖ γαμεῖσθαι, ἀλλὰ τὸν συνόντα αὐτῇ μοιχοῦ δίκας εἰσπράττεσθαι· εἰ γὰρ καὶ κατὰ τὸ φαινόμενον ἔξω ἐστὶ τοῦ ἀνδρός, ἀλλ' οὖν κατὰ τὸ νοούμενον αὐτοῦ ἐστι σῶμα ἅπαξ ἐν πρώτοις διὰ Θεοῦ τῇ συζυγίᾳ συναφθεῖσα καὶ συναρμολογηθεῖσα τῷ ἀνδρὶ ὡς «εἰς μίαν σάρκα»[3]. Οὐκοῦν οὐδὲ ὁ ἀνὴρ ἄλλην δύναται γαμεῖν.

34

Ματθ. 5,40

[708] Προσήκει τὴν πρὸς ἐναντίους μὴ ἐκκλίνειν φιλονεικίαν,

---

1. Ματθ. 5,28. **2.** Πρβλ. Ματθ. 5,31. **3.** Γεν. 2,24. Ματθ. 19,5. Ἐφ. 5,31.

ὅταν ὑπὲρ τῆς εὐσεβείας τυγχάνῃ, μᾶλλον μὲν οὖν καὶ τὰ δεινὰ ὑπομένειν καὶ χαίρειν ἐπὶ τούτοις· εἰ δὲ ἕτερόν τι τῶν βιωτικῶν ὑπάρχει, ἡδέως παραχωρεῖν[1] τῷ βουλομένῳ καὶ μηδ' ὁπωστιοῦν ἀντιφθέγγεσθαι.

35

Ματθ. 6,24

Μαμωνᾶς ἐστιν οὐ μόνος ὁ χρυσός[2], ἀλλὰ πᾶν εἶδος κάλλιστον τῶν ἐπὶ γῆς.

36

Ματθ. 6,34

108 Ἆρ' οὖν κακώσεως καὶ μόχθου καὶ ταλαιπωρίας καὶ πόνου ἡ παροῦσα ἡμέρα[3].

37

Ματθ. 6,34

Ἡ ἡμέρα ἐστὶ τὰ πρὸς τὴν χρείαν, τὸ περὶ τῶν μελλόντων φρονίζειν.

39

Ματθ. 7,15-19

Ἄλλοι δὲ περὶ τῶν ἑτεροδιδασκάλων καὶ παραμιγνύντων τῇ ἀληθείᾳ τὸ ψεῦδος ταῦτα εἰρῆσθαί φασιν. Καὶ ὡς οὐκ ἔστιν ἀπὸ δένδρου «καλοὺς» παρέχοντος «καρπούς»[4] κακίστους λαβεῖν οὐδὲ ἀπὸ ἀκάνθας φερόντων δέξασθαι σταφυλὴν ἢ συκῆν[5], οὕτως οὐκ ἔστιν ἀπὸ γνώμης πονηρᾶς λόγους ἀκοῦσαι καλοὺς οὔτε μὴν ἀπὸ γνώμης εὐσεβοῦς διδασκαλίαν δέξασθαι κακήν. Ἀσφαλισάμενος δὲ τοὺς λοιποὺς εἰς τὸ μὴ πείθεσθαι προχείρως ἀποτρέπει λοιπὸν

1. Πρβλ. Ματθ. 5,40. **2.** Πρβλ. Ματθ. 6,24. **3.** Πρβλ. Ματθ. 6,34. **4.** Ματθ. 7,17. **5.** Πρβλ. Ματθ. 7,16.

καὶ τοὺς ἐγχειροῦντας τῇ τῶν χειρόνων διδασκαλίᾳ· «πᾶν γάρ, φησίν, δένδρον μὴ ποιοῦν καρπὸν καλὸν ἐκκόπτεται καὶ εἰς πῦρ βάλλεται»[1]. Ὥσπερ ἐπὶ τῶν ξύλων, φησίν, τὸ ἄκαρπον «εἰς πῦρ βάλλεται»[2], οὕτως καὶ ἐπὶ τῶν ἀνθρώπων ὁ μὴ τοὺς τῆς εὐσεβείας διὰ στόματος φέρων καρποὺς ἀκόλουθον δέξεται τὴν τιμωρίαν.

39

Ματθ. 7,26-27

Μωρὸς ἐπὶ ψάμμου οἰκοδομῶν[3] ἐστιν, πάντες οἱ ποιοῦντές τι κακόν, ὃ οὗτοι ἄνευ κόπου ποιοῦσιν· ἄμμος[4] δὲ ἡ εὐήθεια· μεγάλην δὲ λέγει τὴν πτῶσιν[5] καὶ μετατραπέντων ὡς ἀπὸ τοῦ ὑψηλοτάτου πύργου πεσόντων· οἱ γὰρ ἄπιστοι οὐ πίπτουσιν, ἀλλ' ἀεὶ χαμαὶ εἰσιν.

40

Ματθ. 7,28

109 Εἰκότως «ἐξεπλήσσοντο»[6] ἀῤῥήτῳ — αἰνιγματῶδες ἢ σκοτεινόν.

41

Ματθ. 8,2-3

Πολλὴ ἡ σύνεσις καὶ ἡ πίστις τοῦ προσελθόντος[7] — ὃ δὴ μάλιστα ἄξιον ζητήσεως.

41α

Ματθ. 8,5-9

Παῖδα νῦν οἰκέτην λέγει, καὶ σαφῶς τοῦτο δηλοῖ ὁ Λουκᾶς δοῦλον αὐτὸν ὀνομάζων[8]. Συνέσεως δέ, φησίν, ἦν τὸ ἀπὸ τῶν καθ'

---

1. Ματθ. 7,19. **2.** Ἔνθ' ἀν. **3.** Πρβλ. Ματθ. 7,26. **4.** Ἔνθ' ἀν. **5.** Πρβλ. Ματθ. 7,27. **6.** Ματθ. 7,28. **7.** Πρβλ. Ματθ. 8,2. **8.** Πρβλ. Λουκ. 7,2.

ἑαυτὸν εἰκότων λογισμῶν τοιαῦτα αὐτὸν πιστεῦσαι περὶ τοῦ Χριστοῦ. Ἄνθρωπος γάρ, φησίν, κἀγώ, ἀλλ' ὅμως ὢν ἔλαβον τὴν ἐξουσίαν[1], τούτων κύριός εἰμι. Ὥστε οὐδὲ ἀπεικὸς καὶ σὲ ταύτην εἰληφότα παρὰ Θεοῦ τὴν ἐξουσίαν λόγῳ μόνῳ κελεύοντα ἀπελαύνειν τὰ πάθη. Οὐδὲ γὰρ ὡς Υἱῷ Θεοῦ καὶ πάσης ὄντι Κυρίῳ τῆς κτίσεως προσῆλθεν ὁ ἑκατόνταρχος[2] (τοῦτο γὰρ οὐδὲ τῶν μαθητῶν τότε ἦν εἰδέναι πρὸ τοῦ Σταυροῦ), ἀλλ' ὡς **110** ἀνθρώπῳ δι' ἀρετὴν εἰληφότι παρὰ τοῦ Θεοῦ μείζονα ἢ κατὰ ἄνθρωπον ἐξουσίαν. Ὅθεν οὕτω φησίν· «καὶ γὰρ ἐγὼ ἄνθρωπός εἰμι»[3]. Ἐπειδὴ γὰρ εἶπε πρὸς αὐτόν «εἰπὲ λόγῳ»[4], τοῦτο δὲ Θεοῦ μόνου εἶναι ἐδόκει, καλῶς ἐπήγαγε τό «καὶ γὰρ ἐγὼ ἄνθρωπός εἰμι», ἀντὶ τοῦ· οὐδὲν θαυμαστόν, εἰ τοῦτο δύνῃ ἄνθρωπος ὤν, λαβὼν παρὰ τοῦ Θεοῦ, ἐπεὶ κἀγὼ τοῦτο ὢν λαμβάνω ὑπηκόους ὑπερέχων τῷ κελεύειν ὡς βούλομαι.

Ταῦτα ὁ συνήθως τοῖς ἁγίοις πατράσιν ἐναντιούμενος, τοῖς δὲ ἐντυγχάνουσι συνιδεῖν καταλιμπάνω τῶν ἐξηγήσεων τὸ διάφορον, καὶ τίς ὁ μᾶλλον ἐφικνούμενος τῆς εὐαγγελικῆς καὶ ἀληθοῦς διανοίας.

42

Ματθ. 8,29

Ὡς οὖν καιρὸν ἔχοντες ἐν τῷ μεταξὺ ποιεῖν ἃ βούλονται περὶ τοὺς ἀνθρώπους κατεβόων τοῦ Κυρίου ὡς ἂν πρὸ τοῦ προσήκοντος καιροῦ αὐτοὺς βιαζομένου[5] καὶ τιμωρίαις ὑπάγοντος.

43

Ματθ. 8,30-31

Ζητεῖται τίνος ἕνεκεν ὁ Κύριος τοῖς δαίμοσιν εἰσελθεῖν θελήσασιν εἰς τοὺς χοίρους[6] ἐπέτρεψεν. Μέγιστα κακὰ τοῖς ἀνθρώποις διετίθεσαν οἱ δαίμονες. Ἐντεῦθεν δὲ πολλοὶ ὡς εἰκὸς συνεξήταζον

---

1. Πρβλ. Ματθ. 8,9. **2.** Πρβλ. Ματθ. 8,8. **3.** Ματθ. 8,9. **4.** Ματθ. 8,8. **5.** Πρβλ. Ματθ. 8,29. **6.** Πρβλ. Ματθ. 8,30.

πρὸς ἀλλήλους· τίνος ἕνεκεν ταῦτα ποιούντων ἀνέχεται ὁ Θεός; Βουληθεὶς οὖν ἅπασιν ὁ Κύριος δεῖξαι καὶ ἥντινα τὴν ἀρετὴν κατὰ τῶν ἀνθρώπων οἱ δαίμονες ἔχουσιν καὶ ὅτι πολλῷ ἐλάττονα ἢ βούλονταί τε καὶ δύνανται τοὺς ἀν**111**θρώπους ἐργάζονται κακὰ τῇ τοῦ Θεοῦ κωλυόμενοι δυνάμει, ἐπὶ μὴ ἀνθρώπων ταύτην παρέσχετο τὴν ἀπόδειξιν. Ἐπέτρεψεν δὲ αὐτοῖς εἰς «τοὺς χοίρους»[1] εἰσελθεῖν, ὥστε ἀπὸ ἐκείνων τήν τε ὀργὴν φανῆναι τῶν δαιμόνων καὶ τὴν δύναμιν· καὶ οἱ τοσούτους χοίρους συντόμως ἀφανίσαντες οὐκ ἀδύνατοι τὰ αὐτὰ διατιθέναι τοῖς ἀνθρώποις καθέλκοντες αὐτοὺς καὶ πάντα πράττειν πρὸς αὐτοὺς ἅπερ βούλονται.

44

Ματθ. 8,34

[708] «Παρεκάλεσαν»[2] τοίνυν ἐφ' ἑτέρους μεταβῆναι τόπους ὡς οὐκ ἄξιοι ὄντες τοσοῦτον ἀγαθὸν ἐπὶ τῆς οἰκείας ἔχειν χώρας, δείσαντες μήπου τι καὶ μεῖζον πάθωσιν ἀπὸ τῆς τοῦ παρόντος δυνάμεως τῶν οἰκείων ἁμαρτηματων ἕνεκεν.

45

Ματθ. 9,5

Κατὰ μὲν τὴν προσφορὰν ὁμοίως εὔκολα ἀμφότερά ἐστιν εἰπεῖν· ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· βλάσφημόν με νομίζετε ὡς ἐπαγγελλόμενον ἃ μὴ δύναμαι. Οὐκοῦν εἰς μεγαλαυχίας τὴν φωνὴν ὑπολαμβάνετε εἶναι, τί νενόμισται ὑμῖν εἶναι εὐκολώτερον ἐπαγγείλασθαι τῶν ἁμαρτημάτων τὴν συγχώρησιν ἢ τῆς παραλύσεως τὴν θερα-

Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· βλάσφημόν με νομίζετε ὡς ἐπαγγελλόμενον ἃ μὴ δύναμαι ἤγουν τῶν ἁμαρτημάτων τὴν ἄφεσιν· οὐκοῦν εἰ μεγαλαύχου τὴν φωνὴν ὑπολαμβάνετε εἶναι, τί νενόμισται ὑμῖν εὐκολώτερον ἐπαγγείλασθαι τῶν ἁμαρτημάτων τὴν συγχώρησιν ἢ τῆς παραλύσεως τὴν θεραπείαν; Ἀλλὰ μὴν τοῦτο χαλεπώτερον

1. Ματθ. 8,32. 2. Ματθ. 8,34.

πείαν[1]; Ἀλλὰ μὴν τοῦτο χαλεπώτερον εἰπεῖν τῷ μὴ δυναμένῳ, ἐγγύθεν τῆς ἀσθενείας αὐτοῦ τῶν ἀκουόντων λαβεῖν τὸν ἔλεγχον δυναμένων. Ὅσῳ γὰρ ὑπ' ὄψεσι τὴν θεραπείαν πιστεύειν συμβαίνει, τοσούτῳ ῥᾴδιόν ἐστι τοῦ φθεγγομένου λαβεῖν τὴν ἀπόδειξιν, εἴτε δυνάμενος ἐπαγγέλλεται δικαίως εἴτε καὶ ψεύδεται ταῦτα ὑπισχνούμενος ἃ ἀδυνατεῖ ποιεῖν.

εἰπεῖν τῷ μὴ δυναμένῳ, τῶν ἀκουόντων ἐγγύθεν λαβεῖν τὸν ἔλεγχον τῆς ἀσθενείας αὐτοῦ δυναμένων, ἅτε ὑπ' ὄψεσι οὔσης τῆς θεραπείας. Ὥστε δὲ μὴ νομίζειν ὑμᾶς, ὅτι ὑπισχνοῦμαι τὸ ἀθέατον τοῖς ἀνθρώποις, ὃ καὶ μὴ παρέχοντα λαθεῖν δυνατόν, ὃ δύσκολον ἐπαγγείλασθαι τῷ μὴ δυναμένῳ, τοῦτο λέγω τε καὶ ποιῶ, ὥστε ἐντεῦθεν ὑμᾶς λαβεῖν τὴν ἀπόδειξιν δυνάμεως τῆς ἐμῆς.

46

Ματθ. 9,8

112 [708] Θεῖον τὸ πρᾶγμα γινώσκουσιν, τὸν δὲ ποιήσαντα ὁρῶσιν ἄνθρωπον. Διὰ τοῦτο ὡς δωρεὰν Θεοῦ καὶ οὐχ ὡς αὐτοῦ δύναμιν θαυμάζουσιν[2].

47

Ματθ. 9,14-17

Ὥσπερ, φησίν, εἰ «ῥάκος ἄγναφον»[3] ἐπιβληθείη «ἐπὶ ἱματίῳ παλαιῷ»[4] τῇ σιγηλῷ στερεότητι κἀκεῖνο διαρρήγνυσιν, «οἶνός τε νέος εἰς ἀσκοὺς ἐμβληθεὶς παλαιούς»[5] τῇ οἰκείᾳ θερμότητι τοὺς ἀσκοὺς διαρρήγνυσιν, οὐ δυνατὸν αὐτοὺς τοῖς παλαιοῖς δουλεύειν νόμοις· ὑμεῖς μὲν γὰρ τοῖς παλαιοῖς εἰκότως ἀκολουθοῦντες ἔθεσι τὰς Μωσέως νηστείας φυλάττετε, οὗτοι δὲ ἐπειδὴ καινά τινα καὶ παράδοξα νόμιμα παραδιδόναι μέλλουσι τοῖς ἀνθρώποις, ταῦτα μὲν οὐδαμῶς ἀναγκάζονται φυλάττειν. Κατὰ καιρὸν δὲ μετὰ τῆς

---

1. Πρβλ. Ματθ. 9,5. **2.** Ματθ. 9,8. **3.** Ματθ. 9,16. **4.** Ἔνθ' ἀν. **5.** Ματθ. 9,17.

λοιπῆς ἀρετῆς καὶ τὴν νηστείαν ἐπιδείξονται, οὐκ ἀνάγκῃ νομίμοις τισὶ καὶ ἔθεσι παλαιοῖς ὡς ὑμεῖς αὐτὴν φυλάττοντες· καὶ γὰρ ἡ τῶν ἐν νόμῳ νηστεία τούτῳ διενήνοχεν τῶν ἐν τῇ χάριτι νηστευόντων, ὅτι οἱ μὲν ὡρισμένας εἶχον τὰς νηστείας, ἃς καὶ νηστεύειν πάντως αὐτοὺς ἐχρῆν καὶ μὴ βουλομένους, οἱ δὲ γνώμῃ μᾶλλον κατὰ τὸ δοκοῦν αὐτοῖς νηστεύουσιν ἀρετῆς αἱρέσει μετιόντες αὐτήν. Εἰ δὲ καὶ ὡρίσθαι ὁ τῶν τετταράκοντα δοκεῖ καιρὸς δι' ὑπόμνησιν τῶν κυριακῶν, ἀλλὰ καὶ ταύτην γνώμης μᾶλλον τὴν νηστείαν μετίοιμεν.

48

Ματθ. 9,15

Καὶ τοῦτο μὲν εἰκότος εἶπεν, ὥστε καὶ τὴν μεγαλαυχίαν αὐτῶν καθελεῖν καὶ δεῖξαι, ὅτι μὴ πρὸς τρυφὴν καὶ ἄνεσιν τοὺς οἰκείους χειραγωγεῖ μαθητάς, καιρὸς δέ τις μεθ' ὃν ἐπιδείξονται τὴν ἀνδρείαν ἑαυτῶν καὶ τὴν ἐν τοῖς δεινοῖς καρτερίαν· δεικνύων δὲ λοιπὸν καὶ τὸ διάφορον τῶν μαθητῶν πρὸς αὐτούς, ὅτι τέως μηδεμία ἀνάγκη ὁμοίως αὐτοῖς, καὶ οὗτοι νηστεύσουσί[1] φησιν.

49

Ματθ. 10,5

113 Ἐπειδὴ δὲ ἐν μέσῳ τῆς Ἰουδαίας ἦσαν αἱ πόλεις τῶν Σαμαριτῶν, δι' ὧν ἔδει διελθεῖν, εἶπεν· «μὴ εἰσέλθητε»[2], ἀλλ' ἔξωθεν αὐτῶν διαβαίνετε· αἱ δὲ τῶν ἐθνῶν ἔξω ἦσαν, δι' ὃ εἶπεν· «εἰς ὁδὸν ἐθνῶν μὴ ἀπέλθητε»[3].

[708] Οἱ Σαμαρεῖται πόλεις κατῴκουν ἐν μέσῳ τῆς Ἰουδαίας, δι' ὧν ἀναγκαῖον ἦν τοὺς Ἀποστόλους πορεύεσθαι. Διὸ καὶ ἐκώλυεν αὐτοὺς μὴ εἰσελθεῖν καὶ διὰ τοῦτο εἶπεν· «μὴ εἰσέλθητε»· ἐπὶ δὲ τῶν ἐθνῶν οὐκ εἶπεν· «μὴ εἰσέλθητε», ἀλλά «μὴ ἀπέλθητε».

---

1. Πρβλ. Ματθ. 9,15. **2.** Ματθ. 10,5. **3.** Πρβλ. Ματθ. 10,7.

50

Ματθ. 10,7

Διὰ τῆς σαρκώσεως ἦν ἐγγίσασα καὶ ἀεὶ μὲν ἦν ἐγγὺς[1] Χριστὸς ὁ Θεός.

51

Ματθ. 10,16

Αὕτη γὰρ ἡ περιστερὰ κἂν τοὺς νεοττούς τις ἀφέλῃ, αὖθις ἐπὶ τοῦ τόπου νεοττεύει[2]. Οὕτως, φησίν, καὶ ὑμεῖς ἐπιβουλευόμενοι παρὰ τῶν ἐναντίων μὴ ἀφίστασθε· μένετε δὲ παρ' αὐτοῖς ἄχρις ἄν τινας ἐπὶ τὸ κρεῖττον τῇ διδασκαλίᾳ μεταβάλλητε.

Ἐάν τις τῆς περιστερᾶς ἀφαιρῆται τοὺς νεοσσούς, ἐν τῷ τόπῳ ἐκείνῳ πάλιν νεοττεύει. Διὸ καὶ ὑμεῖς, φησίν, ἐπιβουλευόμενοί τε καὶ διωκόμενοι μένετε ἐν τῇ ἐμῇ πίστει καὶ μηδ' ὅλως ἀφίστασθε. Καὶ ὥσπερ ὁ ὄφις φεύγων καὶ κρύπτων ἑαυτὸν σῴζεται, οὕτω καὶ ὑμεῖς φεύγοντες τοὺς μέλλοντας ἀναιρεῖν ὑμᾶς ζήσεσθε.

52

Ματθ. 10,21-23

Τοῦτο εἶπε πρὸς τὸ μὴ δάκνεσθαι[3] αὐτοὺς λοιδορουμένους.

53

Ματθ. 10,24

114 Ὑπὲρ τὸν ὄντως διδάσκαλον αὐτοῦ τῇ φύσει οὐχ ἔστιν μαθητής[4]· οὐδέποτε γὰρ ὑπερβήσεται τὸ φύσει ὂν ὁ θέσει πρὸς τοῦτο

---

1. Πρβλ. Ματθ. 10,16. **2.** Ἔνθ' ἀν. **3.** Πρβλ. Ματθ. 10,21-22. **4.** Πρβλ. Ματθ. 10,24.



ὁμοιούμενος, ἀλλὰ τέλος αὐτοῦ ἀκρότατον ἡ ὁμοίωσις. Διὰ τοῦτο καὶ ἕνα φησὶν εἶναι τὸν καθηγητήν[1], ἑαυτὸν εἶναι λέγων τὸν καθηγητήν· οἱ γὰρ ἐν ἀνθρώποις διδάσκαλοι τύπος μᾶλλον ἢ ἀλήθεια, ὅτι μεταδίδωσιν ἕκαστος ὃ προλαβὼν εἴληφεν. Διὸ καὶ ὑπερβαίη τις ἂν μᾶλλον οἰκειωθεὶς τῷ δεδομένῳ ἀγαθῷ.

54

Ματθ. 10,25

Ταύτης τῆς λοιδορίας οὐκ ἔστιν μείζων, εἴγε ἄρχοντά με τῶν δαιμόνων[2] εἶπον, ὧν οὐδὲν χεῖρον. Βεελζεβοὺλ[3] δὲ καταπίνοτα μυίας οἱ περὶ Ἀκύλαν ἐξέδωκαν ἢ ἄρχοντα νεκρῶν ὡς ἐν ταῖς Βασιλείοις[4] εὕρομεν.

55

Ματθ. 10,26

Τάχα καὶ περὶ τοῦ καιροῦ ἐκείνου λέγει, «ὅτε κρινεῖ ὁ Θεὸς τὰ κρυπτὰ τῶν ἀνθρώπων»[5], «καὶ φωτίσει τὰ κρυπτὰ τοῦ σκότους καὶ φανερώσει τὰς βουλὰς τῶν καρδιῶν»[6].

56

Ματθ. 10,28

Διὰ δὲ τῆς γεέννης[7] τὸ διηνεκὲς τῆς κολάσεως ἐδήλωσεν, γέενναν εἰπὼν ὡς ἀναμένουσαν δίκην τῶν διὰ γεννήσεως τὴν ἀπόδοσιν δεχομένων.

115 Καὶ τοῖς ὀνόμασι δὲ πολλὴν ἔδειξεν τοῦ τρόπου τὴν διαφοράν, ἐνταῦθα μὲν «ἀποκτεννόντων»[8] εἰπών, ἐκεῖ δὲ ἀπολλυμένων οὐδέ ἐστιν ἔτι ‹σωτηρία›[9].

---

1. Πρβλ. Ματθ. 23,10. **2.** Πρβλ. Ματθ. 12,24. **3.** Πρβλ. Ματθ. 10,25. **4.** Πρβλ. Δ' Βασ. 1,2-3. **5.** Ρωμ. 2,16. **6.** Α' Κορ. 4,5. Πρβλ. Ματθ. 10,26. **7.** Πρβλ. Ματθ. 10,28. **8.** Ματθ. 10,28. **9.** Πράξ. 4,12.

57

Ματθ. 11,2-3

Ἕτεροι δέ φασιν· ὅτι μὴ ἀγνοῶν μηδὲ μαθεῖν βουλόμενος τοὺς μαθητὰς ὁ Ἰωάννης[1] ἀπέστειλεν, οἶμαι δῆλον εἶναι καὶ τῷ ποσῶς γοῦν ταῖς θείαις ἐνεσχηκότι Γραφαῖς· τοῦτο γὰρ ἔργον ἦν αὐτοῦ τὸ δεῖξαι πᾶσι παρόντα τὸν Χριστόν. Εὔηθες δὲ κἀκεῖνο, ὅτι μέλλων ὁ Ἰωάννης διὰ τοῦ θανάτου πρὸς τοὺς τετελευτηκότας χωρεῖν τούτους ἀπέστειλεν ἐρωτᾶν, εἰ αὐτὸς ἐκεῖνός ἐστιν ὁ μέλλων καὶ τοὺς ὑπὸ τοῦ θανάτου κρατουμένους ἐλευθεροῦν ὥστε κἀκείνοις εὐαγγελίσασθαι[2]· ὁ γὰρ εἰπών «ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου»[3] σαφῶς ‹ᾔδει› τὸ πάθος ὑπὲρ πάντων μᾶλλον προσάγεσθαι τῷ Θεῷ. Ὅλως δὲ εἴπερ ἠπίστατο αὐτὸν εἶναι τὸν Χριστόν, οὐδὲν ἠγνόει τῶν κατὰ τὸν ‹Χριστόν›· ᾔδει γὰρ ἀκριβῶς ὅσα δι' αὐτοῦ γενήσεται τοῖς ἀνθρώποις καλά, ἃ καὶ λέγοντα τοῖς ἀνθρώποις διαφόρως ἔστιν ἰδεῖν αὐτὸν ἀπὸ τῶν ῥηθέντων περὶ αὐτοῦ τοῖς εὐαγγελισταῖς. Πῶς οὖν κάτοπτον τὸν Ἰωάννην, ὃς τοσαύτην εἶχε τὴν γνῶσιν περὶ τοῦ Χριστοῦ ὡς πολλὰ μὲν εἰπεῖν περὶ αὐτοῦ, δεῖξαι δὲ αὐτὸν καὶ παρόντα νῦν μετὰ τὴν μαρτυρίαν καὶ τὸ πλῆθος τῶν ῥημάτων ἐκείνων, ἀγνοεῖν τὰ κακὰ τὸν Χριστόν, ὑπονοεῖν ‹δὲ› καὶ βούλεσθαι μαθεῖν παρ' αὐτοῦ; Ὃ δὴ καὶ αὐτὸ πάλιν οὐκ ἀκόλουθον· οὐδὲ γὰρ ἄν τις τοσοῦτο πρᾶγμα βουλόμενος μαθεῖν αὐτῶν τινι τῶν περὶ ‹αὐτὸν› καθ' ἑαυτὸν ἐχρήσατο μάρτυρι καὶ διδασκάλῳ. Πρὸς τούτοις δὲ ὁ παρὼν βίος πολιτείας καιρός, μετὰ δὲ τελευτὴν κρίσις καὶ κόλασις. Πλὴν ὁ τοῦ Χριστοῦ θάνατος οὐκ ἔλυσε τῶν προτετελευτηκότων ἁμαρτήματα· τὸ γὰρ εἰρημένον, ὅτι πύλαι χαλκαῖ καὶ μοχλοὶ σιδηροῖ συνεθλάσθησαν[4], διὰ τοῦτο ἐλέχθη, ἐπειδὴ τοῦ σώματος τοῦ Χριστοῦ τότε πρῶτον ὀφθέντος ἀθανάτου ἐδείχθη ὁ θάνατος ἀνῃρημένος. Τί οὖν; Ἠδικήθησαν οἱ πρὸ τῆς παρουσίας Χριστοῦ; Οὐδαμῶς. Ἤρκει γὰρ αὐτὸ εἰς τὸ σωθῆναι τὸ μὴ εἰδωλολατρεῖν, ἀλλὰ τὸν ἕνα μόνον καὶ ἀληθῆ σέβειν Θεόν. Νῦν δὲ οὐκ ἀρκεῖ

---

1. Πρβλ. Ματθ. 11,2-3. **2.** Ἔνθ' ἀν. **3.** Ἰω. 1,29. Ἡσ. 5,7. **4.** Πρβλ. Ψαλ. 106,16.

τοῦτο μόνον, ἀλλὰ καὶ τῆς τοῦ Χριστοῦ γνώσεως δεῖ. Οὐκοῦν οὐ δεῖ εἰπεῖν, ὅτι «ἐν Ἅδῃ τίς ἐξομολογήσεταί σοι»[1] ἐπεὶ πάντες ἐκεῖ μετανοοῦσι καὶ οὐδεὶς τιμωρεῖται.

58

Ματθ. 11,10-11

116 Οὗτος γάρ ἐστι περὶ οὗ γέγραπται· «ὁ δὲ μικρότερος ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν μείζων αὐτοῦ ἐστιν»[2].

59

Ματθ. 11,11

Ἂν μὲν κατὰ τὴν γέννησιν τὴν ἐκ γυναικὸς κρίνηται Ἰωάννης πρὸς τοὺς λοιποὺς ἀνθρώπους, πάντων εὑρεθήσεται «μείζων»[3], μόνος ἐν τῇ κοιλίᾳ τῆς μητρὸς Πνεύματος Ἁγίου πλησθεὶς ὡς «σκιρτῆσαι»[4] μὲν αὐτόν, μετασχοῦσαν δὲ τούτου προφητεῦσαι καὶ τὴν μητέρα· ἐὰν δέ γε συγκριθῇ κατ' αὐτὸ τοῦτο τοῖς «ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν»[5] μετέχειν μέλλουσιν τοῦ πνεύματος, εὑρεθήσεται, ‹φησίν›, ἐλάττων καὶ τοῦ πάντων ἐλάττονος, ἵνα εἴπῃ τῶν μετὰ τὴν ἐκ νεκρῶν ἀνάστασιν ἀναγεννωμένων εἰς ἀφθαρσίαν, ὅτι οὔπω τοσαύτης μετέσχε χάριτος, ὥστε μή «γεύσασθαι θανάτου»[6]. Ἡ δὲ τότε τοῦ πνεύματος περιουσία τοσαύτη περὶ τοὺς ἀνθρώπους ἔσται, ὥστε μηδὲ τὸν ἐλάττονος μετεσχηκότα δυνηθῆναι θανάτῳ λοιπὸν ὑποπεσεῖν.

60

Ματθ. 11,14

Τοῦτο δὲ καὶ — ἦν ὁ ὁρώμενος[7].

---

1. Ψαλ. 6,6. **2.** Ματθ. 11,11. Λουκ. 1,15. **3.** Ἔνθ' ἀν. **4.** Λουκ. 1,41,44. **5.** Ματθ. 11,11,12. **6.** Ματθ. 16,28. **7.** Πρβλ. Ματθ. 11,14.

61

Ματθ. 11,14

Ὥσπερ Ἠλίας[1] πρὸς τῇ συντελείᾳ τοῦ παρόντος βίου ἐλεύσεται τὴν μέλλουσαν ἐμοῦ κηρύττων ἐπιφάνειαν ἐξ οὐρανῶν ἐσομένην, οὑτωσὶ δὲ καὶ οὗτος τέλος δοὺς τοῖς παλαιοῖς τὴν ἐμὴν εὐηγγελίσατο παρουσίαν, ἐφ' οὗ καινή τις καὶ ἐν τύπῳ τῶν μελλόντων ἡ κατάστασις γίνεσθαι μέλλει.

62

Ματθ. 11,19

117 Οἱ πρὸς τὸ ἀληθὲς ὁρῶντες, φησίν, ἀπεδέξαντο τὴν Ἰωάννου καὶ Χριστοῦ ἀγωγὴν ὡς μετὰ σοφίας τῆς τῶν βίων ἐναλλαγῆς οἰκονομηθείσης πρὸς ὠφέλειαν τῶν ὁρώντων· αὐτὸ γὰρ τοῦτο «σοφίαν»[2] καλεῖ, τὰ σοφῶς γεγονότα· καὶ γὰρ εἰ καὶ μὴ Ἰουδαῖοι ἐπίστευσαν εἰς τὸν Χριστόν, μήτε διὰ τῆς Ἰωάννου νηστείας καὶ τοῦ ἐρημικοῦ βίου[3], μήτε διὰ τῆς συγκαταβατικῆς διαίτης καὶ οἰκονομικῆς πολιτείας αὐτοῦ τοῦ Δεσπότου Χριστοῦ, ἀλλ' οὖν αὐτὸς ὁ πάντα σοφῶς ἐκτελῶν τῷ μηδὲν παραλιπεῖν τῶν συντελούντων εἰς ὄνησιν καὶ σωτηρίαν αὐτῶν ἐδικαιώθη ἀπ' αὐτῶν. Καὶ οὐκέτι λοιπὸν ἔχουσιν αὐτῷ ἐγκαλεῖν· πάντα γὰρ ἐξεπλήρωσε τὰ αὐτοῦ μηδὲ σκιὰν αὐτοῖς ἢ ἀγνωμοσύνης ἢ ἀχαριστίας καταλιπών.

63

Ματθ. 11,25

Σοφοὺς λέγει τοὺς Ἰουδαίους, «ὅτι ἐπιστεύθησαν τὰ λόγια τοῦ Θεοῦ»[4] ἢ ὅτι σοφοὶ ἦσαν τοῦ κακοποιῆσαι· νηπίους[5] δὲ τοὺς Ἀποστόλους.

---

1. Πρβλ. Ματθ. 11,14. **2.** Ματθ. 11,19. **3.** Πρβλ. Ματθ. 11,18. **4.** Ρωμ. 3,2. **5.** Πρβλ. Ματθ. 11,25.

64

Ματθ. 11,27

Εἰ πάντων ἐστὶ Δεσπότης, μεμπτέοι οἱ μὴ ὑπακούσαντες καὶ ἐπεγνωκότες τὸν πάντων Κύριον.

65

Ματθ. 11,27

Δεικνὺς καθόλου τῆς τε φύσεως αὐτοῦ καὶ τῆς ἀξίας τὴν ἰσότητα καλῶς ἐπήγαγεν τό «ᾧ ἐὰν βούληται ὁ Υἱὸς ἀποκαλύψαι»[1], ἐπειδὴ **118** γὰρ εἶπεν ἄνω πρὸς τὸν Πατέρα, ὅτι «ἀπεκάλυψας αὐτὰ νηπίοις»[2], τὴν οἰκείαν γνῶσιν εἰσάγων ἐνταῦθα ἐπ' ἴσης τῷ Πατρὶ τὸ πᾶσιν ἄγνωστον καὶ ἑαυτὸν εἶναι ἀπεφήνατο, εἴπερ δὴ αὐτὸν ὁ Πατὴρ ἀποκαλύπτει οἷσπερ καὶ βούλεται. Ἐπήγαγεν τό «ᾧ ἐὰν βούληται ὁ Υἱὸς ἀποκαλύψαι»[3], τὸν Πατέρα λέγων ὡς διὰ πάντων καὶ τοῦ ἀκαταλήπτου φανῆναι τὴν ἰσότητα καὶ τῆς ἐξουσίας τοῦ γνωρίζειν, τοῦ μὲν Πατρὸς τὸν Υἱὸν ἀποκαλύπτοντος, τοῦ δὲ Υἱοῦ τὸν Πατέρα, οἷς βούλεται.

66

Ματθ. 11,27

Πάντα εἶπεν, ἵνα μὴ δύο Θεοὺς ἀγεννήτους νοήσῃς.

67

Ματθ. 11,28-30

Πῶς οὖν ὅτι καὶ αὐτὸς πολλὴν ἀπαιτεῖ τὴν ἀκρίβειαν; Οὔπω πεῖραν εἰλήφατε τῶν ἐμῶν καὶ διὰ τοῦτο οὕτως ταῦτα νομίζετε. Εἰ δὲ ὑποβαίητε τὸν ζυγὸν τὸν ἐμὸν[4] καὶ πιστεύσαιτε τοῖς παρ' ἐμοῦ δεδομένοις, εὑρήσετε πλείστην οὖσαν τῶν παρ' ἐμοῦ τε καὶ

---

1. Πρβλ. Ματθ. 11,27. **2.** Ματθ. 11,25. Λουκ. 10,21. **3.** Ματθ. 11,27. **4.** Πρβλ. Ματθ. 11,29.

Μωσέως τὴν διαφοράν· παρ' ἐμοῦ γὰρ ἀνεξικακία καὶ χρηστότης πολλή· πόσον γὰρ ὄγκον ἁμαρτημάτων ὁρῶν φόνους καὶ μονουχίαν καὶ τὰ τούτων ἀποῤῥητότερα ‹μακροθυμῶ› καὶ ἀνέχομαι τῶν ‹δρασάντων› οὐκ ἀπογινώσκων αὐτῶν, ἀλλὰ περιμένων, εἴ ποτε μεταμεληθεῖεν μεταβαλλόμενοί γε τὸν τρόπον, εὐθὺς ἀφίημι ἀμνηστείαν ἁπάντων ὁμοῦ χαριζόμενος αὐτοῖς. Ὁ δὲ νόμος οὐχ οὕτως, ἀλλ' εὐθὺς ὡς ἥμαρτε καὶ κολάζει τὸν ἡμαρτηκότα μεταμέλειαν οὐκ εἰδὼς ἀπὸ τῶν ἑξῆς προλαβόντα ἀφιέναι οὐκ ἐπαγγελλόμενος. Πάλιν ἐγὼ τὴν διάθεσιν ἀπαιτῶν οὐ τοσοῦτον περὶ τὴν τῶν γινομένων ἐξέτασιν ἀσχολῶ, ὅσον ἀρκοῦμαι ψυχῇ γνησίᾳ γνώμῃ τὸ καλὸν αἱρουμένῃ. Ὁ δὲ νόμος καὶ ἐπὶ τοῖς μικροῖς κόλασιν ἐπάγει καὶ κατάρᾳ τοὺς παραβαίνοντας ὑποβάλλει. Ὁ μὲν οὖν «ζυγὸς χρηστός»[1] διὰ τὴν συγχώρησιν, «τὸ δὲ φορτίον ἐλαφρόν»[2], ὅτι οὐ πλῆθος νομίμων καὶ παρατηρήσεις διάφοροι, ἀλλ' αἱρέσεις ψυχῆς· καὶ πρὸ τοῦ καλοῦ τὸ κρεῖττον μετ' ἀληθείας ἑλέσθαι καὶ τῆς θείας διαθέσεως.

68

Ματθ. 12,29

119 «Οἰκίαν»[3] ἐνταῦθα τὴν γῆν λέγει, «σκεύη»[4] δὲ τοὺς ἀνθρώπους. Οὐκοῦν ἐπειδὴ σκεύη τῶν δαιμόνων καὶ τοῦ διαβόλου γεγόνασιν οἱ ἄνθρωποι διὰ τῆς κακίας ὑπὸ τὴν ἐκείνου καταστάντες ἐξουσίαν, ἀδύνατον ἦν ἀφαιρεθῆναι τοὺς δαίμονας τὴν οἰκείαν κτῆσιν, ἀλλ' ἢ πρότερον αὐτῶν ἡττηθέντων καὶ δεσμῶν περιβληθέντων εἰς τὸ μὴ δύνασθαι αὖθις ὑπὲρ τῶν ἰδίων διαμάχεσθαι κτημάτων. Τοῦτο δὲ ὑπὸ τῶν δαιμόνων οὐκ ἄν ποτε ἐγένετο.

69

Ματθ. 12,33

Εἰ δὲ ταῦτα, φησίν, ἐπιτίμησις ἀλόγιστος εἶναι δοκεῖ καὶ οὐ τὸ Πνεῦμα τὸ Ἅγιον ἀληθῶς εἶναι τὸ βλασφημούμενον, τῷ δαίμονι

1. Ματθ. 11,30. 2. Ἔνθ' ἀν. 3. Ματθ. 12,29. 4. Ἔνθ' ἀν.

τὸ ἔργον ἐπιτρέψαντες ἅπαξ εἴπατε καὶ αὐτὸ τὸ γινόμενον εἶναι καλὸν ἢ κακὸν φάσκετε τὸ γινόμενον; Εἰ δὲ τοῦτο οὐ φατέ (κάκιστον γὰρ ἀνθρώποις ὑπὸ δαιμόνων κρατεῖσθαι, καλὸν δὲ τὸ τοὺς δαίμονας ἀπελαύνεσθαι τῶν ἀνθρώπων), πῶς δυνατὸν ἔργον οὕτω καλὸν ἐπιγράφειν τοῖς δαίμοσι, οὓς οὐκ ἄν ποτε εἴποιτε μὴ σφόδρα εἶναι κακούς; Γνώρισμα γὰρ φύσεως δένδρου καρπός[1].

70

Ματθ. 12,34

[709] Ὦ, φησίν, πάντων ἀνθρώπων πονηρότατοι καὶ κατὰ μηδὲν τῇ πονηρίᾳ τῶν ἐχιδνῶν[2] ἀφεστηκότες, οὐ θαυμαστόν, εἰ μηδὲν φθέγγεσθε ἀγαθόν· ἕπεται γὰρ τῇ διαθέσει τῆς ψυχῆς τὰ ῥήματα· ἀλλὰ πῶς εὔφημα φθέγγεσθε τὰ χείρω προῃρημένοι καθάπαξ καὶ πρὸς τὸ χεῖρον ἐκκλίνοντες[3];

71

Ματθ. 12,46-50

Ταῦτα εἶπεν οὐκ ἀποδοκιμάζων τὴν μητέρα καὶ τοὺς ἀδελφούς[4], ἀλλὰ δεικνύς, ὅτι πάσης σωματικῆς συγγενείας προτιμᾷ τῆς ψυχῆς τὴν **120** οἰκειότητα· πρὸς γὰρ τὸν οἰόμενον ὡς ἐπί τι σπουδαιότερον αὐτὸν καλεῖν τῶν οἰκείων τὴν ὁμιλίαν ἀναγκαῖον ἦν τοῦτο εἰπεῖν, ὁμοῦ καὶ εἰς διδασκαλίαν τῶν παρόντων· ὡς γὰρ αὐτὸς εἶπεν τοῖς μαθηταῖς· «ὁ φιλῶν πατέρα ἢ μητέρα ὑπὲρ ἐμὲ οὐκ ἔστι μου ἄξιος»[5], οὕτως νόει τὸν Ἰησοῦν προκρίνοντα τοὺς μαθητάς ὑπὲρ μητέρα καὶ ἀδελφούς.

72

Ματθ. 13,11

Ἠρώτησαν αὐτὸν οἱ μαθηταί, τίνος ἕνεκεν διὰ παραβολῶν ποιεῖται τὴν διδασκαλίαν. Ὁ δὲ ἐνδεικνύμενος διὰ τὸ τῶν ἀκουόν-

---

1. Πρβλ. Ματθ. 12,33. **2.** Πρβλ. Ματθ. 12,34. **3.** Ἔνθ' ἀν. **4.** Πρβλ. Ματθ. 12,46-50. **5.** Ματθ. 10,37.

των ἀνάξιον «ὑμῖν φησιν γνῶναι τὰ μυστήρια τῆς βασιλείας, ἐκείνοις δὲ οὐ δέδοται»[1], ἵνα εἴπῃ, ὅτι ὑμεῖς ἄξιοι ὄντες πάντα μαθεῖν τὰ πρὸς διδασκαλίαν συντείνοντα μαθήσεσθε καὶ τῶν παραβολῶν τὴν σαφήνειαν. Πρὸς δὲ τούτους μετὰ παραβολῶν λαλεῖ, ἐπεὶ μηδὲ ἄξιοι μαθεῖν εἰσι διὰ τὴν κακίαν τοῦ τρόπου. Εἶτα διὰ τῆς προφητικῆς φωνῆς τὴν κακίαν αὐτῶν ἐλέγχει ὡς πόῤῥωθεν κηρυττομένην καὶ παρὰ πᾶσιν ᾀδομένην μικροῦ τοῖς Προφήταις.

73

Ματθ. 13,13

Διὰ δύο τούτων ἕνεκεν πολλάκις ἔθος αὐτῷ κεχρῆσθαι ταῖς παραβολαῖς[2], ἢ διὰ τὸ περὶ πραγμάτων λέγειν ἀφανῶν, ὥστε τῇ παραβολῇ φανερὰ ποιῆσαι τὰ ἄδηλα καθὼς δυνατόν, ἢ διὰ τὸ τῶν ἀκουόντων ἀνάξιον, ὅταν μηδὲν ὄφελος αὐτοῖς ἀπὸ τῶν λεγομένων γίνηται. Ἔστι δὲ καὶ ἑτέρα τρίτη τῆς παραβολῆς αἰτία, τὸ ἐπ' ἐλέγχῳ λέγοντά τι πολλάκις τῶν ἀκουόντων ἐκλύειν τῇ παραβολῇ τῶν ἐλέγχων τὸ αὐστηρόν, οἷον ὅταν λέγῃ τὸ κατὰ τὸν ἀμπελῶνα καὶ ὅτι «κακοὺς κακῶς ἀπολέσει»[3] τοὺς γεωργούς, «τὸν δὲ ἀμπελῶνα ἐκδώσεται ἄλλοις»[4]· ταῦτα γὰρ πρὸς Φαρισαίους λέγων σαφῶς ἔφυγε τὸ τραχὺ τῶν ῥημάτων.

74

Ματθ. 13,33

121 «Ἀλεύρου σάτα τρία»[5] Ἕλληνας, Ἰουδαίους, Σαμαρείτας φησίν· τούτοις τοῖς τρισὶν ἐμβληθεῖσα ἡ ζύμη μίαν τῶν ὅλων τὴν φύσιν εἰργάσατο καὶ τὴν πιότητα· εἰς ταῦτα γὰρ τοὺς ἀνθρώπους μεμερισμένους

[709] «Ἀλεύρου σάτα τρία» Ἕλληνας καὶ Ἰουδαίους καὶ Σαμαρείτας ὀνομάζει· τούτοις τοῖς τρισὶν ἐμβληθεῖσα ἡ ζύμη ἓν φύραμα τὴν φύσιν πάντων εἰργάσατο.

---

1. Ματθ. 13,11. **2.** Πρβλ. Ματθ. 13,13. **3.** Ματθ. 21,41. **4.** Ἔνθ' ἀν. **5.** Ματθ. 13,33.

ἡ ἐμὴ διδασκαλία ἓν τῇ πράξει ‹ἐποίησεν›· οὕτως καὶ ὁ Ἀπόστολός φησιν· «ἐν γὰρ Χριστῷ Ἰησοῦ οὐχ Ἕλλην οὐκ Ἰουδαῖος»[1] καὶ τὰ ἑξῆς.

75

Ματθ. 13,44-46

Ἐπειδὴ πολλοὶ τῶν ἀλλοτρίων πάντη τῆς εὐσεβείας ἐξαίφνης κατὰ θείαν Χάριν ἔγνωσαν τοῦ Χριστοῦ τὸ μέγεθος ὡς πάντων καταφρονῆσαι τῶν παλαιῶν καὶ πρὸς ταύτην μόνον ἰδεῖν ὡς ἀληθείας καὶ σωτηρίας πρόξενον αὐτοῖς γενέσθαι δυναμένην, τοῦτό φησιν (ἤτοι τοῦ θησαυροῦ)[2]. Εἶτα ἐπάγει πάλιν, ὅτι πολλοὶ δὲ καὶ σφόδρα περὶ τὴν εὐσέβειαν ἐσπουδακότες ἐγνωκότες τοῦ κηρύγματος τὸ μέγεθος τῶν παλαιῶν ἀποστήσονται, οἷος ἦν ὁ Παῦλος, πολλὴν μὲν ὑπὲρ τοῦ νόμου τὴν σπουδὴν ἐπιδεικνύμενος, ἐπειδὴ δὲ ἔγνω τούτου τὸ μέγεθος πάντων ὑπεριδὼν ἐκείνων ὡς αὐτὸν λέγειν «ἅτινα ἦν μοι κέρδη, ταῦτα ἥγημαι διὰ τὸν Χριστὸν ζημίαν»[3]. Καὶ πάλιν· «πάντα ἐζημιώθην καὶ ἡγοῦμαι σκύβαλα, ἵνα Χριστὸν κερδήσω»[4]. Διὰ μὲν τῆς ἀνωτέρας τοὺς ἀπὸ Ἑλλήνων τῇ εὐσεβείᾳ προστιθεμένους ἔοικε λέγειν, διὰ δὲ ταύτης τοὺς ἀπὸ Ἰουδαίων. Ὅθεν αὐτοὺς ἐμπόρους[5] ἐκάλεσεν ὡς ἂν τῇ μαθητείᾳ τοῦ νόμου περὶ τὴν εὐσέβειαν σπουδάζειν ἐπαγγελλομένους.

76

Ματθ. 14,1-12

122[709] Ἕτερος ἦν Ἡρώδης ὁ βασιλεύς, ἕτερος δέ «ὁ τετράρχης»[6], υἱὸς ὢν ἐκείνου· ἐπ' ἐννέα γὰρ τοῖς ἔτεσιν μετὰ τὸν

Ἕτερος ἦν Ἡρώδης ὁ βασιλεύς, ἕτερος δέ «ὁ τετράρχης», υἱὸς ὢν ἐκείνου· ἐπ' ἐννέα γὰρ τοῖς ἔτεσιν μετὰ τὸν Ἡρώδου

1. Γαλ. 3,28. 2. Πρβλ. Ματθ. 13,44. 3. Φιλιπ. 3,7. 4. Φιλιπ. 3,8. 5. Πρβλ. Ματθ. 13,46. 6. Ματθ. 14,1. Λουκ. 9,7.

Ἡρώδου θάνατον κατεσχηκότος Ἀρχελάου τὴν ἀρχήν, εἶτα ἀτίμως τῆς βασιλείας ἐκπεσόντος, διεῖλον εἰς τετραρχίας οἱ Ῥωμαῖοι τὴν βασιλείαν ἤτοι οὖν εἰς τέσσαρα μέρη, ὅθεν καὶ τετράρχης ἕκαστος αὐτῶν ὀνομάζεται. Συνέβη δὲ καὶ Ἡρώδην τὸν τοῦ Ἡρώδου τοῦ βασιλέως υἱὸν ἕνα ἐκείνων γενέσθαι μέρους τινὸς ἄρχοντα καὶ αὐτόν, ὃς καὶ ἀποκεφαλίσας τὸν Ἰωάννην[1] δίκας ἔδωκεν οὐκ εἰς μακράν, ὡς ἀκριβέστερον μαθεῖν ἀπὸ τῆς τοῦ Ἰωσήπου γραφῆς δυνατόν. Τινὲς δὲ καὶ βασιλέα ἐκάλουν αὐτὸν εἴτε ἀπὸ τῆς τοῦ πατρὸς συνηθείας εἴτε καὶ ἀδεέστερον ἔτι τῇ φωνῇ κεχρημένων, ὅθεν καὶ ὁ Μᾶρκος ἀδιαφόρως αὐτὸν βασιλέα[2] ἐκάλεσεν, τοῦ Λουκᾶ ὁμοίως τῷ Ματθαίῳ ἀπὸ τῆς ἀξίας τετράρχην αὐτὸν ὀνομάσαντος. Ἡ μὲν οὖν αἰτία τοῦ φόνου, ὅτι τοῦ Ἡρώδου τὴν γυναῖκα τοῦ ἰδίου ἀδελφοῦ — Φίλιππος[3] δὲ ἐλέγετο — ἀφελομένου ζῶντος ἔτι καὶ θυγατέρα ἔχοντος ἐξ αὐτῆς συνοικοῦντός τε αὐτῇ καὶ οὐκ ἐνεγκὼν **123** τὸ μύσος ὁ Ἰωάννης ἤλεγχεν αὐτὸν ἐπὶ τῇ παρανομίᾳ[4]. Ὁ δὲ τὸν μὲν

θάνατον κατεσχηκότος Ἀρχελάου τὴν ἀρχήν, εἶτα ἀτίμως τῆς βασιλείας ἐκπεσόντος, εἰς τετραρχίας διεῖλον οἱ Ῥωμαῖοι τὴν Ἡρώδου βασιλείαν εἰς τέσσαρα μερισθεῖσαν καὶ τετράρχης ἕκαστος αὐτῶν ὠνομάζετο ὡς τοῦ τετάρτου μέρους τὴν ἀρχὴν ἔχων. Συνέβη δὲ καὶ Ἡρώδην τὸν τοῦ Ἡρώδου τοῦ βασιλέως υἱὸν ἕνα ἐκείνων γενέσθαι μέρους τινὸς ἄρχοντα καὶ αὐτόν, ὃς καὶ ἀποκεφαλίσας τὸν Ἰωάννην δίκας ἔδωκεν οὐκ εἰς μακράν, ὡς ἀκριβῶς τὸν βουλόμενον ταῦτα πάντα μαθεῖν ἀπὸ τῆς Ἰωσήπου γραφῆς δυνατόν. Οὐκ ἐψεύσατο τοίνυν ὁ εὐαγγελιστὴς οὔτε ἐκείνου τὴν τελευτὴν τοῦ Ἡρώδου εἰπὼν οὔτε περὶ τούτου διηγησάμενος, ἀλλὰ γὰρ καὶ τετράρχην εἰπὼν σαφῶς ἕτερον ὄντα παρ' ἐκεῖνον ἐδήλωσεν. Καίτοιγέ τινων καὶ βασιλέα καλούντων αὐτὸν εἴτε ἀπὸ τῆς τοῦ πράγματος συνηθείας, εἴτε καὶ ἀδεέστερον ἔτι τῇ φωνῇ κεχρημένων, ὅθεν καὶ ὁ Μᾶρκος ἀδιαφόρως βασιλέα αὐτὸν ἐκάλεσε τοῦ Λουκᾶ ὁμοίως τῷ Ματθαίῳ ἀπὸ τῆς ἀξίας τετράρχην αὐτὸν ὀνομάσαντος, ὡς καὶ παρὰ τοῦ

1. Πρβλ. Ματθ. 14,11. Μαρκ. 6,22-27. **2.** Πρβλ. Μάρκ. 6,14. **3.** Πρβλ. Ματθ. 14,3. **4.** Πρβλ. Ματθ. 14,4.

ἐλέγχοντα οὐ φέρων, δεδιὼς δὲ τόν «ὄχλον»[1], ὅτι μεγίστην εἶχεν περὶ αὐτοῦ δόξαν, ἀνελεῖν μὲν οὐκ ἐτόλμησεν καίτοιγε σφόδρα βουλόμενος, ἐγκαθείρξας δὲ αὐτὸν τῷ δεσμωτηρίῳ τῶν γενεσίων αὐτοῦ τελουμένων καὶ τῆς θυγατρὸς τῆς Ἡρωδιάδος[2] ὀρχησαμένης καὶ τήν «κεφαλὴν Ἰωάννου»[3] μισθὸν τῆς ἀσεβοῦς πράξεως αἰτησαμένης ἐπλήρου παρευθὺς τὴν οἰκείαν ἐπιθυμίαν ὁ Ἡρώδης· κελεύει[4] γὰρ τοῦ μακαρίου ληφθῆναι τὴν κεφαλήν. Πρόσχημα δὲ τῶν παρόντων ἐν ἑκάστου ὅρκου τῇ ἀνάγκῃ ἐποιήσατο «λυπηθείς»[5] δῆθεν καὶ αὐτὸς ἐπὶ τῷ γίγνεσθαι μέλλοντι. Εἰ δὲ μὴ εἶπεν τοῦτο ὁ εὐαγγελιστής, ἀλλὰ τὸ ἐναντίον, ὅτι ἐλυπήθη, οὐ θαυμάζειν προσῆκεν· ἔφην γὰρ πολλάκις, ὅτι τοῖς εὐαγγελισταῖς ἔθος ἅπαντα, ὡς ἐγένετο, λέγειν· τὰ γὰρ πράγματα, οὐ τὰς αἰτίας ἑρμηνεύειν οἰκεῖον ἐνόμιζον. Ἀμέλει τῷ εἰπεῖν, ὅτι βουλόμενος «αὐτὸν ἀποκτεῖναι τὸν ὄχλον ἐφοβήθη»[6], ἐδήλωσε σαφῶς, ἣν Ἡρώδης εἶχε περὶ τούτου γνώμην, ἐπεὶ καὶ τοῦ ὅρκου[7] μικρὸν Ἰωσήπου σαφέστερόν ἐστι μαθεῖν, οὐ τὸν ἄνδρα λέγοντος μόνον, ἀλλὰ καὶ τὴν πρᾶξιν αὐτοῦ διηγουμένου ταύτην καὶ προστιθέντος ἔτι καὶ τὴν τιμωρίαν, ἣν ἔδωκεν ὑπὲρ τούτου. Ἀκούων τοίνυν τοῦ Κυρίου τὰ θαύματα καὶ σφόδρα εἰδώς, ὅτι δίκαιον ὄντα μάτην ἀνεῖλε τὸν Ἰωάννην, ὑπέλαβεν αὐτὸν ἐγηγερμένον ἐκ νεκρῶν ταῦτα ποιεῖν.

1. Ματθ. 14,5. 2. Πρβλ. Ματθ. 14,6. 3. Ματθ. 14,8. 4. Πρβλ. Ματθ. 14,9. 5. Ἔνθ' ἀν. 6. Ματθ. 14,5. 7. Πρβλ. Ματθ. 14,9.

φροντίσαι ἐξῆν αὐτῷ, ὡς πολλῷ χεῖρον ἐργάσασθαι φόνον ἀνδρὸς οὕτω δικαίου[1] τολμήσας.

77

Ματθ. 14,1

Ἕτερός ἐστιν Ἡρώδης ὁ βασιλεὺς καὶ ἕτερος ὁ τετράρχης ὁ υἱὸς αὐτοῦ· μετὰ γὰρ τὸν τοῦ βασιλέως Ἡρώδου θάνατον εἰς τετράρ**124**χίας διεῖλον οἱ Ῥωμαῖοι τὴν βασιλείαν αὐτοῦ, ὁ δὲ τούτου υἱὸς ἓν μέρος τῆς τετραρχίας εἶχεν. Οὗτος δὲ ἦν ὁ τὸν Πρόδρομον καρατομήσας καὶ διὰ τοῦτο δίκας ἔδωκεν οὐκ εἰς μακράν.

78

Ματθ. 14,25

[709] «Τετάρτην λέγει φυλακὴν τῆς νυκτός»[2] τὴν τριωρίαν τὴν μετὰ τὴν ἐνάτην ὥραν τῆς νυκτός.

79

Ματθ. 15,1-6

Πάντως ἐσπούδαζον ἄλλο τι τοῦ Κυρίου διδάξαντος αὐτοὺς ἅπαντα ὡς ἔτυχεν πράττειν πρὸς τὴν χρείαν συντελοῦντα τοῦ σώματος, μόνης δὲ ἐπιμελεῖσθαι σφόδρα τῆς ἀρετῆς. Θεασάμενοι οἱ Φαρισαῖοι τοῦ νίπτεσθαι οὐ ποιουμένους φροντίδα ἐνεκάλουν, ὅτι μὴ μέλει τοῦ πράγματος αὐτοῖς· οὐδὲ γὰρ τοῦτο εἴποι τις, ὅτι σπουδὴ πάν-

Τὸ παραδεδομένον ἐξ ἀρχῆς τοῖς Ἰουδαίοις ἔθος οὐκ ἀνήρουν οἱ Ἀπόστολοι, ἀλλ' ἃ παρέλαβον παρὰ τοῦ Σωτῆρος ἐφύλαττον διδάγματα. Ἓν δὲ καὶ τοῦτο ἐτύγχανε τῶν τοῦ Χριστοῦ παραδόσεων τὸ ὡς ἔτυχε πράττειν τὰ πρὸς τὴν χρείαν τοῦ σώματος καὶ μηδενὸς ἐπιμελεῖσθαι πλὴν ἀρετῆς.

---

1. Πρβλ. Ματθ. 14,2. **2.** Ματθ. 14,25.

τως, ἣν αὐτοῖς μὴ νιπτομένους ἐσθίειν[1]. Τί οὖν πρὸς τοῦτο ὁ Κύριος· «διὰ τί καὶ ὑμεῖς παραβαίνετε τὴν ἐντολὴν τοῦ Θεοῦ διὰ τὴν παράδοσιν ὑμῶν;»[2]. Δείκνυσι δὲ καὶ βαρύτερον ἐκεῖ τὸ ἔγκλημα οὐ τῷ λύειν αὐτοὺς ἐντολὴν Θεοῦ μόνον, ἀλλὰ καὶ ἐν τῷ τοιαύτῃ ‹χρῆσθαι›· τοῦ Θεοῦ γὰρ κελεύσαντος τιμᾶσθαι τοὺς γονεῖς[3] παρὰ τῶν τέκνων καὶ οὕτως ὀφείλεσθαι αὐτοῖς τὴν τιμὴν ὡς καὶ τὸν μέχρι ῥήματος εἰς αὐτοὺς ἁμαρτάνοντα τῶν παίδων θανάτῳ κατακρίνει, ὑμεῖς φατε, ὅτι ἐπὶ τοῖς **125** τέκνοις ἢ τιμῆσαι τοὺς γονεῖς ἢ μὴ καὶ οὐδὲν ἄτοπον ἐρεῖ τῷ ἑαυτοῦ πατρὶ εἰπὼν ὁ γεννηθεὶς ἐξ αὐτοῦ, ὅτι ὅπερ ἂν λάβῃς ἐξ ἐμοῦ, τοῦτο δῶρον κομίζει καὶ χάριν, ὀφείλεται δὲ σοι τιμὴ οὐδεμία πληροῦν οὐ βουλομένου. Οὕτω ταῖς οἰκείαις παραδόσεσιν ἀτιμάζετε τοῦ Θεοῦ μεγίστου δωρεάς.

80

Ματθ. 15,13-14

«Φυτείαν»[4] ἐκάλεσεν ἠγνοημένην Θεῷ τὰς παραφυάδας τῶν Φαρισαϊκῶν παραδόσεων τὰς φιλονείκως καὶ ἀκαίρως ἀπομενού-

---

1. Πρβλ. Ματθ. 15,2. **2.** Ματθ. 15,3. **3.** Πρβλ. Ματθ. 15,4. Α' Τιμ. 5,8. Ἐξ. 20,12. Λευϊτ. 20,9. Παρμ. 28,24. **4.** Ματθ. 15,13.

σας τῷ γράμματι καὶ οὐχ αὐτὸν τὸν νόμον τὸν παρὰ Θεοῦ δοθέντα. Μὴ γένοιτο· μὴ γὰρ δὴ τούτῳ τὰς μυσαρὰς γλώσσας καὶ θεομάχους οἱ Μανιχαῖοι προστεχνάσθωσαν. Ἐπεὶ καὶ διὰ τοῦτο «τυφλούς»[1] ἐκάλεσεν ὡς τῷ γράμματι τὸν ὀφθαλμὸν προσερείσαντας καὶ μὴ βουλομένους ἐπὶ τὸ πνεῦμα διαβλέψαι καὶ τὸν ἔνδοθεν νοῦν.

81

Ματθ. 15,13-14

[709] Μανιχαῖοι δὲ βουλόμενοι δεικνύναι τὸν νόμον οὐκ εἶναι τοῦ Πατρὸς τοῦ Χριστοῦ ταύτῃ κέχρηνται τῇ μαρτυρίᾳ πλεῖστον ὅσον τῆς ἀληθείας ἀποσφαλέντες· οὐ γὰρ περὶ τῆς κατὰ νόμον λέγει διαγωγῆς, ἀλλὰ τῆς τῶν Φαρισαίων αἱρέσεως, οἳ ταῖς οἰκείαις ἐπινοίαις πλεῖστα ἐναντία τοὺς πειθομένους αὐτοῖς ἐξεπαίδευον, καθὼς καὶ αὐτὸς ὁ Κύριος ἀνωτέρω φαίνεται σαφῶς ἐλέγχων αὐτούς. Τοῦτο οὖν φησιν, ὅτι τὸ τούτων σύστημα οὐ παρὰ τοῦ Πατρὸς καταστάν, ἀλλ' ἀνθρωπίνως συστὰν ὑπεναντίως ταῖς τοῦ νόμου διατάξεσιν, ἃς ἔθετο διὰ Μωσέως τοῖς ἀνθρώποις ὁ Πατήρ, λυθήσεται πάντως, κἂν μυρία μάχεσθαι δοκῶσι πρὸς τὴν ἀλήθειαν· ἀλλὰ μηδὲ τὸ ἑπόμενον αὐτοῖς πλῆθός φησιν πτοείτω ὑμᾶς· πλανῶνται γὰρ κἀκεῖνοι ὡς εἰκός, ἐπείπερ οὐκ ἔστιν ὑπὸ πλανωμένου **126** τὴν ἀλήθειαν ἐκπαιδεύεσθαι· ὥστε τὸ ἀληθὲς δοκιμάζοντας ἀκριβῶς οὐ τῷ πλήθει προσέχειν προσῆκεν, ἀλλὰ καταφρονεῖν ὁμοίως γε κἀκείνων καὶ τῶν διδασκόντων αὐτούς, προτιμοτέραν ἁπάντων τὴν ἀλήθειαν εἶναι νομίζοντας.

82

Ματθ. 15,21-28

Ὁ δὲ Κύριος ἰδὼν τῆς γυναικὸς τὴν πίστιν[2] καὶ ὅτι ἀλλόφυλος ἦν ἀνεβάλλετο τῷ δοκεῖν τὴν θεραπείαν, ὁμοῦ μὲν Ἰουδαίοις ἐνδεικνύμενος τὸ μὴ ἐπ' ἴσῳ αὐτοῖς καὶ τοῖς ἀλλοτρίοις τὴν θερα-

---

1. Πρβλ. Ματθ. 15,14. Λουκ. 6,39. Ἰω. 9,40. **2.** Πρβλ. Ματθ. 15,28.

πείαν χαρίζεσθαι, ὁμοῦ δὲ καὶ τῆς γυναικὸς ἅπασι καταφανῆ τὴν πίστιν ἐργαζόμενος. Ὅρα δέ, εἰ βούλει, διὰ πείρας αὐτῆς τὸ ἠγνωμονηκὸς καὶ τὴν πίστιν. Τὸ μὲν γὰρ ἑλέσθαι καὶ ἐν κυνὸς[1] τάξει καταλογισθῆναι τῷ Κυρίῳ εὐλαβείας ἦν· τὸ δὲ οἰηθῆναι, ὅτι καὶ τὸ βραχύτατον αὐτοῦ τῆς δυνάμεως — τοῦτο γὰρ ψιχίον[2] ὀνομάζει — ἱκανὸν τῆς θυγατρὸς αὐτῆς παρασχεῖν τὴν ἴασιν πίστεως ὑπερβαλλούσης. Τὸ δὲ ἀπὸ τῆς λοιδορίας ἁρπάσαι τὴν οἰκείωσιν καὶ ποιήσασθαι ἀπόκρισιν συνέσεως εἶχε γνώρισμα. Τί γάρ φησιν; Ὅτι χάριν ἔχω καὶ ἐν κυνὸς εἶναί σοι τάξει· τέως γὰρ οὐκ ἀλλοτρία, ἀλλά τις οἰκεία ἀπὸ τραπέζης ἐσθίουσα τῆς δεσποτικῆς, εἰ καὶ μὴ τοῦ ἄρτου, ἀλλὰ τῶν γοῦν ψιχίων. Τοσοῦτος δέ σου τῆς τραπέζης ὁ πλοῦτος, ὥστε ἀρκεῖν μοι καὶ ψιχία πρὸς ἀπόλαυσιν τῶν σπουδαζομένων.

83

Ματθ. 15,23-28

Ὅτε εἶδεν τοὺς συνηγόρους ἑαυτῆς ἀποτυχόντας ἡ γυνή, τότε πάλιν δι' ἑαυτῆς αἰτεῖ καὶ οὐκ ἀπέστη, ἀλλ' ὡς Κυρίῳ λέγει «βοήθει μοι»[3], οὐ μὴν δεήθητι ὑπὲρ ἐμοῦ. Εἶτα πάλιν φησὶν ὁ Σωτήρ· «οὐκ ἔστι καλὸν λαβεῖν τὸν ἄρτον τῶν τέκνων καὶ βαλεῖν τοῖς κυναρίοις»[4]. Καὶ κύνα μὲν καλεῖ τὴν ἐθνικὴν διὰ τὸ τῆς ζωῆς ἀκάθαρτον καὶ τὴν περὶ εἰδωλολατρίας λιχνείαν, τέκνα δὲ τοὺς Ἰουδαίους διὰ τὸ δοκεῖν ἀνακεῖσθαι Θεῷ, ἄρτον δὲ καλεῖ οὐ μόνον τὴν διὰ λόγων διδασκαλίαν, ἀλλὰ καὶ τὴν διὰ σημείων τρέφουσαν τοὺς πιστούς. Πρὸς κατάκριμα δὲ τῶν Ἰουδαίων προῆλθεν ὁ λόγος, ἐπείπερ δοθείσης αὐτοῖς τῆς ἐν Κυρίῳ ζωῆς ὡς ἄρτου οὐ προσήκαντο. Εἶτα οὐδὲ ὑβριζομένη ἀγανακτεῖ ἡ γυνή. Τί οὖν ὁ Σωτήρ; Ἐφανέρωσε τὸ ἐξ ἀρχῆς οἰκονομούμενον τῆς ἀποκρίσεως· διὰ τοῦτο γὰρ **127** ἀνεβάλλετο, ἵνα τοῦτο ἀναβοήσῃ τὸ ῥῆμα ἡ γυνὴ καὶ ἐπιδείξῃ αὐτὴν μυρίων οὖσαν στεφάνων ἀξίαν· οὐ γὰρ ὡς μὴ βουλόμενος δοῦναι αὐτῇ τὴν χάριν ὑπερετίθετο, ἀλλ' ἐκκαλύψαι αὐτῆς τὴν πίστιν προμηθούμενος. Τιμᾷ δὲ τοῖς ἐπαίνοις

1. Πρβλ. Ματθ. 15,27. **2.** Ἔνθ' ἀν. **3.** Ματθ. 15,26. **4.** Ἔνθ' ἀν.



αὐτὴν τύπον ἐπέχουσαν τῆς ἐξ ἐθνῶν Ἐκκλησίας. Οὐκ εἶπε δέ· ἰαθήτω ἡ παῖς σου, ἀλλά· «γενηθήτω σοι ὡς θέλεις»[1], ἵνα δείξῃ, ὅτι ἡ δύναμις τῆς πίστεως αὐτῆς ἐξεβιάσατο τὴν θεραπείαν· εἰς δὲ καὶ πλειόνων ἀξία ἦν, ἀλλ' ὃ ἤθελε τοῦτο ἐδόθη αὐτῇ.

84

Ματθ. 15,28

Εἰ μὲν γὰρ εὐθὺς προσελθούσης τοῦτο ἔφη, χαρίζεσθαι μᾶλλον ἐδόκει· νῦν δὲ τῇ ἀναβολῇ ἀπὸ τῶν ῥημάτων τῆς γυναικὸς τούτου δειχθέντος καὶ ὁ ἔπαινος ἀκολούθως ἐπήγετο σύμφωνος ὢν τοῖς λεχθεῖσι καὶ ἡ θεραπεία προσεβεβαίου ἀμφότερα· καὶ Ἰουδαίοις μὲν κατηγορίας οὐκ ἀπελιμπάνετο πρόφασις, ὁ δὲ ἔλεγχος μείζων ἐγίνετο.

85

Ματθ. 15,34

[709] Οὐκ ἀγνοοῦντος ἡ ἐρώτησις, ἀλλ' ἐπὶ τὴν αἴσθησιν τῆς ἑαυτοῦ δυνάμεως ἐνάγοντος.

86

Ματθ. 15,34

Οὔπω τὴν βούλησιν συνῆκαν, ὅτι τὴν ἐπὶ ταῖς τροφαῖς αὖθις θαυματουργίαν ὑπὲρ τῆς πίστεως ὁ Κύριος ἐβούλετο παρασχέσθαι· καίτοι ἡ ἐπερώτησις εἰς τοῦτο αὐτὸ διανίστησιν ὡς ὁ Ἰωάννης διδάσκει, τό «πόθεν ἀγοράσωμεν ἄρτους, ἵνα φάγωσιν οὗτοι»[2]. Καὶ μετ' ὀλίγα· ἐβούλετο γὰρ διαγυμνάζεσθαι τὴν τῶν μαθητῶν ψυχὴν εἰς τὸ πιστεύειν τῇ θείᾳ αὐτοῦ δυνάμει, ὅτι μὴ λόγοις μόνον, ἀλλὰ καὶ ἔργοις τοὺς ἀκολουθοῦντας ἐπαίδευεν.

---

1. Ματθ. 15,28. **2.** Ἰω. 6,5. Πρβλ. Ματθ. 15,34.

87

Ματθ. 15,36

128 Διὰ τί «ἐδίδου τοῖς μαθηταῖς, οἱ δὲ μαθηταὶ τοῖς ὄχλοις;»[1]. Ἐπειδὴ καὶ τῷ Κυρίῳ τὸ πρέπον φυλάττεται καὶ τοῖς μαθηταῖς· Θεόν τε γὰρ διακονεῖσθαι πρέπει καὶ τοῖς διακονοῦσιν ἡ διακονία δόξα κατὰ τὸ οἰκεῖον τῆς μαθητείας τὴν λειτουργίαν ἀποτελοῦσι. Καὶ τὸ διὰ μέσων τῶν Ἁγίων εὐεργετεῖσθαι τοὺς ὑποδεεστέρους φυλάττεται καθάπερ ἐν ὑποπτώσει τινὶ μερικῇ. Ὅρα δέ, ὅτι καὶ μέχρι τῆς χρείας ἡ μετάληψις, οὐχ ὥστε καὶ λαβόντας ἀπενέγκασθαι, καίτοι πολλῶν γενομένων λειψάνων. Ἀγαθὸν δὲ καὶ τοῦτο σύμβολον πρὸς τὸ τῇ χρείᾳ μετρεῖν τὴν ἀπόλαυσιν καὶ μὴ πρὸς τὴν περαιτέρω τῆς χρείας πλεονεξίαν ἀπάγεσθαι.

88

Ματθ. 15,37-38

Διὰ τί ἐποίησε τὸ τῶν ἄρτων σημεῖον[2]; Πιστοποιῶν τὸν ὄχλον — ἄλευρον τῆς Σαραφθίας.

89

Ματθ. 16,1-4

Ἐλέγχει αὐτῶν τῆς αἰτήσεως τὸ προπετὲς φάσκων· τὸν μὲν ἀέρα κατά τινα τάξιν κινεῖσθαι νομίζετε ὡς ἀπὸ σημείων ὑμᾶς διακρίνειν πότε μὲν «εὐδία»[3], πότε δὲ «χειμών»[4] ἔσται, ἐπὶ δὲ τῶν σημείων τάξιν τινὰ μηδεμίαν εἶναι ὑπολαμβάνετε οὐδὲ καιρούς τινας, ἐν οἷς ποιεῖν ἢ μὴ ποιεῖν θαύματα προσῆκεν, ἀλλ' ἁπλῶς ἀτάκτως καὶ ἄνευ τινὸς λόγου τοιοῦτο γενέσθαι πρᾶγμα, ὡς, ὁπότ' ἄν τις αἰτοίη ἐπ' οὐδὲν χρήσιμον πειρασμὸν ἢ τὴν αἴτησιν ποιούμενος, δεῖν πάντως ὥσπερ ἐπί τινος παιγνιᾶς καὶ γίνεσθαι τὸ δοκοῦν τῷ αἰτοῦντι.

---

1. Ματθ. 15,36. **2.** Πρβλ. Ματθ. 15,37-38. **3.** Ματθ. 16,2. **4.** Ματθ. 16,3.

90

Ματθ. 16,6-7

129 Φυλάττεσθαι τοίνυν τὴν διδασκαλίαν αὐτῶν καὶ μὴ ὑπάγεσθαι τοῖς παρ' αὐτῶν λεγομένοις διδάσκει. «Οἱ δὲ διελογίζοντο ἐν ἑαυτοῖς λέγοντες, ὅτι ἄρτους οὐκ ἐλάβομεν»[1].

91

Ματθ. 16,14

Ἰδίως Ἰερεμίαν[2] ὑπειλήφασιν τὸν Χριστόν· ἴσως πᾶς διὰ τὸ γινώσκειν τὸν Κύριον αὐτοφυῆ τὴν σοφίαν ἔχοντα καὶ διδασκαλίας ἄνευ παραπλησίον γέ τι τοῦτο καὶ περὶ τὸν Ἰερεμίαν ἡγεῖτο, ὅτι παῖς εἰς προφητείαν ἐξείλεκτο καὶ χωρὶς ἀνθρωπίνης ἀγωγῆς ἀκολουθούσης προφήτου μείζονος προφήτης ἦν[3].

92

Ματθ. 16,18-19

Τοῦτο οὐκ ἴδιον Πέτρου[4] μόνου, ‹ἀλλ' ἐπὶ› πάντας ἀνθρώπους ἐγένετο. Ἀλλὰ πέτραν εἰρηκὼς τὴν ὁμολογίαν αὐτοῦ ἐπὶ ταύτῃ τὴν Ἐκκλησίαν οἰκοδομήσειν[5] ἀπεφήνατο, τῇ ἐπ' αὐτὸν ὁμολογίᾳ τε καὶ πίστει λέγων. Διὰ δὲ τοῦτο καὶ τὸν ταύτην ὁμολογήσαντα πρότερον τὴν φωνὴν ἀπὸ τῆς ὁμολογίας προσειπὼν περιῆψεν αὐτῷ καὶ ἐξουσίαν ταύτην ὡς ἂν προσεσομένην αὐτῷ, τὸ κοινὸν καὶ ἐξαίρετον τῆς Ἐκκλησίας καλὸν ἐπ' αὐτοῦ λέγων μόνον· ὡς γὰρ ἀπὸ τῆς ὁμολογίας, ἣ κοινὴ τῶν πιστευόντων ἤμελλεν ἔσεσθαι, τὴν προσηγορίαν ἔθηκεν αὐτῷ, οὕτως καὶ τὸ τῆς Ἐκκλησίας ἐξαίρετον ἐπ' αὐτοῦ λέγει ὡς ἂν προσεσόμενον διὰ τὴν ὁμολογίαν αὐτοῦ, δεικνὺς μὲν ἀκολούθως, ὅτι κοινὸν τοῦτο τῆς Ἐκκλησίας καλόν, ἐπεὶ καὶ τὸ τῆς ὁμολογίας αὐτῇ κοινὸν πρὸς Πέτρον ἤμελλεν γίνεσθαι. Τοῦτο οὖν φησιν, ὅτι παρὰ τῇ Ἐκκλησίᾳ τῆς βασι-

---

1. Ματθ. 16,7. **2.** Πρβλ. Ἱερ. 1,5-7. **3.** Πρβλ. Ματθ. 16,14. **4.** Πρβλ. Ματθ. 16,16. **5.** Πρβλ. Ματθ. 16,18-19.

λείας τῶν οὐρανῶν ἡ κλείς· ὡς γὰρ ἐὰν ἔχῃ τις πρὸς ταύτην, οὕτως ἕξει καὶ πρὸς τὰ οὐράνα πάντως· ὁ γὰρ εἰς τὴν Ἐκκλησίαν συντελῶν καὶ ταύτης εἰσγνωριζόμενος εἶναι τῶν οὐρανῶν ἐστι μερίτης καὶ κληρονόμος ὅ τε ταύτης ἀλλότριος ὅπως δήποτε καταστὰς οὐδεμίαν ἕξει πρὸς τὰ οὐράνια κοινωνίαν. Ταύτῃ τῇ φωνῇ μέχρι τοῦ δεῦρο κατακολουθοῦντες οἱ τῆς Ἐκκλησίας ἱερεῖς τοὺς μὲν οὐκ ἀξίους ἐκβάλλουσιν, τοὺς δὲ ὡς ἀξίους διὰ μετανοίας γινομένους εἰσποιοῦσιν.

93

Ματθ. 16,20

130 Ὅτε γὰρ εἶλον οἱ μαθηταὶ τὸ πνεῦμα, τότε τελείαν ἐδείξαντο τὴν περὶ τῆς τοῦ Υἱοῦ Θεότητος διδασκαλίαν ἐπιμαρτυροῦντος τοῦ Πνεύματος διὰ τῶν γεγενημένων σημείων ἐπὶ τῷ ὀνόματι αὐτοῦ. Ἔδει δὲ τοῦτο λαθεῖν καί «τοὺς ἄρχοντας τοῦ αἰῶνος τούτου»[1] τοὺς κοσμοκράτορας[2], ἵνα παθὼν ὁ Χριστὸς καὶ ἀναστὰς ἀναμορφώσῃ ἐν ἑαυτῷ ἀνθρώπου ζωὴν καὶ ἀνακτίσῃ αὐτὴν εἰς τὸ ἀπαρχῆς τῆς φθορᾶς αὐτὴν ἀπαλλάττων. ‹Αὕτη› σχεδὸν ἡ αἰτία τῆς παραγγελίας μηδέπω δεῖ λέγειν αὐτούς[3].

94

Ματθ. 17,10-11

Οὐκοῦν τῆς δευτέρας αὐτοῦ παρουσίας ἔσται πρόδρομος περὶ τὸν τῆς συντελείας καιρόν, ὅτε καί «ἀποκαταστήσει πάντα»[4] πρὸς ἐπίγνωσιν ἀληθῆ, πάντα τὸν πειθόμενον αὐτῷ ἀποκαθιστάς. Οἱ δὲ Γραμματεῖς ἀπατῶντες τὸν λαὸν ἔλεγον, ὅτι πρὸ τῆς τοῦ Χριστοῦ παρουσίας ἔρχεται Ἠλίας[5]. Καὶ περιεφέρετο ὁ λόγος οὗτος καὶ ἐν τῷ ἀπείρῳ δήμῳ ὃ καὶ ἐρωτῶσιν νῦν οἱ μαθηταί· πῶς οὖν αὐτὸ λύει;

---

1. Α′ Κορ. 2,6. **2.** Ἐφ. 6,12. **3.** Πρβλ. Ματθ. 16,20. **4.** Ματθ. 17,11. **5.** Πρβλ. Ματθ. 17,10.

95

Ματθ. 18,8

Ἐπειδὴ γὰρ ἕν — μετ' ἐκείνου τὸ αἰώνιον.

96

Ματθ. 18,18

Καλῶς ἐπήγαγε καὶ τό «ὃ ἐὰν λύσητε»[1], δεικνύς, ὅτι ἐὰν μεταμεληθέντας λύσωσιν, ἔχει τὴν ἰσχὺν τὸ γινόμενον ἅτε μιᾶς οὔσης ἐν οὐρανῷ καὶ γῇ τῆς Ἐκκλησίας. Τὸν ἐκ τῆς ἁμαρτίας δεσμὸν ὁ μὴ θελήσας ἑαυτοῦ λυθῆναι, ἀλλὰ καὶ τὸν ἐκ τῆς ἀλλοτριώσεως τῶν ἁγίων ἐφελκυσά**131**μενος, οὗτος ἀλλότριος καὶ τῆς ἐν οὐρανοῖς Ἐκκλησίας καὶ κατὰ τοῦτο δεσμώτης καὶ παρ' ἐκείνῃ· ὡς εἴγε πρὸς τὴν λύσιν προθυμηθείη, καὶ τῆς τῶν ἁγίων λύσεως τύχῃ «κυρωσάντων ἐπ' αὐτὸν τὴν ἀγάπην»[2], ὡς ὁ Παῦλος ἐδίδαξεν, οἰκεῖος ἔσται καὶ τῇ κατ' οὐρανὸν Ἐκκλησίᾳ λελυμένος ἀπὸ δεσμοῦ τοῦ τῆς κρίσεως.

97

Ματθ. 19,23-26

Ἐπειδὰν ἀναστῇ μὲν αὐτὸς ἀπὸ τῶν νεκρῶν, ἡ δὲ τοῦ Πνεύματος κάθοδος διὰ τῶν ἐπιτελουμένων θαυμάτων ἀκριβῆ πᾶσι τῆς ἀναστάσεως ἐργάσηται τὴν πίστιν, τότε ὄψεσθε πολλοὺς ὑπὲρ τῶν μελλόντων ῥᾳδίως τῶν παρόντων ὑπερορῶντας. Ὃ δὴ καὶ γέγονεν ὡς Λουκᾶς φησιν, ἐν ταῖς Πράξεσιν[3].

98

Ματθ. 19,29

Πρὸς τὸ καὶ ἀτελεύτητον λαβεῖν ζωήν[4], ὅ ἐστιν ἐν ἀπολαύσει εἶναι ἀεὶ καὶ ἐν τρυφῇ καὶ τῶν ἀγαθῶν μηδέποτε στέρεσθαι· τοῦτο

---

1. Ματθ. 18,18. **2.** Β' Κορ. 2,8. **3.** Πρβλ. Πράξ. κεφ. 2 ἑξ. **4.** Πρβλ. Ματθ. 19,29.

γὰρ ἡ ἀληθὴς ζωή, ἐπεὶ καὶ οἱ ἁμαρτωλοὶ ζῶσιν· πάντες γὰρ ἀνιστάμεθα[1], ἀλλ' ἐπειδὴ ἐν ἀλήκτοις βασάνοις ἔσονται, ἐν θανάτῳ λέγονται εἶναι, οἷς πολλῷ βελτίων ὁ θάνατος τῆς τοιαύτης καταστάσεως.

99

Ματθ. 23,15

[712] Πολλὴν ἐπιμέλειαν ἐπιδείκνυσθε, φησίν, ὥστε τινὰ τῶν ἀλλοτρίων τοῦ Ἰσραὴλ ἐπὶ τὴν εὐσέβειαν ἀγαγεῖν καὶ ποιῆσαι προσήλυτον· ἐπειδὰν δὲ τοῦτον τέλειον ποιήσητε καὶ τῆς εὐσεβείας οἰκειότατον, τότε διὰ τῶν ὑμετέρων πράξεων «υἱὸν γεέννης»[2] αὐτὸν ἐργάζεσθε.

100

Ματθ. 23,23-24

132 Ἀκριβεῖς μέν ἐστε, φησίν, τὰς δεκάτας ἀπαιτεῖν ὡς μηδὲ τοῦ ἡδυόσμου ἢ τοῦ κυμίνου[3] τῆς δεκάτης παραχωρεῖν, τῆς δὲ τοῦ δικαίου ἐπιμελείας οὐδένα ποιεῖσθε λόγον καὶ τῆς περὶ τὸν πλησίον ἀγάπης καὶ τοῦ βεβαίαν ἔχειν περὶ τὸ Θεῖον τὴν πίστιν[4], ἅπερ δεῖ ποιεῖν καὶ οὕτως, εἰ ἄρα, τὰ μικρά. Νῦν δὲ τοὐναντίον· περὶ μὲν τὰ εὐτελῆ τοῦ νόμου ἄγαν ἀσχολεῖσθε ὡς φιλοκερδεῖς, ὅπερ ἐστὶ διυλίζειν τὸν κώνωπα[5], τὰ δὲ μεγάλα παραπέμπεσθε, ὅ ἐστι τὴν κάμηλον καταπίνειν[6].

101

Ματθ. 24,12-15

Περὶ τῆς τοῦ κόσμου συντελείας ταῦτα εἰρῆσθαί φασιν, οὐ περὶ τῆς τῶν Ἱεροσολύμων. Τῆς δὲ ἀληθείας τῶν μετὰ πολὺ ἐκβησομένων χρόνων ἐγγύθεν τὴν ἀπόδειξιν παρεχόμενος μεθίστη τε ἐπὶ

---

1. Πρβλ. Α' Κορ. 15,51. **2.** Ματθ. 23,15. **3.** Πρβλ. Ματθ. 23,23. **4.** Ἔνθ' ἀν. **5.** Πρβλ. Ματθ. 23,24. **6.** Ἔνθ' ἀν.

τὰ Ἰουδαίων καὶ τὴν ἅλωσιν τῆς Ἱερουσαλήμ· οὐ γὰρ ταῦτα οὕτως ἐκβάντα ὡς Ἰησοῦς ἔφη θεασάμενοι καὶ περὶ τῶν εἰς ὕστερον εἰρημένων πιστεύειν ὡς ἐσομένων ἤμελλον εἰκότως. Διὸ ἐπάγει, φησίν, «ὅταν ἴδητε τὸ βδέλυγμα τῆς ἐρημώσεως»[1] καὶ τὰς τοῦ Καίσαρος εἰκόνας βδέλυγμα ἐρημώσεως καλέσας.

102

Ματθ. 24,29

[712] Οἱ τὴν ἐκπύρωσιν εἰσάγοντες τοῦ κόσμου Ἑλλήνων σοφοὶ τὰ μὲν περὶ ἡλίου καὶ σελήνης εἰρημένα δέχονται, οὐκέτι δὲ καὶ τὴν ἐξ οὐρανοῦ**[713]**τῶν ἀστέρων πτῶσιν[2] ὁμολογοῦσιν ὡς ἀγνοοῦντες τὴν τοῦ Θεοῦ δύναμιν καὶ ὅτι πάντα τῷ θελήματι αὐτοῦ ἀκολουθεῖ.

103

Ματθ. 24,48-49

Τὸ μὲν οὖν λέγειν «τὸν κακὸν δοῦλον, ὅτι χρονίζει, ὁ Κύριος»[3] τέθεικε σημαίνων, ὅτι οὐκ ἄλλως ἁμαρτάνουσιν, ἀλλ' ἢ τῷ μὴ παρεῖναι **133** τὸν κριτὴν μηδ' ὅλως ἔσεσθαι κρίσιν ἐννοεῖν αὐτούς· τὸ δέ «τύπτειν τοὺς συνδούλους»[4], λέγει τὴν μεγίστην γίνεσθαι τοῖς ἀρχομένοις βλάβην κατὰ ψυχὴν διὰ τῶν σφαλμάτων τῶν διδασκόντων.

104

Ματθ. 25,1-13

Δείκνυσιν ὡς οὐδὲ τὸ ἀρετῆς ἐπειλημμένον ἀσυμπαθῶς περὶ τοὺς ὑπηκόους ἔχειν ἄμεμπτον εἶναι ποιεῖ. Ὅθεν ἀντιπαρεξετάζων αὐτοῖς τοὺς μετὰ τῆς ἀρετῆς καὶ τὴν περὶ ἑτέρους συμπάθειαν ἐπιδεικνυμένους, παρθένους[5] μὲν τούτους κἀκείνους ἐκάλεσεν ὡς

---

1. Ματθ. 24,15. Δαν. 12,11. **2.** Πρβλ. Ματθ. 24,29. **3.** Ματθ. 24,48. **4.** Ματθ. 24,49. **5.** Πρβλ. Ματθ. 25,1.

ἐναρέτους ὁμοίως, ἀλλ' ἐκείνους μὲν φρονίμους[1] καὶ ἔλαιον[2] ἐπαγομένους ὡς ἂν καλῶς συνιέντας, ὅτι συγγνωμονικῶς προσήκει τὰ τῶν ὑπηκόων πταίσματα κρίνειν πρὸς ἀνθρωπίνην φοροῦντας ἀσθένειαν, πολλῇ διὰ πάντων τῇ φιλανθρωπίᾳ τοῦ Θεοῦ περὶ τοὺς πεπτωκότας χρησαμένου, ὡς ἁπάντων ἄμεινον ἰδεῖν ἐστι τῶν πραγμάτων· τοὺς γάρ τοι προεστάναι λαῶν ἠξιωμένους μάλιστα πάντων τὴν περὶ ταῦτα γνώμην μιμεῖσθαι πρέπει τοῦ Θεοῦ. Ὅθεν καὶ λαμπρὰς εἶναι τὰς λαμπάδας[3] αὐτῶν ἀπεφήνατο ὡς ἂν πανταχόθεν πολλὴν τὴν παῤῥησίαν ἔχοντας, μωροὺς[4] δὲ τούτους, οἳ οὐ συνῆκαν, ὅτι τὸ πικρῶς ἐξετάζειν καὶ ἀσυγγνώστως τῶν ἀνθρώπων τὰ πταίσματα ἀκριβείας προσχήματι οὐδαμῶς ἀρέσκει Θεῷ. Τὰ δὲ ἄλλα ἀκολούθως τῇ δοθείσῃ ὑπ' αὐτοῦ ὑποθέσει τῇ πρὸ αὐτοῦ ἑρμηνείᾳ χρησάμενος.

105

Ματθ. 25,24-28

[713] Καταχρύπτει[5] τὸ τάλαντον ἀγνώμων ὢν καὶ ὀκνηρὸς καὶ μηδὲν ἐργασάμενος ὧν ὁ Κύριος αὐτῷ ἐνετείλατο. Διὸ καὶ ἀρθήσεται ἀπ' αὐτοῦ καὶ δοθήσεται τῷ ἔχοντι[6] καὶ ἐργαζομένῳ.

106

Ματθ. 26,26-28

Καὶ Θεόδωρος δὲ ὁμοίως φησίν· εἰκότως οὐκ εἶπεν τοῦτό ἐστιν σύμβολον τοῦ σώματός μου καὶ τοῦτο τοῦ αἵματός μου, ἀλλά «τοῦτό **134** ἐστιν τὸ Σῶμά μου καὶ τοῦτο τὸ Αἷμα μου»[7], διδάσκων ἡμᾶς μὴ πρὸς τὴν φύσιν ἀφορᾶν τῶν προκειμένων, ἀλλὰ διὰ τῆς γενομένης εὐχαριστίας ἐπ' αὐτοῖς αὐτὰ ἐκεῖνα εἶναι πιστεύειν, ὧν δὴ καὶ τὰ σύμβολα πληρουμένοις.

---

1. Πρβλ. Ματθ. 25,2. **2.** Πρβλ. Ματθ. 25,4. **3.** Ἔνθ' ἀν. **4.** Πρβλ. Ματθ. 25,3. **5.** Πρβλ. Ματθ. 25,25. **6.** Πρβλ. Ματθ. 25,28. **7.** Ματθ. 26,26-27. Μάρκ. 14,22. Λουκ. 22,15-20. Α' Κορ. 10,16. Β' Κορ. 11,23.

107

Ματθ. 26,53

«Δώδεκα λεγεῶνας»[1] εἶπεν — Ἰουδαίων ἀνηκοΐαν σημαίνειν.

108

Ματθ. 27,44

Κατεχρήσαντο οἱ περὶ τὸν Ματθαῖον τῷ πληθυντικῷ ῥήματι ἀντὶ τοῦ ἑνικοῦ· ἔθος γὰρ πολλάκις ἡμῖν καὶ τοῖς πολλοῖς ἓν περιτιθέναι πρόσωπον καὶ ἑνὶ πολλά. Εἰκὸς δὲ αὐτὸν τὸν λῃστὴν[2] τὸν πιστεύσαντα καὶ Ἰουδαῖον εἶναι καὶ διὰ τοῦτο πιστεῦσαι, ὅτι αὐτός ἐστι περὶ οὗ εἶπον οἱ Προφῆται, ἐκ τῶν λεγομένων τε καὶ δρωμένων.

109

Ματθ. 27,50

Λουκᾶς φησιν· «εἰς χεῖράς σου παρατίθημι τὸ πνεῦμά μου»[3], ὃ δὴ καὶ ἀκοῦσαι τοὺς παρόντας ἀναγκαῖον ἦν τὴν ἔξοδον τῆς ψυχῆς, ἐπὶ τίσιν ἐγένετο· ἐδήλου γὰρ τῷ «παραθήσομαι» ὅτι πάλιν αὐτὴν λήψεται.

110

Ματθ. 27,51

«Ἐσείσθη δὲ καὶ ἡ γῆ»[4] — διὰ τοῦ θανάτου τοῦ Χριστοῦ.

111

Ματθ. 28,17

135 Ὁ διστάσας ἦν ὁ Θωμᾶς, ἀλλὰ πληροφορηθεὶς ἑδραίως ἐπίστευσεν[5].

---

1. Ματθ. 26,53. Λουκ. 2,13. **2.** Πρβλ. Ματθ. 27,44. Λουκ. 23,40-43. Ἡσ. 53,11. **3.** Λουκ. 23,46. Ἰω. 10,18. Πρβλ. Ματθ. 27,50. **4.** Ματθ. 27,51. **5.** Πρβλ. Ματθ. 28,17. Ἰω. 20,24-29.

112

Ματθ. 28,20

Τὸ μὲν περὶ δογμάτων, τὸ δὲ περὶ ἐντολῶν — ἐγχειρίσας τὴν διὰ τοῦ βαπτίσματος[1].

Β′*

1

Ματθ. 1,1

136 Ὁ μὲν μακάριος Ματθαῖος εὐθὺς καὶ ἐκ προοιμίων διδάξαι πάντα σκοπὸν ἐσχηκώς, ὅτι κατὰ τὰς προφητικὰς ὤφθη φωνὰς ὁ Χριστὸς ταῖς μὲν γεγενημέναις ἐπαγγελίαις τὸ ἀψευδὲς παρεχόμενος οὐδὲ μίαν δ' ἀγνωμοσύνης πρόφασιν τοῖς ἀπιστοῦσιν καταλιμπάνων, «βίβλος», φησί, «γενέσεως Ἰησοῦ Χριστοῦ υἱοῦ Δαβὶδ υἱοῦ Ἀβραάμ»[2] ἀντὶ τοῦ· τοῦτον ἐκήρυττον αἱ προλαβοῦσαι φωναί, τοῦτον ηὔδων αἱ πρὸς τοὺς δικαίους ἐπαγγελίαι.

2

Ματθ. 1,1

Περιττὸν μὲν τὸ τοῦτο ζητεῖν· τί γὰρ διαλλάτει τὸ πρῶτον τοῦτον εἰπεῖν ἢ τὸν ἕτερον; δι' ἑκατέρου γὰρ ἀπόγονος ὁμοίως ἀμφοτέρων ἐδείκνυτο. Ὁ δὲ εὐαγγελιστὴς οὐδὲ οὕτως φησίν· οὐ γὰρ τὸν Χριστὸν ἔφη «υἱὸν τοῦ Δαβίδ» καί «υἱὸν Ἀβραάμ», ἀλλὰ

---

* Κατὰ τὴν ἔκδοσιν J. Reuss, Matthäus-Kommentare aus der griechischen Kirche (Texte und Untersuchungen zur Geschichte der altchristlichen Literatur 61), Berlin 1957, σσ. 136-150. Τὰ ὡς ἄνω ἑρμηνευτικὰ ἀποσπάσματα ἀνήκουν εἰς τὸν Θεόδωρον Μομψουεστίας ἢ εἰς τὸν Θεόδωρον Ἡρακλείας.

1. Πρβλ. Ματθ. 28,19-20. **2.** Ματθ. 1,1.

τὸν μὲν Χριστὸν τοῦ Δαβίδ, τοῦ δὲ Ἀβραὰμ τὸν Δαβίδ, τὸ αὐτὸ μὲν καὶ οὕτως σημαίνων, οὐ τοῦτο δὲ τέως ἐν τῷ προχείρῳ λέγων τῆς λέξεως· τὸν γὰρ υἱὸν δῆλον ὡς οὐ τὸν γεννηθέντα λέγει, ἀλλὰ τὸν ἀπόγονον. Ἀλλὰ φαίη τις ἂν πρὸς αὐτόν, ὡς οὐκ ἀπὸ τοῦ Δαβὶδ ἀνάγειν ἐπὶ τὸν Ἀβραὰμ ἐβουλήθη τὸ γένος ὁ Ματθαῖος· τί δήποτε γάρ, εἰ τοῦτο ἤθελεν, μὴ κατὰ τὸν Λουκᾶν αὐτὸν ἐγενεαλόγησεν; Ἀλλ' εἰδικῶς δι' ἃς ἔφαμεν αἰτίας τοῦτό φησιν.

3

Ματθ. 1,2

Ἐντεῦθεν γὰρ τὸ τῶν Ἰουδαίων λοιπὸν χαρακτηρίζεται γένος. Καὶ ἀνάγκη **137** ἦν ἀπὸ τῶν δώδεκα τούτων μνημονεῦσαι δι' ὧν τὸ γένος ἐπὶ τὸν Χριστὸν κατάγεσθαι συνέβαινεν.

4

Ματθ. 1,16

Ἐπειδὴ τοίνυν ἐδόκει τι καινὸν ἐμφαίνειν τῇ μεταβάσει εἰπὼν «Ἰακὼβ δὲ ἐγέννησεν τὸν Ἰωσὴφ τὸν ἄνδρα Μαρίας, ἐξ ἧς ἐγεννήθη Ἰησοῦς ὁ λεγόμενος Χριστός»[1], ἐπηγγείλατο καὶ τὸν τρόπον ἡμῖν ἐκθέσθαι, καθ' ὃν γεγέννηται καί φησιν· «τοῦ δὲ Ἰησοῦ Χριστοῦ ἡ γέννησις οὕτως ἦν»[2]· ἀντὶ τοῦ οὐχ ὁμοίως ἐτέχθη τοῖς λοιποῖς, ἀλλ' ἑτέρως.

5

Ματθ. 1,20

Δυνατὸν δὲ νοῆσαι τὴν δύναμιν τοῦ Θεοῦ· καὶ γὰρ πνεῦμα[3] καλεῖται.

---

1. Ματθ. 1,16. **2.** Ματθ. 1,18. **3.** Πρβλ. Ματθ. 1,20.

6

Ματθ. 1,21

Καί τίνος ἕνεκεν «τὸν λαὸν αὐτοῦ»[1] εἶπεν — καὶ δεχόμενοι τὴν παρ' αὐτοῦ γνῶσιν*.

7

Ματθ. 2,7

«Ὁ Ἡρώδης λάθρα»[2] ἠβουλήθη ἐρωτῆσαι τοὺς μάγους δεδιὼς μή πως οἱ Ἰουδαῖοι ὡς οἰκεῖον βασιλέα σώσωσιν αὐτόν.

8

Ματθ. 2,23

138 Ἕτεροι δέ φασιν ταῦτα διαφωνεῖν πρὸς τὰ παρὰ τῷ Λουκᾷ κείμενα· εἰ γὰρ ἀπὸ τῆς Βηθλεὲμ κατὰ τὸν Λουκᾶν ἀνῆλθεν εἰς Ἰερουσαλὴμ κἀκεῖθεν εἰς τὰ Νάζαρα, πῶς κατὰ τὸν Ματθαῖον ἀπὸ τῆς Βηθλεὲμ χρηματισθεὶς ὁ Ἰωσὴφ ἀπήρθη εἰς Αἴγυπτον[3]; Λουκᾶς μὲν γὰρ τὸν καιρὸν ἱστορῶν τῆς τοῦ Σωτῆρος ἡμῶν γεννήσεως τῆς «Αὐγούστου» βασιλείας μνημονεύει καὶ τῆς κατ' αὐτόν «ἀπογραφῆς»[4] καὶ τὰ συμβάντα ἐπὶ τῇ τοῦ Σωτῆρος γεννήσει, ἀλλὰ καί «ὅτε», φησίν, «ἐπλήσθησαν αἱ ἡμέραι τοῦ περιτεμεῖν αὐτόν, ἀνήγαγον τὸ παιδίον εἰς Ἱεροσόλυμα»[5] καὶ τελέσαντες ἐπ' αὐτῷ τὰ νενομισμένα ἀπίασιν εἰς «Ναζαρέθ»[6]. Ὁ δὲ Ματθαῖος οὐδ' ὅλως τῶν παρὰ τῷ Λουκᾷ μέμνηται, τίθησι δὲ τὰ παρὰ τούτῳ σεσιγημένα, λέγω δὴ τὰ κατὰ τοὺς μάγους, κινησάντων μὲν ἴσως ἀπὸ τῆς ἀπὸ τῆς οἰκείας γῆς ἅμα τῷ γεννηθῆναι τὸν Ἰησοῦν οὔπω

---

* Τὸ παραλειφθὲν κείμενον τῶν ὑπ' ἀριθμ. 6, 10-13, 15, 30, 32, 34-35, 40-41, 44-45, 48-50 καὶ 52 ἀποσπασμάτων συμπεριλαμβάνεται εἰς τὰ ἔργα ἄλλων ἐκκλησιαστικῶν συγγραφέων, τὰ ὀνόματα τῶν ὁποίων ἀναφέρονται εἰς τὸν οἰκεῖον τόπον τῆς ὡς ἄνω κριτικῆς ἐκδόσεως τοῦ J. Reuss.

1. Ματθ. 1,21. **2.** Ματθ. 2,7. **3.** Πρβλ. Ματθ. 2,13-14. **4.** Λουκ. 2,1-20. **5.** Λουκ. 2,22. **6.** Λουκ. 2,39.

δὲ τὴν τοσαύτην στειλαμένων πορείαν ἐν καιρῷ βραχεῖ. Πόσος δὲ ἦν οὗτος ὁ μεταξὺ χρόνος τοῦ τε φανέντος ἀστέρος καὶ τῆς τῶν μάγων ἀφίξεως, αὐτὸς ἐδίδαξεν ὁ εὐαγγελιστὴς λέγων «ἀπὸ διετοῦς» καί «κατὰ τὸν χρόνον ὃν ἠκρίβωσεν παρὰ τῶν μάγων»[1]· οὐκοῦν διετὴς ἤδη χρόνος παρελήλυθεν ἀπὸ τῆς τοῦ Κυρίου γεννήσεως καὶ ἐπὶ τὴν ἄφιξιν τῶν εἰρημένων. Οὔκουν διαφωνεῖ τὰ παρὰ τοῖς ἱεροῖς εὐαγελισταῖς, εἰ μὲν ὁ Λουκᾶς ὀγδόῃ τῆς γεννήσεως ἡμέρᾳ ἀνάγει αὐτὸν ἅμα τοῖς γονεῦσιν εἰς Ἰερουσαλὴμ κἀκεῖθεν ἀπάγει ἐπὶ τὴν Ναζαρέθ[2], Ματθαῖος δὲ μετὰ διετῆ χρόνον γενόμενον πάλιν ἐν Βηθελεὲμ ἀναγράφει, ἐντεῦθέν τε εἰς Αἴγυπτον[3] ἀπεληλυθέναι διὰ τὴν τοῦ βασιλέως ἐπιβουλήν. Καὶ ἦν εἰκὸς οὐ μόνον δεύτερον, ἀλλὰ καὶ πλειστάκις ἐπιφοιτᾶν αὐτοὺς τῷ τόπῳ μνήμης τοῦ παραδόξου χάριν. Ὅτι δὲ μὴ εἷς ἦν παρ' ἀμφοτέροις χρόνος, καὶ ἄλλως ἔστι συλλογίσασθαι. Λουκᾶς φησι μὴ εὐπορῆσαι αὐτοὺς καταγωγείου ἐν τῇ Βηθλεὲμ[4] διὰ τὸ πλῆθος τῶν ἐπιξενουμένων αὐτόθι προφάσει τῆς ἀπογραφῆς, ὁ δὲ Ματθαῖος, ὅτι «ἐλθόντες εἰς τὴν οἰκίαν εἶδον τὸ παιδίον μετὰ Μαρίας τῆς μητρὸς αὐτοῦ, καὶ πεσόντες προσεκύνησαν αὐτῷ»[5]. Ἀλλ' οὐχ ἐν «φάτνῃ»[6] κείμενον αὐτοὶ καταλαμβάνουσι τὸ παιδίον ὁμοίως τοῖς ποιμέσιν, ἀλλ' ἔνδον ἐν «οἰκίᾳ μετὰ τῆς αὐτοῦ μητρός»[7] θεωροῦσιν. Ἐκεῖ μὲν γὰρ διὰ τὸ μὴ εἶναι «τόπον ἐν τῷ καταλύματι»[8] ἐν «φάτνῃ» τίθεται, ἐνταῦθα δὲ μετὰ διετῆ χρόνον ἐν «οἰκίᾳ» εὑρίσκεται ὑπὸ τῶν μάγων «μετὰ τῆς μητρὸς αὐτοῦ» σχολῆς οὔσης ἐν τῇ Βηθλεέμ «καὶ πεσόντες προσεκύνησαν αὐτῷ».

9

Ματθ. 3,2

139 «Βασιλεία ἐστὶν οὐρανῶν»[9] ἡ παρουσία τοῦ Χριστοῦ· αὕτη γὰρ ἡμῖν χαρίζεται τὴν τοῦ Πατρὸς μετάληψιν καὶ τὴν εἰς οὐρανοὺς ἄνοδον καὶ τὸ εἰς ἀγαθὸν τοῖς ἁγίοις ἐν τῷ ἐσομένῳ αἰῶνι ἄτρεπτον.

---

1. Ματθ. 2,16. **2.** Πρβλ. Ματθ. 2,23. **3.** Πρβλ. Ματθ. 2,13-15. **4.** Πρβλ. Λουκ. 2,2-7. **5.** Ματθ. 2,11. **6.** Λουκ. 2,7. **7.** Ματθ. 2,11. **8.** Λουκ. 2,7. **9.** Ματθ. 3,2.

10

Ματθ. 3,5

Καὶ γὰρ ἡ τοῦ βαπτίσματος[1] ὑπόληψις — ἔδει τῶν προοιμίων καὶ ὑψηλοτέρας ἀρχῆς. Ἰώσηπος ἐν τῷ πεντεκαιδεκάτῳ λόγῳ τῆς Ἰουδαϊκῆς ἱστορίας μαρτυρεῖ Ἰωάννῃ βαπτιστῇ γενομένῳ καὶ καθάρσιον τοῖς βαπτιζομένοις ἐπαγγειλαμένῳ.

11

Ματθ. 3,7-9

Οὐ γὰρ ἀρκεῖ τὸ φυγεῖν τὴν πονηρίαν — καὶ γὰρ καὶ τὰ ἀγαθὰ καὶ τὰ λυπηρὰ ἀθάνατα μηδὲ τοῖς προγόνοις σεμνυνόμενοι[2] τῆς κατὰ ψυχὴν ἀρετῆς ἀμελήσητε·

12

Ματθ. 3,10

Τί γὰρ λέγω, φησίν, ὅτι ἐκπίπτειν μέλλετε — διά τοι τοῦτο οὐδὲ ἀφειστήκει τῆς ῥίζης[3].

13

Ματθ. 3,16

140 Ἐπειδὴ πολλοὶ μείζονα αὐτοῦ Ἰωάννην ἐνόμιζον[4] — καὶ γὰρ ἕτερον οἰκονομίας ἀλήθεια καὶ ὄψεως προσκαίρου συγκατάβασις.

14

Ματθ. 4,12

Ἔοικεν Ἰωάννης πληρώσας ἐν τῷ Ἰησοῦ τὴν τοῦ βαπτίσματος διακονίαν εἰς αὐτὸν καταλήξασαν μετὰ τοῦτο παραδεδόσθαι

---

1. Πρβλ. Ματθ. 3,5-6. **2.** Πρβλ. Ματθ. 3,9. **3.** Πρβλ. Ματθ. 3,10. **4.** Πρβλ. Ματθ. 3,16.

καὶ ἐν φυλακῇ κατακεκλεῖσθαι· μετὰ γὰρ τὸ βαπτίσασθαι τὸν Ἰησοῦν οὐδὲν εὕρομεν ἀναγεγραμμένον περὶ Ἰωάννου ἢ ὅτι μετὰ τὸν πρὸς διάβολον πειρασμὸν εὐθέως καὶ ἅμα τῷ βαπτίσματι ὑπὸ τοῦ πνεύματος ἐκβληθεὶς εἰς τὴν ἔρημον[1], ὡς ὁ Μᾶρκος ἔγραφεν, «ἀκούσας Ἰησοῦς, ὅτι Ἰωάννης παρεδόθη ἀνεχώρησεν εἰς τὴν Γαλιλαίαν»[2]. Ἀλλὰ καὶ ὁ Λουκᾶς τῇ περὶ τοῦ βαπτίζειν τὸν Ἰωάννην διηγήσει συνάπτει[3] τὰ περὶ τοῦ κεκλεῖσθαι αὐτὸν ὑπὸ Ἡρώδου. Δῆλον δὲ ὅτι ‹καὶ› κατὰ τὸν εὐαγγελιστὴν Ἰωάννην οὗτος ἦν ὁ καιρὸς αὐτῷ τοῦ κεκλεῖσθαι εἰς φυλακήν· λέλεκται γὰρ παρ' αὐτῷ τό «ἦν δὲ καὶ Ἰωάννης βαπτίζων ἐν Αἰνὼν ἐγγὺς Σαλείμ»[4]. «Οὔπω γὰρ ἦν Ἰωάννης βεβλημένος εἰς φυλακήν»[5], κατὰ τοὺς τέσσαρας τοίνυν εὐαγγελιστὰς οὔτε πρὶν βαπτίσασθαι Ἰησοῦν ἀπήντα τι κώλυμα βαπτίζοντι Ἰωάννῃ οὔτε μετὰ ταῦτα ‹ἔτι ἐβάπτισεν›, ἀλλ' ἔδει καταλῆξαι τὰ Ἰωάννου ἐν ἀρχῇ τοῦ οἰκονομεῖσθαι τὸ εὐαγγέλιον ὑπὸ τοῦ Ἰησοῦ. Τάχα δὲ ἡ φρουροῦσα δύναμις Ἰωάννην, ἕως ἐν Ἰησοῦ τελειώσῃ τὴν τοῦ βαπτίσματος οἰκονομίαν, κατέλιπεν αὐτὸν τῷ τε ἐν φυλακῇ πειρασμῷ καὶ τῷ ἀποκεφαλισμῷ[6].

15

Ματθ. 5,5

Τινὲς δέ φασιν μὴ περὶ νοητῆς ταῦτα εἰρῆσθαι γῆς — ἀλλὰ μετὰ τούτων κἀκεῖνα παρέχων. Τοῦτον δὲ μακαρισμόν τινες τῶν ἀντιγράφων τρίτον περιέχουσιν, δεύτερον δὲ τὸν ἑξῆς τούτων κείμενον.

16

Ματθ. 5,6

141 Ἄλλος δέ φησιν, ὅτι τῆς τοιαύτης ἐπιθυμίας μισθὸν αὐτῷ τὴν τῶν μελλόντων ἀπόλαυσιν ἐπαγγέλλεται[7].

---

1. Πρβλ. Ματθ. 4,1. Μάρκ. 1,12. **2.** Ματθ. 4,12. Μάρκ. 1,14. Λουκ. 4,14. **3.** Πρβλ. Λουκ. 3,19-21. **4.** Ἰω. 3,23. **5.** Ἰω. 3,24. Πρβλ. Ματθ. 11,3-6. **6.** Πρβλ. Ματθ. 14,10. **7.** Πρβλ. Ματθ. 5,6.

17

Ματθ. 5,12

Ἐντεῦθεν αὐτοῖς παρέχεται τὴν παραμυθίαν ἀπὸ τῆς κοινωνίας τῶν πρὸ αὐτῶν πεπονθότων κακῶς[1], ὥστε καὶ ἀπ' ἐκείνων εἰδέναι προσῆκεν ἡμᾶς, ὅτι τοὺς ἀρετῆς ἐφιεμένους ἔξω καθεστάναι τῶν λυπηρῶν οὐ δυνατόν.

18

Ματθ. 5,16

Οὐ λέγει· «λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν»[2] τοῦ Θεοῦ· οὐδὲ γὰρ λύχνων φῶς λάμπει ἔμπροσθεν ἡλίου.

19

Ματθ. 5,15-16

Φῶς ἐστιν ἡ ἐνάρετος πολιτεία. Οὐ δεῖ ἐν κρυφῇ λαλεῖν τὸν εὐαγγελικὸν λόγον, ἀλλὰ παῤῥησίᾳ, ἵνα οἱ ἐπὶ γῆς ἄνθρωποι φωτισθῶσιν[3].

20

Ματθ. 5,22

«Ῥακά»[4] καλεῖ τὸν κατάπτυστον· οὕτω γὰρ καὶ παρὰ Σύροις ὁ πτύελος καλεῖται.

21

Ματθ. 5,35

142 Ἡ «γῆ ὑποπόδιον»[5], ὅτι ὑπὸ τὴν ἐξουσίαν, εἰ καὶ μὴ τῆς ἁγιότητος αὐτοῦ δεκτικὴ νῦν διὰ τὰς ἁμαρτίας. Τὸ δέ «Ἱεροσόλυμα πόλις ἐστὶ τοῦ μεγάλου βασιλέως»[6]. Τοῦτο δὲ πρὸς τὴν ὑπόληψιν τῶν Ἰουδαίων φησίν.

---

1. Πρβλ. Ματθ. 5,12. **2.** Ματθ. 5,16. **3.** Πρβλ. Ματθ. 5,15-16. **4.** Ματθ. 5,22. **5.** Ματθ. 5,35. **6.** Ἔνθ' ἀν.

22

Ματθ. 5,40

Οὐκ εἶπε τῷ θέλοντί σοι λαβεῖν τὸ ἱμάτιον, δὸς καὶ τὸ ἕτερον, ἀλλά «τῷ θέλοντί σοι κριθῆναι»[1], δεικνύς, ὅτι τὴν πρὸς τοὺς ἐναντίους φιλονεικίαν μὴ φεύγειν προσήκει, ὅταν ὑπὲρ τῆς εὐσεβείας ταύτην ἡμῖν ἐπάγωσι, καὶ πάθη καὶ ζημίαν ὑπομένοντας ἡδέως, ὥστε τὴν εὐσέβειαν μὴ παριδεῖν. Τοῦτο δὲ φυλακτέον ἂν πρὸς ἀρετὴν βλέπειν ἑλώμεθα.

23

Ματθ. 6,11

Ὡς τρέφεται εἰς ζωὴν ὁ ἄνθρωπος, οὕτω καί φασί τινες «τὸ ἐπιούσιον»[2] παρὰ τὸ ἐπιέναι καὶ ἐπέρχεσθαι, ἵν' ᾖ τοιοῦτον τὸ λεγόμενον· τὸν μὴ τοῦ ἐνεστῶτος αἰῶνος «ἄρτον», ἀλλὰ τοῦ μέλλοντος καὶ μετὰ ταῦτα ἀποδοθησόμενον ὑπό σου τοῖς ἀξίοις λαβεῖν ἤδη «δὸς ἡμῖν σήμερον»[3] καί «καθ' ἡμέραν»[4].

24

Ματθ. 6,22-23

Τινὲς δὲ τό «ὁ λύχνος τοῦ σώματός ἐστιν ὀφθαλμός»[5] περὶ τοῦ διδασκάλου τῆς Ἐκκλησίας εἰρῆσθαι ἔφασαν, ἀλλά μοι δοκοῦσιν οὐκ ἐπεσκέφθαι πᾶσαν τῶν εἰρημένων τὴν ἀκολουθίαν ἄνωθεν. Ἤρξατο γάρ «μὴ θησαυρίζετε»[6], εἶτα παρενθεὶς τό «ὁ λύχνος τοῦ σώματος» καὶ τό **143** «οὐδεὶς δύναται δυσὶ κυρίοις δουλεύειν»[7] ἐπήγαγεν· «οὐ δύνασθε Θεῷ δουλεύειν καὶ μαμωνᾷ»[8], δι' ὅλου δεικνύων, ὅτι σκοπὸς ἦν αὐτῷ τοὺς ἀκούοντας ἀποστῆσαι τῆς περὶ τὰ παρόντα σπουδῆς.

---

1. Ματθ. 5,40. **2.** Ματθ. 6,11. **3.** Ἔνθ' ἀν. **4.** Λουκ. 11,13. **5.** Ματθ. 6,22. **6.** Ματθ. 6,19. **7.** Ματθ. 6,24. **8.** Ἔνθ' ἀν.

25

Ματθ. 7,21

Οὗτος γάρ «τῆς βασιλείας» ἀπολαύει «τῶν οὐρανῶν»[1], ὅστις ἂν ἐπὶ τῶν ἔργων δείξῃ τὴν οἰκειότητα ταῦτα διδάσκων τε καὶ ποιῶν, ἃ καὶ παρὼν αὐτὸς παρέδωκε τοῖς ἀνθρώποις, οὕτως νόει μοι τοὺς σῳζομένους[2] πολλοὺς εἶναι πρὸς σύγκρισιν τῶν ἀπολλυμένων ὀλίγων νῦν.

26

Ματθ. 8,11-12.

Ὥσπερ τότε πρὸς σύγκρισιν τῶν ἀπολλυμένων ὀλίγοι ἦσαν οἱ σῳζόμενοι.

27

Ματθ. 9,12-13

Εἰ γὰρ ἐπὶ τῶν σωμάτων οὐ μυσαττόμεθα τοὺς πάσχοντας, ἤπού γε πάντα προσῆκε ποιεῖν ὑπὲρ τῶν κακῶς τὰς ψυχὰς διακειμένων, ὅπως ἂν ταύτας δυνηθεῖεν ἄριστα ἔχει. Ἐχρῆν δὲ ὑμᾶς, φησίν, ἀπὸ τῆς Θείας Γραφῆς μαθεῖν, ὡς ὁ περὶ τοὺς πλησίον οἶκτος πάσης ἐστὶν θυσίας προτιμότερος. Τίνας δὲ οἰκτείρειν δίκαιον ἢ τούτους, οἳ τὰς ψυχὰς οὐ κάλλιστα ἔχοντες, ὅπως ἂν ταύτας βέλτιον ἔχοιεν, δέονται διορθώσεως. Ὥστε κἀμοί, φησίν, τῆς παρουσίας σκοπός, οὐχ ἵνα δικαίους ὄντας ὠφελήσω τοὺς ἀνθρώπους (οὐδὲ γὰρ ἂν ἐδέοντο τοιούτου τινὸς δίκαιοι τὸν τρόπον ὄντες), ἀλλ' ἵνα ἁμαρτίαις τε κακῶς κείμενοι πολλαῖς οἰκείᾳ χάριτι μεταστήσονται πρὸς τὸ κρεῖττον· «οὐ χρείαν γὰρ ἔχουσιν, φησίν, οἱ ἰσχύοντες ἰατροῦ, ἀλλ' οἱ κακῶς ἔχοντες»[3].

28

Ματθ. 9,37-38

144 Ὁρᾶτε, φησίν, ὅση μὲν τῶν πιστευόντων ἡ ἐπίδοσις, ὅπως

---

1. Ματθ. 7,21. 2. Πρβλ. Ματθ. 8,11. 3. Ματθ. 9,12.

δὲ οὐκ εἰσιν οἱ τὰ προσήκοντα διδάξοντες αὐτούς, ὡς ἐντεῦθεν ἀναγκάζεσθαι ἐμοὶ κατακολουθοῦντας τοσοῦτον ὑπομένειν κάματον.

29

Ματθ. 9,37-38

Θεριστὰς δὲ αὐτοὺς καλεῖ[1] δεικνύων, ὅτι καὶ τὰ διὰ τῶν Προφητῶν γεγονότα διὰ τῆς αὐτοῦ δυνάμεως καὶ ἐπιχορηγίας ἐγένετο, καὶ ὅτι Προφητῶν καὶ Ἀποστόλων αὐτὸς Κύριος καὶ πάντων ἀνθρώπων ὡς Δημιουργός, καὶ ἐπὶ τὸν ἑαυτοῦ σπόρον, οὐκ ἐπ' ἀλλότριον ἀποστέλλει καὶ πέμπει τοὺς μαθητάς.

30

Ματθ. 10,5-6

Οὐ τελείως ἀπέκοψεν — νόμον οὐ φυλάξαντες.

31

Ματθ. 10,8-10

«Δωρεὰν ἐλάβετε, δωρεὰν δότε»[2]. «Τοὺς κατεσθίοντας τὰς οἰκίας τῶν χηρῶν»[3] Φαρισαίους ἀποτρέπει μιμήσασθαι, καινὸν τρόπον διδασκαλίας τὸν καθαρὸν καὶ ἀδωροδόκητον εἰσάγων καὶ τὴν πρὸς αὐτὸν ὑποδεικνὺς ἐν τῷ πράγματι μίμησιν· καθὸ τοὺς λαβόντας δωρεὰν παρ' αὐτοῦ τὰ χαρίσματα δωρεὰν κελεύει καὶ μεταδοῦναι. Μήτε «οὖν χρυσὸν μήτε ἄργυρον ἢ χαλκόν»[4] τῆς κατὰ τὴν ὁδὸν ἕνεκεν λαβεῖν ἀνάσχησθε, φησίν, χρείας, ἀλλὰ μηδὲ πήραν ἔχειν ὑμᾶς βούλομαι, ὥστε καὶ ἀπὸ τοῦ σχήματος δεικνύναι πᾶσιν ὑμᾶς, ὅσον ἀφεστήκαμε χρημάτων ἐπιθυμίας.

32

Ματθ. 10,11-15

145 Ταῦτά φησιν ὥστε — τὴν πόλιν[5] οἰκοῦσιν.

---

1. Πρβλ. Ματθ. 9,37-38. **2.** Ματθ. 10,9. **3.** Μάρκ. 12,40. Λουκ. 20,47. **4.** Ματθ. 10,9. **5.** Πρβλ. Ματθ. 10,15.

33

Ματθ. 10,34

Αὐτάρκως αὐτοὺς πρὸς τὰς λοιδορίας ὁπλίσας, ἀλλὰ μὴν καὶ τὰ πάθη φέρειν γενναίως παιδεύσας αὐτούς, ἐπειδὴ ἡ τῆς συγγενείας ὑπελιμπάνετο διάθεσις σφόδρα χαυνοῦν λογισμὸν ἱκανὴ οὖσα (τίς γὰρ ἂν ἕλοιτο ῥᾳδίως πρὸς τοὺς μάλιστα οἰκείους σφόδρα ἔχειν ἐχθρῶς;), καλῶς φησι τό «μὴ νομίσητε»[1] τοσοῦτον γὰρ ὑμᾶς ἀφεστάναι βούλομαι τοῦ τὴν σωματικὴν αἰδεῖσθαι συγγένειαν, ὅτι ἐκεῖνο πλέον εἰδέναι προσῆκεν ὑμᾶς ὡς τὸ κήρυγμα τὸ ἐμὸν πολλὴν τῶν οἰκείων ποιήσεται τὴν διαίρεσιν· τοὺς γὰρ τὸ πρὸς τὴν εὐσέβειαν ἅπαξ ἰδεῖν ἑλομένους ἐν δευτέρῳ πᾶσαν καὶ τὴν ἐγγύτατα βούλομαι τίθεσθαι συγγένειαν.

34

Ματθ. 10,41

Ἀνωτέρω μὲν κόλασιν ἀπειλεῖ τοῖς μὴ δεχομένοις[2] — καὶ τούτου κείσεταί σοι μισθός.

35

Ματθ. 12,18-21

Οὐκ ἐφιλονείκει πρὸς — τὰ ἔθνη[3] ἐπίστευσαν.

36

Ματθ. 12,30

Πῶς δυνατόν, φησίν, ἐμέ τε συνελθεῖν καὶ τοὺς δαίμονας οὕτως σαφῶς ἐμοῦ μὲν τἀναντία ἐκείνοις διαπραττομένου, ἐκείνων δὲ πάντων **146** πρὸς τοὐναντίον ἐπιτηδευόντων ποιεῖν; ἐγὼ μὲν γὰρ καὶ οἱ ἐμοὶ ἅπαντας ἐπὶ τὸν Θεὸν ἀνάγειν πειρῶμεν[4] καὶ τοῦτο

---

1. Πρβλ. Ματθ. 10,34. **2.** Πρβλ. Ματθ. 10,41. **3.** Πρβλ. Ματθ. 12,21. **4.** Πρβλ. Ματθ. 12,30.

βούλεταί μοι τῶν οἰκείων ὁ σύλλογος, ἐκεῖνοι δὲ ἅπαντας ἀφέλκειν ἐσπουδάκασιν.

37

Ματθ. 12,33

Ἐπειδὴ πονηρός ἐστιν ὁ Βεελζεβούλ, τὰ δὲ παρ᾽ ἐμοῦ γινόμενα ἀγαθότητος ἔχεται ἀμέτρου, ἀσύμφωνά ἐστι τὰ παρὰ ὑμῶν· οὔτε γὰρ ὁ πονηρὸς δύναται ἀγαθόν τι ποιεῖν οὔτε ὁ ἀγαθὸς πονηρόν, ὥσπερ οὐδὲ τὰ δένδρα ἀνομοίους ἑαυτῶν καρπούς[1].

38

Ματθ. 12,38

Ὡς ἂν τοῦ Μωσέως διὰ θαυμάτων αὐτοὺς πεπεικότος καὶ οὕτως δεδωκότος τὸν νόμον τοιοῦτόν τι βούλονται καὶ αὐτὸν ποιεῖν[2], ἵν᾽ ὡς δῆθεν μεταθησόμενοι τῆς γνώμης, εἰ τοῦτο ποιήσειεν.

39

Ματθ. 13,24-30

Μετὰ τὴν ἐπίδοσιν τοῦ Χριστιανισμοῦ καὶ ὅταν ἤδη κατὰ πάσης ἄρξηται φαίνεσθαι τῆς οἰκουμένης, ἀναδειχθήσονται αἱρέσεις παρατρεπόντων τινῶν τὴν ἀλήθειαν καὶ Χριστιανῶν ἐπαγομένων ὄνομα καὶ ταύτῃ τοὺς πολλοὺς δελεαζόντων· τοιοῦτον γὰρ καὶ τὸ ζιζάνιον[3] ἀπὸ τοῦ σίτου κατὰ διαφθορὰν γινόμενον καί τι φέρον τῆς ἀληθείας τοῦ σίτου κατὰ τὴν ὄψιν· τοῦτο λυπήσει, φησίν, καὶ τὰς ἀοράτους δυνάμεις εὐνοίᾳ τῇ πρὸς ἐμὲ ὡς ἐθελῆσαι καὶ ἀφανίσαι τοὺς εὑρετὰς ἤτοι τοὺς πειθομένους αὐτοῖς, ἀλλ᾽ ἐφέξω τοῦτο γενέσθαι δι᾽ αὐτοὺς ‹τοὺς› ἀλλοτρίους τῆς πίστεως, μήπου τι τοῦτο πασχόντων διὰ τὸ τῆς προσηγορίας κοινὸν οἰηθέντες οἱ ἐναντίοι τοὺς Χριστιανοὺς παρὰ τῶν δαιμόνων κολάζεσθαι τοῦ τολμήματος ἕνεκεν καὶ ὅτι πάντας ἀφίστασθαι τῶν εἰδώλων διδάσκουσιν, ἀλλοτριωθῶσι τῆς εὐσεβείας πάντη ὡς λοιπὸν αὐτοῖς μειοῦσθαι

1. Πρβλ. Ματθ. 12,33. 2. Πρβλ. Ματθ. 12,38. 3. Πρβλ. Ματθ. 12,25-30.

τῶν εὐσεβῶν τὸ συνάθροισμα τῶν πολλῶν φευγόντων προσιέναι τῷ 147 Χριστιανισμῷ ἀγνοίᾳ τῶν γινομένων. Τί δέ, Ὅτε «προσελθόντες οἱ δοῦλοι»[1] διαποροῦσιν, ἀποκρίνεται αὐτοῖς; ‹καὶ› τῶν μὲν λέγει τὴν διάθεσιν, τοῦ δὲ τὴν αἰτίαν τῆς συγχωρήσεως· καὶ γὰρ ὅταν ἐπὶ τῶν παραβολῶν ὁμιλίας ἀνατυποῖ, ταῖς μὲν παραβολαῖς τὸ εἰκὸς ἀναδίδωσιν, ἵνα καὶ δοκῶσιν εἶναι ἐντελεῖς ἐν διηγήματος τάξει γινόμεναι. Ἡμᾶς δὲ προσῆκεν τὸν σκοπὸν ἐξετάζειν, ὃν βούλεται διὰ τῆς παραβολῆς σημαίνειν.

40

Ματθ. 21,12

Τοῦτο καὶ Ἰωάννης φησίν — ὅθεν εἰκὸς δεύτερον γεγενῆσθαι τοῦτο. Σφοδρότερον δὲ τὸ ἔργον οὐκ ἐν νηπιότητι λόγου γινόμενον, ὁπότε καὶ τοὺς πιπράσκοντας «ἐξέβαλεν καὶ τὰς τραπέζας κατέστρεψεν»[2]· καίτοι κατὰ τὸ προφητικὸν οὐδὲν βίαιον πεποίηκεν κατὰ τό «οὐκ ἐρίσει οὐδὲ κραυγάσει» «οὐδὲ ἀκουσθήσεται ἡ φωνὴ αὐτοῦ»[3]. Καὶ ὁ Ἰωάννης «φραγγέλλιον ἐκ σχοινίων»[4] εἶπεν αὐτὸν πεποιηκέναι καὶ τοῦτο σημεῖον ἐπιτιμήσεως καὶ σφοδρότητος. Ἐν συμβόλοις οὖν καὶ τοῦτο ἀριθμητέον· οὐδὲ γὰρ ἔτυπτέν τινα φραγελλίῳ, ἀλλὰ σημεῖον ἦν τῆς ἐπιφερομένης μάστιγος τοῖς τὰ τοῦ Θεοῦ χραίνουσιν ἀγοραίοις πράγμασιν.

41

Ματθ. 21,33-41

«Οἰκοδεσπότην»[5] μὲν λέγει — καλῶς ἀπολέσαντος αὐτούς.

42

Ματθ. 22,16

«Ἡρωδιανούς»[6] φασιν εἶναι τοὺς Ἡρώδου στρατιώτας ἢ τοὺς ἀπαιτητὰς τῶν τελῶν τῶν ἐπιβληθέντων τοῖς Ἰουδαίοις ὑπὸ Ῥωμαίων.

---

1. Ματθ. 13,27. **2.** Ματθ. 21,12. **3.** Πρβλ. Ματθ. 12,19. Ἡσ. 42,2. **4.** Ἰω. 2,15. **5.** Ματθ. 21,33. **6.** Ματθ. 22,16.

43

Ματθ. 23,25

148 Πολὺ γὰρ κάλλιον καθαίρει τὸ σκεῦος ἡ δικαιοσύνη παρὰ τὸ ὕδωρ[1], ὥσπερ καὶ ἐπ' αὐτῶν τῶν ἀνθρώπων εἶχε. Καθαροὶ τὰ σώματα ἦσαν οἱ δίκαιοι παρὰ τοὺς τοῖς ὕδασι καθαιρομένους, ὥς φησιν ὁ Δαβίδ· «νίψομαι ἐν ἀθῴοις τὰς χεῖράς μου»[2], ὥστε σύμφωνα τοῖς τοῦ νόμου καὶ τὰ τοῦ Κυρίου.

44

Ματθ. 24,5-14

Διὸ καὶ δύο — ἐγὼ τὰ πάντα.

45

Ματθ. 24,39

Ἐνταῦθα ὁ Κύριος τῇ τρυφῇ τῇ ἐπὶ τοῦ Νῶε[3] — ὥσπερ ἡ ὠδὶς τῇ ἐν γαστρὶ ἐχούσῃ, οὕτως αὐτοῖς πάρεστιν.

46

Ματθ. 25,14-18

Ἀποδημίαν[4] καλεῖ τὸν ἀπὸ τῆς εἰς οὐρανοὺς ἀναλήψεως ἐν μέσῳ ἄχρι τῆς αὐτοῦ παρουσίας καιρόν, ἐν ᾧ ἀπεῖναι ἡμῶν δοκεῖ. Τὸ δέ «εὐθέως» τὸ ἀνυπέρθετον δηλοῖ τῆς σπουδῆς, ὅπως δεῖ τὰ τοῦ Θεοῦ ἐργάζεσθαι. Πέντε δὲ καὶ δύο τάλαντα καὶ ἓν τῆς λειτουργίας τὴν διαφοράν, ἐπισκόπου οἷον εἰπεῖν, πρεσβυτέρου, διακόνου· τῇ γὰρ ποσότητι τοῦ ταλάντου τὸ τῆς λειτουργίας πλέον ἢ ἔλαττον ἐμφαίνει. Ὅθεν καλῶς εἶπεν «ἑκάστῳ κατὰ τὴν ἰδίαν δύναμιν»[5], ἵνα εἴπῃ· καθὸ ἕκαστος ἀναλόγως τοῖς ἐγχειρισθεῖσι δύναται τὴν λειτουργίαν ἐκπληροῦν συνέβαινε· βούλεται γὰρ δεῖξαι,

---

1. Πρβλ. Ματθ. 23,25. **2.** Ψαλ. 25,6. **3.** Πρβλ. Ματθ. 24,39. **4.** Πρβλ. Ματθ. 25,14. **5.** Πρβλ. Ματθ. 25,15.

ὅτι καὶ τὴν προθυμίαν παρὰ πάντων ἀπαιτεῖ καὶ ἀμείβεται ὁμοίως.

47

Ματθ. 25,20-25

149 Διπλασιασμὸν μὲν τῶν δοθέντων καλεῖ τὸ ἐπιδείξασθαι μετὰ σπουδῆς τὰ προσήκοντα καὶ ἄλλοις γενέσθαι ὠφελείας αἴτιον, ἀνθ' ὧν μεγάλων αὐτὸν τεύξεσθαί φησιν μισθῶν εἰκότως· τοῦτο γάρ ἐστι «τὸ ἐπὶ πολλῶν σε καταστήσω»[1]. Τὸ δὲ κατακρύψαι εἶπεν τὸ μηδὲν ἐπιδείξασθαι τῶν δεόντων, ἀλλ' ἀφανῆ τὴν δοθεῖσαν αὐτῷ χάριν ἐργάσασθαι.

48

Ματθ. 26,29

«Βασιλείαν τοῦ πατρός»[2] ὀνόμασεν τὴν ἀνάστασιν, ἀφ' ἧς αὐτῷ τε ἡ βασιλεία προσεγίνετο καὶ τοῖς λοιποῖς τῶν ἀνθρώπων ἡ ταύτης κοινωνία. Τί δέ ἐστιν καινὸν ἀντὶ τοῦ καινῶς — καὶ ἄφθαρτον καὶ μὴ δεόμενον τροφῆς.

49

Ματθ. 26,31

Ἐταράχθησαν οἱ μαθηταὶ — ἑλομένῳ μοι παθεῖν[3].

50

Ματθ. 26,32

Προαναγγέλλει δὲ τὴν ἀνάστασιν[4] — τὰ ἔθνη μεταχωρεῖν.

---

1. Πρβλ. Ματθ. 25,21. **2.** Ματθ. 26,29. **3.** Πρβλ. Ματθ. 26,31. **4.** Πρβλ. Ματθ. 26,32.

51

Ματθ. 26,37

Οὐδὲ ἐκεῖνο ‹δεῖ› θαυμάζειν, ὅπως ἀγωνιῶν[1] ὁ Κύριος κατά γε τὸ ἀνθρώπινον φαίνεται καίτοι τῶν μαθητῶν χαιρόντων ἐφ' οἷς ἔπασχον πολλάκις. Ὥσπερ δυνάμενος ἑαυτῷ ἐξελέσθαι τὸν θάνατον παθεῖν συνε**150**χώρησεν ὑπὲρ τῆς τοῦ κόσμου σωτηρίας, οὕτως καὶ κατὰ τὴν ἀνθρωπίνην φύσιν ἀγωνιάσαι συνεχώρησεν πείθων αὐτοὺς μὴ δόκησίν τινα τὸ πάθος νομίζειν, ἀλλ' ἀλήθειαν καὶ μάλιστα τοῦ συντόμου τῆς ἀναστάσεως εὐκόλως αὐτοὺς εἰς ταύτην καταγαγεῖν δυναμένου τὴν ὑπόνοιαν.

52

Ματθ. 27,45

Τοῦτό ἐστι τὸ σημεῖον, ὅπερ ἔμπροσθεν — οὐ ταύτῃ δὲ μόνον τὸ παράδοξον ἦν ἀλλ' ὅτι καὶ ἐκ τοῦ οὐρανοῦ γέγονεν[2].

Γ'*

339 [1004] [173] «Θέλω καθαρίσθητι»[3], πρὸς τὸν λεπρὸν εἰπὼν ὁ Σωτὴρ ἔδειξεν μίαν εἶναι τὴν θέλησιν, μίαν τὴν ἐνέργειαν, κατὰ μίαν καὶ τὴν αὐτὴν ἐξουσίαν προαγομένην οὐ λόγῳ φύσεως ἀλλ' εὐδοκίας, καθ' ἣν ἡνώθη τῷ Θεῷ Λόγῳ ὁ κατὰ πρόγνωσιν ἐκ σπέρματος Δαβὶδ γενόμενος ἄνθρωπος, ἐξ αὐτῆς μήτρας τὴν πρὸς αὐτὸν ἐνδιάθετον ἔχων οἰκείωσιν.

---

* Κατὰ τὴν ἔκδοσιν H. B. Swete, Theodori episcopi Mopsuesteni in epistolas B. Pauli commentarii, τ. 2, Cambridge 1882, 1969², σ. 339 (J. - P. Migne, PG 66,1004. PG 91,173).

1. Πρβλ. Ματθ. 26,37. **2.** Πρβλ. Ματθ. 27,45. **3.** Ματθ. 8,3.

ΕΙΣ ΤΟ ΚΑΤΑ ΜΑΡΚΟΝ*

Μάρκ. 3,4

[713] Ἐρωτᾷ τοὺς Ἰουδαίους ὁ Σωτὴρ εἰ «ἔξεστιν» ἐν Σαββάτῳ θεραπεύειν, καί «ψυχὴν σῶσαι ἢ ἀπολέσαι»[1]· οἱ δὲ σιωπῶσιν, εἰδότες ὅτι πάντως αὐτὸν ἰάσεται.

Μάρκ. 4,26-29

Βουλήματι ἡμετέρῳ ἐπιτρέπων ἐνταῦθα ὁ Σωτὴρ τὴν ἐργασίαν, ἵνα μὴ τὸ πᾶν αὐτὸς κατεργαζόμενος φαίνηται, καὶ ἡμῶν ἀκούσιον ἔσται τὸ ἀγαθόν, καὶ μὴ κατὰ προαίρεσιν ἡμετέραν, [716] διὰ τοῦτο ἐπάγει· «Αὐτομάτη γὰρ ἡ γῆ καρποφορεῖ»[2], ἀλλ' οὐκ ἀνάγκης τρόπῳ· καρποφορεῖ δὲ ἡ γῆ «πρῶτον χόρτον» νόμῳ φύσεως, «εἶτα στάχυν· ὅταν δὲ παραδῷ ὁ καρπός»[3] καὶ αἱ χῶραι λευκανθῶνσι πρὸς θερισμὸν[4] ἐκτείνει τὸ δρέπανον ὁ καλὸς γεωργός, ἵνα συνάξῃ τὸν καρπὸν εἰς τὰς ἀποθήκας[5].

Μάρκ. 13,30

Ἄλλος δέ φησι, «γενεάν»[6] λέγειν αὐτόν «πονηράν»[7] τῷ τρόπῳ, καὶ οὐ τοῖς προσώποις, διδάσκων ὅτι παρόντων καὶ ὁρώντων τῶν ἀσεβῶν καὶ Χριστοκτόνων δείξει τὴν ἀπ' οὐρανοῦ δόξαν αὐτοῦ, ὥστε πληρωθῆναι τό, «ὄψονται εἰς ὃν ἐξεκέντησαν»[8].

* Κατὰ τὴν ἔκδοσιν J. -P. Migne, Patrologiae cursus completus, series graeca, τ. 66, Paris 1864, στ. 713-716.

1. Μάρκ. 3,4. **2.** Μάρκ. 4,28. **3.** Μάρκ. 4,28-29. **4.** Πρβλ. Ἰω. 4,35. **5.** Πρβλ. Ματθ. 3,12. 13,30. Λουκ. 3,17. 12,17. Ἰω. 4,36. **6.** Μάρκ. 13,30. **7.** Ματθ. 12,39,45. 16,4. Λουκ. 11,29. **8.** Ἰω. 19,37.

ΕΙΣ ΤΟ ΚΑΤΑ ΙΩΑΝΝΗΝ*

305 [728] Μετὰ τὴν εἰς οὐρανοὺς ἀνάληψιν[1] τοῦ Κυρίου ἐπὶ πολλῷ μὲν τοῖς Ἱεροσολύμοις ἐνδιέτριψαν οἱ μαθηταὶ τῷ χρόνῳ, τὰς πλησίον περινοστοῦντες πόλεις, καὶ μᾶλλον τοῖς ἀπὸ Ἰουδαίων διαλεγόμενοι περὶ τοῦ κηρύγματος, μέχρι Παῦλος ὁ μέγας ὑπὸ τῆς θείας χάριτος ἐναχθεὶς φανερῶς πρὸς τὸ τοῖς ἔθνεσι κηρύττειν ἀφωρίσθη[2]. Τοῦ δὲ χρόνου προβάντος, ἡ θεία χάρις οὐκ ἀνεχομένη τοὺς οἰκείους κήρυκας ἐν μέρει περικεκλεῖσθαι τῆς γῆς, διαφόροις οἰκονομίαις αὐτοὺς ἐπὶ τοὺς πόῤῥω τόπους ἐξήγαγεν. Ἡ μὲν γὰρ Σίμωνος πρόφασις τὸν μακάριον Πέτρον τὴν ἐπὶ Ῥώμην ὁδὸν ποιήσασθαι παρεσκεύασεν, ἕτερον δὲ ἑτέρως (οὐ γὰρ ταῦτα νῦν καταλέγειν καιρός). Οὕτω δὴ καὶ ὁ μακάριος Ἰωάννης οἰκεῖ τὴν Ἔφεσον, ἅπασαν ἐφοδεύων τὴν Ἀσίαν καὶ πολλὴν τοῖς ἐκεῖ διὰ τῶν οἰκείων λόγων τὴν ὠφέλειαν παρεχόμενος.

Γίνεται τοίνυν ἐν τούτοις ἡ τῶν λοιπῶν εὐαγγελιστῶν ἔκδοσις, Ματθαίου τε καὶ Μάρκου ἔτι μὴν καὶ Λουκᾶ τὰ οἰκεῖα γεγραφότων εὐαγγέλια, διεδόθη τε κατὰ πάσης ἐν ἀκαρεῖ τῆς οἰκουμένης καὶ ὑπὸ τῶν πιστῶν ἐσπουδάζετο πάντων μετὰ πολλῆς, ὡς εἰκός, τῆς διαθέσεως.

Ἀλλ᾽ οἱ περὶ τὴν Ἀσίαν πιστοὶ ἀξιοπιστότερον τῶν λοιπῶν εἰς τὴν τοῦ Εὐαγγελίου μαρτυρίαν Ἰωάννην κρίναντες εἶναι τὸν μακάριον, ὡς καὶ ἄνωθεν αὐτῷ συνόντα τῷ Κυρίῳ καὶ πρὸ Ματθαίου, καὶ πλείονος διὰ τὴν ἀγάπην τῆς χάριτος ἀπολαύσαντα, προσήνεγκαν μὲν αὐτῷ τὰς βίβλους, μαθεῖν ἥντινα περὶ αὐτῶν ἔχει τὴν δόξαν παρ᾽ αὐτοῦ βουλόμενοι. Ὁ δὲ ἐπῄνεσε μὲν τῆς ἀληθείας τοὺς γεγραφότας, ἔφησε δὲ βραχέα μὲν αὐτοῖς **306** παραλελεῖφθαι — καὶ τῶν μάλιστα ἀναγκαίων λεχθῆναι θαυμάτων —, τὰ διδασκαλικὰ δὲ ἅπαντα μικροῦ. Εἶτα δὲ δεῖν ἔφασκε τοὺς περὶ τῆς ἐν σαρκὶ τοῦ Χριστοῦ παρουσίας διαλεγομένους μηδὲ τοὺς

---

* Κατὰ τὴν ἔκδοσιν R. Devreesse, Essai sur Théodore de Mopsueste (Studi e testi 141), Città del Vaticano 1948, σσ. 305-419. (J. - P. Migne, PG 66, 728-785).

1. Πρβλ. Πράξ. 1,9. **2.** Πρβλ. Ρωμ. 1,1.

περὶ θεότητος λόγους παραλιπεῖν, ὥστε μὴ τοῦ χρόνου προβαίνουντος τούτοις ἐνεθισθέντας τοῖς λόγοις ἀνθρώπους, τοῦτο μόνον αὐτὸν νομίζειν ὅπερ ἐφαίνετο.

Ἐπὶ τούτοις παράκλησις τῶν ἀδελφῶν [729] ἐγένετο, ταῦτα ἃ μάλιστα ἀναγκαῖα μὲν κρίνει πρὸς διδασκαλίαν, παραλελειμμένα δὲ ὁρᾷ τοῖς λοιποῖς, γράψαι μετὰ σπουδῆς· ὃ δὴ καὶ πεποίηκεν. Ὅθεν εὐθὺς μὲν καὶ ἐξ ἀρχῆς περὶ τῶν τῆς θεότητος ἐφιλοσόφησε δογμάτων, ταύτην ἀναγκαίαν τοῦ Εὐαγγελίου κρίνων ἔσεσθαι τὴν ἀρχήν. Καὶ οὕτως ἐπὶ τὴν οἰκονομίαν μεταβάς, τότε καὶ αὐτὸς περὶ τὸ Ἰωάννου βάπτισμα ἐγένετο, τῶν ἐν σαρκὶ παρὰ τοῦ Κυρίου ἢ λεχθέντων ἢ γεγονότων οὐχ ἑτέραν τινὰ ἀλλ' ἢ ταύτην εἰδὼς οὖσαν ἀληθεστάτην ἀρχήν, ἀλλὰ καὶ περὶ τοῦτο γενόμενος μᾶλλον ἐφιλοτιμήσατο τὰ τοῖς ἄλλοις εἰπεῖν παραλελειμμένα. Ἀλλὰ καὶ τάξιν τινὰ ἐπιθεῖναι τῇ διηγήσει προσήκουσαν ἐφρόντισεν, καὶ τὰ μὲν ὡς ἐν τῇ πρώτῃ γέγονεν εἰρηκὼς ἡμέρᾳ, ἔτι καὶ τὸν τόπον, ὡς «ἐν Βηθαρᾷ πέραν τοῦ Ἰορδάνου»[1], τὰ δὲ τῇ δευτέρᾳ, εἶτα τοὺς ἐντεῦθεν ἀκολουθήσαντας μαθητάς. Καὶ ὅλως ἀκριβῶς τις ζητῶν εὑρήσει τοῦτον μνημονεύοντα ὅσων ἥ τε ἀκολουθία κατέπειγε καὶ τὴν παράλειψιν οὐκ ἀναγκαίαν ἔκρινεν. Καὶ ἐφεξῆς δὲ συνάπτει τὰ τοῖς λοιποῖς παραλελειμμένα· καὶ τῆς εἰς τοὺς γάμους μέμνηται μόνος, «ἀρχὴν σημείων»[2] ἐκεῖνο φανερῶς ἀποφαινόμενος. Διδασκαλικῶν τε μικροῦ μέμνηται πάντων ὧν ἐμνημόνευσεν τῶν ἄλλων οὐδείς, καὶ τῶν θαυμάτων ὁμοίως. Εἰ δέ που καὶ μέμνηται σημείου μνημονευθέντος τοῖς λοιποῖς, πάντως διά τινα μέμνηται χρείαν, οἷον τὸ κατὰ τοὺς ἄρτους μνημονευθὲν **307** μὲν καὶ τοῖς ἄλλοις· τέθεικεν δὲ αὐτὸ διὰ τὴν ἐπισυνημμένην ἀναγκαίως διδασκαλίαν, ἐν ᾗ καὶ τῶν μυστικῶν ἥψατο λόγων. Τούτων γὰρ ἀφορμὴ μὲν ἦν τὸ θαῦμα[3], οὐκ ἐνὸν δὲ τῶν λόγων μνημονεύειν μὴ τῆς τοῦ λόγου ἀψάμενον αἰτίας.

Ἰω. 1,1-2

Οἱ περὶ τῆς τῶν ὀνομάτων φιλοσοφήσαντες χρήσεως, ἐπειδήπερ τοῖς φυσικοῖς εἵποντο καὶ αὐτοὶ κατά γε τοῦτο λογισμοῖς,

---

1. Ἰω. 1,28. **2.** Ἰω. 2,1-11. **3.** Πρβλ. Ματθ. 14,17-21.

κάλλιστον ὅρον ἀπέδοσαν τῆς «ἀρχῆς», «ἀρχήν» εἰπόντες τὸ πρῶτον πέρας τῶν μετὰ ταῦτα, πρῶτον τε πέρας πάλιν εἰπόντες (αὐτοὶ γὰρ ἑαυτοὺς δίκαιον ἑρμηνεύειν ἐνόμισαν) τὸ πρὸ παντὸς ὄν, οὕτω γοῦν καί «ἀρχήν» τὸ ἀεὶ ὂν ἔθος αὐτοῖς πολλάκις καλεῖν καὶ γὰρ οἱ μὲν αὐτῶν «ἀρχήν» τῶν ὄντων ἔφασαν Θεόν, ὡς ἂν καὶ πρὸ πάντων ὄντα, ἔχοντα δὲ καὶ ὑπερκείμενον οὐδὲν ἑαυτοῦ, οἱ δέ τινα τῶν ὁρωμένων στοιχείων ἢ γῆν ἢ ἀέρα ἢ ὕδωρ ἢ πῦρ ἢ καὶ τὰ τέσσαρα, ὡς ἂν ἕκαστος ἐνόμισεν, ὡς ἂν τῶν μὲν ὄντων ἀεί, τῶν δὲ ὑστέρων ἐξ αὐτῶν ὑποστάντων. Καὶ ὅλως διὰ τῆς τῶν ὀνομάτων χρήσεως καὶ διὰ τῆς τῶν νοημάτων ἐκθέσεως, ἔδειξαν ὡς «ἀρχήν» τὸ πρὸ παντὸς ὄν φασιν.

Οὐ μὴν δὲ τὴν θείαν Γραφὴν ἔξω τοῦ σκοποῦ τούτου φθεγγομένην εὑρήσεις, ἀλλὰ πάνυ γε καὶ αὐτὴν δεξαμένην ταύτην τοῦ ὀνόματος τὴν χρῆσιν. Καὶ ἵνα τὰ πολλὰ παραλιπὼν ἐπὶ τὸ σύντομον ἔλθω, Μωυσῆς ὁ μακάριος παιδεῦσαι τοὺς Ἰσραηλίτας προθέμενος περί τε τοῦ Θεοῦ καὶ τῶν κτισμάτων, ὡς ὁ μὲν μόνος ἦν, τὰ δ' ἐγένετο, βουληθεὶς δὲ καὶ τάξιν ἡμῖν τῆς τῶν γεγονότων ἐκφράσαι δημιουργίας «Ἐν ἀρχῇ», φησίν, «ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν»[1] τὸ μὲν ὅτι «ἦν ἐν ἀρχῇ» οὐκ εἰπών· οὐ γὰρ ἁρμόττειν ἐνόμιζε τὴν φωνὴν τοῖς οὐκ οὖσι καὶ γεγονόσιν, ὧν προόντα τὸν πεποιηκότα Θεὸν ἐγνώριζεν, ἀλλ' οὐδὲ ὅτι «ἐν ἀρχῇ» εἰπεῖν ἠνέσχετο.

308 Κρεῖττον γὰρ ἐνόμισε τοῦ ποιητοῦ μνημονεῦσαι πρῶτον, διό φησιν, «Ἐν ἀρχῇ ἐποίησεν»[2]. Πρῶτον γὰρ τοῦ πεποιηκότος αὐτὰ μνημονεύσας Θεοῦ, ὥστε πρῶτον ἐπ' ἐκεῖνον ἀναγαγεῖν τοῦ ἀκροατοῦ τὴν διάνοιαν, τότε ποιηθέντων ἐμνημόνευσεν. «Ἐν ἀρχῇ» μέντοι ταῦτα πεποιῆσθαί φησι διὰ τὰ ἐν ταῖς ἑξῆς ἡμέραις γεγονότα μέχρι τῆς τοῦ ἀνθρώπου ποιήσεως, φανερῶς διὰ τούτων διδάξας ἡμᾶς ὅτι «ἀρχή» παρὰ τῇ θείᾳ Γραφῇ τὸ πρῶτον λέγεται, μᾶλλον δέ, εἰ δεῖ σαφέστερον εἰπεῖν, τὸ προόν. Οὕτω γοῦν «ἐν ἀρχῇ» ταῦτα πεποιῆσθαί φησιν ἃ πρῶτα ἐγένετο, οὔπω γεγονότων τῶν ἄλλων, οὐκ ἄν «ἐν ἀρχῇ» γεγενῆσθαι εἰρηκὼς ταῦτα, εἰ δὴ πρὸ αὐτῶν ἐτύγχανεν ὄντα ταῦτα ἃ καὶ γέγονεν ὕστερον.

---

1. Γεν. 1,1. **2.** Ἔνθ' ἀν.

Ταύτην τὴν χρῆσιν ζηλώσας τῆς φωνῆς καὶ ὁ μακάριος Ἰωάννης, ἐπειδὴ δεῖν ἐνόμισε περὶ τῆς τοῦ Μονογενοῦς θεότητος εἰπεῖν καὶ διδάξαι τίς τέ ἐστι καὶ ὅπως, «ἐν ἀρχῇ», φησίν, «ἦν ὁ Λόγος»[1]. Ὡς γὰρ τοῦ μακαρίου Μωυσέως τὴν τῶν ποιηθέντων εἰπόντος ἀρχήν, — ὧν προϋφεστάναι τὸν πεποιηκότα σαφῶς ἐν τοῖς τῆς δημιουργίας ἔδειξε λόγοις, — περιττὸν μὲν εἶναι κρίνει τὸ καὶ αὐτὸς τῶν γεγονότων λέγειν τὴν ἀρχήν, τῶν δὲ ὄντων τὴν ἀρχὴν τὸν Υἱὸν ἀποφαίνεται· «ἐν ἀρχῇ» γάρ «ἦν» ἐπειδὴ ἀεὶ ἦν. Ὥστε τὰ ὄντα ζητοῦντας ἀνάγκη, περὶ μὲν γὰρ τὴν τῶν δημιουργημάτων ἐξέτασιν γενομένους οὐκ εἰπεῖν ὅτι «ἦν ἐν ἀρχῇ» (γεγονότα γὰρ πρότερον οὐκ ἦν, ἀλλ' οὐδ' ἐγένετο, εἴπερ ἦν), ὑπερβάντας δὲ ταῦτα ὡς οὐκ ὄντα ποτέ, ἐπειδὰν εὕρωμέν τι τούτων ὑπερκείμενον, τοῦτο εἰπεῖν ὅτι «ἦν ἐν ἀρχῇ».

Οὐκοῦν εἰ μὲν οὐκ ὢν ὁ Λόγος — ὅπερ οἱ Ἀρειομανῖταί φασιν — ὕστερον τὸ εἶναι ἔλαβεν, οὐκ αὐτός «ἦν ὁ ἐν ἀρχῇ». Ἀλλ' ὁ τότε ὢν ὅτε τοῦτο τέως οὐκ ἦν (οὐ γὰρ καταλιπὼν τὸ πρῶτον, ἀρχὴν ἐρῶ τὸ δεύτερον). Τοῦτο γὰρ καὶ ὁ εὐαγγελικὸς Ἰωάννου βούλεται Λόγος, ἐπεὶ πρῶτόν ἐστι πέρας τῶν ὄντων. Εἰ δὲ πρῶτον πέρας, οὐδέποτε οὐκ ἦν, ἦν γὰρ ἀεί· ὅθεν οὐδ' ἕξει τί ποτε ὑπάρξει προθεωρούμενον αὐτοῦ, — ἐπείπερ Πατὴρ αἰτία μὲν προεπινοηθήσεται, ὡς ὢν αὐτὸς μὲν καθ' ἑαυτόν, οὕτω δὲ ὄντος καὶ τοῦ Υἱοῦ. Διὰ τοῦτο οὐδὲ ὁριστικῶς εἶπε τό «Ἐν ἀρχῇ ἦν» ὡς τό « Ἐν **309**
ἀρχῇ ἐποίησεν». Ἐκεῖ μὲν γὰρ ἡ τοῦ «ἐποίησε» προσθήκη περιώρισεν εἰς τὰ ποιηθέντα τὴν ἀρχήν, ὥστε τούτων ἀρχὴν νοεῖσθαι μόνον· ἐνταῦθα δὲ ἁπλῶς καὶ ἀπολύτως «ἐν ἀρχῇ ἦν», ὡς δῆλον εἶναι ὅτι περὶ ἀρχῆς αὐτῷ ὁ Λόγος τῆς πρώτης καὶ κυρίας, ἧς προϋπάρχον θεωρεῖται τῶν ὄντων οὐδέν. Καὶ ἐπισυνῆψε «τῷ ἐν ἀρχῇ» τό «ἦν» δεικνὺς ὅτι ὄντων ἁπλῶς ἀρχὴν λέγει, ὅπερ ἐστὶ τὸ πρῶτον ὂν καὶ ἀεὶ ὂν καὶ οὐδέποτε οὐκ ὄν.

Οἱ δέ γε θαυμάσιοι καταλιπόντες ἅπαντα ταῦτα, αὐτῷ τῷ προχείρῳ τῆς φωνῆς τοὺς πολλοὺς δελεάζοντες, «Ἐν ἀρχῇ», φασίν, «ἦν», οὐκοῦν ἀρχὴν ἔχει, οὐκ ἐννοοῦντες ὅσον τὸ διάφορον τοῦ τε ἦν καὶ τοῦ «ἔχειν», μᾶλλον δὲ ὡς πολὺ τὸ ἐναντίον. Εἰ μὲν γὰρ

1. Ἰω. 1,1.

ἔσχεν ἀρχήν, οὐκ ἦν ἐν ἀρχῇ· εἰ δὲ ἦν ἐν ἀρχῇ, ἐπειδὴ μὴ ἔσχεν ἀρχήν.

Τῷ μὲν γάρ «ἐν ἀρχῇ» τό «ἦν» ἐπισυνημμένον, προσκειμένου τε οὐδενὸς ἑτέρου, ἀπόλυτόν τινα καὶ ἀπεριόριστον δείκνυσι τὴν ἀρχὴν ἐν ᾗπερ ἦν, ὅπερ ἁρμόσει τῷ μὴ πέρας ἔχοντι τῆς οἰκείας ζωῆς. Πέρας δὲ λέγω νῦν τὸ πρῶτον, ὃ καὶ ἀρχὴν καλοῦμεν· ὁ δέ γε ἀρχὴν ἐσχηκώς, δῆλον ὅτι καὶ πέρας ἔχει τοῦ εἶναι. Πέρας γάρ ἐστι τὸ πρῶτον τοῖς οὖσι ἡ τῆς ὑπάρξεως ἀρχή, ἀόριστον δὲ οὐκέτ' ἂν εἴποι τις τὴν ἀπὸ πέρας κειμένην ἀρχήν.

Ὥστε δὲ σαφέστερον γενέσθαι τὸ λεγόμενον, ἐκεῖνό φημι. Εἰ τό «ἐν ἀρχῇ» διὰ τοῦτο λέγεσθαι βούλονται, διὰ τὸ ἀρχὴν ἔχειν τὴν αὐτοῦ, ὅσης εὐηθείας ἀπόδειξιν ἔχει τὸ εἰρημένον, οὐ χαλεπὸν συνιδεῖν, ἐπείπερ οὐδὲν τῶν μὴ ὄντων καὶ γενομένων ἐν ἀρχῇ τοῦ αὐτοῦ εἶναι λέγεσθαι δύναται. Ὅπερ εἰ καὶ ἠδύνατο, ηὑρίσκετο κοινὸν ἁπάντων ὄντων γενομένων, καὶ μάτην ἡμῖν, ὡς ἔοικεν, Ἰωάννης ὁ εὐαγγελιστὴς ὡς καινόν τι φιλοσοφῶν περὶ τῆς θεότητος τοῦ Μονογενοῦς ἐξεφώνησε τό «ἐν ἀρχῇ ἦν», ὃ οὐ λέγω Ἀγγέλοις ἤ τισι τῶν μεγάλων φύσεων, ἀλλὰ γὰρ καὶ μυσὶν ἁρμόζει καὶ βατράχοις κατὰ τὸν τούτων λόγον· καὶ γὰρ ταῦτα οὐκ ὄντα ἐγένετο καὶ τοῦ εἶναι ἤρξαντο.

Ἀλλ' οὐδ' ἐκεῖνο παραλείψομεν ὃ μάλιστα ἀναγκαῖον εἰπεῖν, ὅτι μὴ δυνατὸν λέγεσθαί τι τῶν μὴ ὄντων καὶ γενομένων ἐν τῇ ἀρχῇ εἶναι τῇ ἑαυτοῦ, — ὥστε μὴ δ' ἂν ἐπὶ τοῦ Υἱοῦ τό «ἐν ἀρχῇ ἦν» δύνασθαι κατὰ τοῦτον νοεῖσθαι τὸν τρόπον. Τίς γὰρ οὐκ οἶδεν ὡς ὅτι ποτὲ μὴ ὂν ἐγένετο, ἀρχὴν τοῦ εἶναι τῷ γενέσθαι ἔλαβεν; ὁμοῦ τε γὰρ ἐγένετο καὶ ἤρξατο τοῦ εἶναι, **310** καὶ οὐκ ἂν εἴποι τις ἐπὶ τῶν τοιούτων ἄλλην ἀρχὴν ἢ τὸ γενέσθαι. Πῶς οὖν δυνατὸν ἐπὶ τῶν τοιούτων οὕτω λέγεσθαι τό «ἐν ἀρχῇ ἦν»; εἰ γὰρ ἦν, γενόμενα πρότερον ἦν, — καὶ δῆλον ὡς οὐκ ἂν ἦν μὴ γενόμενα πρότερον, — εἰ δὲ ἐγένετο, ἐν τῷ γίγνεσθαι ἤρξαντο τοῦ εἶναι. Ὥστε ἕκαστον ἐν μὲν τῇ ἀρχῇ τῇ ἑαυτοῦ γίνεται μὴ ὄν, ἐν δὲ τῷ γίγνεσθαι λαβὸν τὸ εἶναι καὶ ἀρξάμενον (ἐπείπερ οὔτε χρόνου δεῖ τῷ ποιητῇ, ἀλλ' ὁμοῦ τε ἠβουλήθη καὶ ὑπέστη τὸ ἔργον), οὕτως ἐν τῷ εἶναι θεωρεῖται. Ταύτην τὴν τάξιν καὶ τὴν ἀκολουθίαν καὶ ὁ μακάριος φυλάττων Μωυσῆς, πρῶτον εἶπεν ὅτι «Ἐν ἀρχῇ ἐποίησεν

ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν»[1], εἶτα ἐπήγαγεν «ἡ δὲ γῆ ἦν ἀόρατος καὶ ἀκατασκεύαστος»[2] ὡς ἂν πρώτου μὲν ἁρμόζοντος τοῦ «ἐγένετο», δευτέρου δὲ τοῦ «ἦν», ὅτε λοιπὸν γενόμενόν ἐστιν. Οὐκ ἄρα ἐν τῇ ἀρχῇ τι τῇ ἑαυτοῦ εἶναι λέγεται, τῶν μὴ ὄντων καὶ γενομένων· πᾶσι γὰρ ἀρχὴ τοῖς τοιούτοις τοῦ εἶναι τὸ γενέσθαι, ἀφ' οὗ μὴ ὄντα τὸ εἶναι λαμβάνει, μεθ' ὃ τὸ ὅ τί ἐστι θεωρεῖται. Καὶ πολλῷ μᾶλλον τὸ ὅτι «ἦν» λέγεσθαι οὐ δύναται· τὸ γάρ «ἦν» ἐπὶ τῶν ἅπαξ ὄντων λέγεται, τὰ δὲ γεγενημένα, εἰ μὲν γέγονεν ἤρξαντο τοῦ εἶναι, καὶ τότε ὅτε ἦν θεωρεῖται· εἰ δὲ ἄρχεται τοῦ εἶναι ὅτι ἦν οὐ λέγεται.

Πρῶτον τοίνυν πέρας τῶν ὄντων ὁ Λόγος, οὐχ ὅτι ὑπέρκειται τοῦ Πατρός, οὐδ' ὅτι ἀναίτιός ἐστιν ὁμοίως ἐκείνῳ, ἀλλ' ὅτι ἀϊδίως σύνεστιν αὐτῷ, ἐξ αὐτοῦ μὲν τυγχάνων, οὐχ ὕστερον δέ ποτε τὴν ἐκεῖθεν αἰτίαν δεξάμενος. Διὰ τοῦτο Λόγον αὐτὸν καὶ οὐχ Υἱὸν ἐκάλεσεν, ὥστε μὴ ἐκ τῆς ἀνθρωπίνης συνηθείας τοὺς ἐν τῇ γεννήσει χρόνους παρ' ἡμῖν ἐγγινομένους ἐπισκοτῆσαι τῷ ὀξεῖ καὶ συντόμῳ καὶ πᾶσαν μὲν ὀφθαλμοῦ ῥοπήν, πᾶσαν δὲ ὁρμὴν λογισμοῦ νικῶντι τῆς θείας γεννήσεως· καὶ διὰ τοῦτο ἀπαράλλακτον εἶναι νομίσωμεν τὸ τοῦ Υἱοῦ συναΐδιον, συνόντος ἀεὶ τῷ Πατρὶ κἂν ἐξ αὐτοῦ τὴν αἰτίαν ἔχῃ.

Πολλῇ δὲ τῇ ἀκριβείᾳ χρησάμενος ὁ εὐαγγελιστὴς οὐκ εἶπεν «ὁ Λόγος τοῦ Θεοῦ», ἀλλ' «ὁ Λόγος» ἁπλῶς. Ἤδει γάρ «λόγον» οὕτω πρόσταγμα καλούμενον ἤτοι ἔργον κατὰ Θεοῦ γινόμενον βούλησιν, ὡς ἐπὶ τῶν Προφήτων «Λόγος Κυρίου ὃς ἐγένετο πρός»[3] τόνδε, καὶ παρὰ τῷ Ἀποστόλῳ «ὁ λόγος τοῦ Θεοῦ ὁ δι' ἡμῶν κηρυχθείς»[4], — ἵνα εἴπῃ τὸ κήρυγμα, — καί «ὁ λόγος **311**
τοῦ σταυροῦ τοῖς μὲν ἀπολλυμένοις μωρία ἐστίν»[5], — ἵνα εἴπῃ τὸ περὶ σταυροῦ κήρυγμα. Οὕτω καὶ ὁ μακάριος Δαβίδ «πῦρ, χάλαζα, χιών, κρύσταλλος, πνεῦμα καταιγίδος, τὰ ποιοῦντα τὸν λόγον αὐτοῦ»[6], ἀντὶ τοῦ κατὰ πρόσταγμα αὐτοῦ καὶ βούλησιν γεγονότα τε καὶ κινούμενα.

---

1. Γεν. 1,1. **2.** Γεν. 1,2. **3.** Ζαχ. 7,1. **4.** Β' Κορ. 1,19. **5.** Α' Κορ. 1,18. **6.** Ψαλ. 148,8.

Οὕτω τοίνυν τῆς θείας Γραφῆς συνεχῶς λόγου Θεοῦ μνημονευούσης, οὐ μὴν ἀορίστως (ἢ γὰρ λόγος φησὶ Θεοῦ, ἢ λόγος Κυρίου, ἢ λόγος τοῦ σταυροῦ, ὅπερ ἐστὶν ὁριζούσης), ὁ μακάριος Ἰωάννης ἐνταῦθα ὁ λόγος εἶπεν ἀπολύτως, καθ' ὑπόστασιν, ἄνευ τινὸς προσθήκης καὶ ὁρισμοῦ.

Εἰπὼν οὖν «ἐν ἀρχῇ ἦν ὁ Λόγος»[1], καὶ σημάνας αὐτάρκως τὸ τῆς ὑπάρξεως ἀΐδιον, τῷ δὲ παραδείγματι τοῦ λόγου, οὐ τὴν ἀντιπίπτουσαν μόνον λύσας ἀμφιβολίαν, ἀλλ' ὅτι καὶ τό «ἐν ἀρχῇ ἦν» οὐχ ὡς ἀναίτιον λέγει, δείξας, ἀλλ' ὡς συναϊδίως ὄντα τῷ αἰτίῳ, ἐπισφίγγων αὐτὸ καὶ σαφέστερον ποιῶν, «καὶ ὁ Λόγος ἦν», φησί, «πρὸς τὸν Θεόν»[2], ἀντὶ τοῦ ἦν πρὸς αὐτὸν καὶ μετ' αὐτοῦ καὶ ἐν αὐτῷ (τοῦτο γὰρ βούλεται τό «ἦν πρὸς τὸν Θεόν»), — φανερῶς δείξας ὅτι «ἐν ἀρχῇ» ἔφη εἶναι τὸν Λόγον, οὐχ ὡς ἀναίτιον, ἀλλ' ὡς ἀϊδίως τῷ αἰτίῳ συνόντα.

Καὶ εἰπὼν ὅτι «ἦν πρὸς τὸν Θεόν», ἐπάγει «καὶ Θεὸς ἦν ὁ Λόγος», οὐ πρότερον εἰπὼν ὅτι «ἦν Θεός» πρὶν ἢ εἰπεῖν ὅτι «ἦν πρὸς τὸν Θεόν». Καὶ τότε ἐπήγαγε «καὶ Θεὸς ἦν», μονονουχὶ τοῦτο λέγων ὅτι οὐκ ἦν οὐδὲν ἕτερον ἀλλ' ἢ τοῦτο ὅπερ ἦν ἐκεῖνος πρὸς ὃν ἦν.

Πολλὴ δὲ κἀν τούτῳ πρὸς τὸν Ἀπόστολον αὐτῷ μίμησις, ἐπεὶ κἀκεῖνος «ἀπαύγασμα τῆς δόξης» αὐτὸν εἰπὼν ἐπήγαγε «καὶ χαρακτῆρα τῆς ὑποστάσεως αὐτοῦ»[3], τό τε ἀνόμοιον ἀσφαλιζόμενος καὶ τὴν ὁμοιότητα σημαίνων. Ὅμως **312** οὐδὲ μέχρι τούτων ἔστη ὁ εὐαγγελιστής, ἀλλ' ὥσπερ ἀεὶ τοῖς δευτέροις τὰ πρῶτα ἐπισφίγγειν βουλόμενος, σαφέστερον τοῦ Μονογενοῦς τὸ ἀΐδιον εἰπεῖν ἠβουλήθη, καὶ κατὰ παράθεσιν τῶν κτισμάτων αὐτοῦ δεῖξαι τὸ διάφορον, οὐ τὴν ὑπεροχὴν μόνον ἐμφαίνων, ἀλλ' ὅτι καὶ μηδεμία αὐτῷ πρὸς ταῦτα κοινωνία. Ἐπάγει γάρ «οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν Θεόν, πάντα δι' αὐτοῦ ἐγένετο»[4], δεικτικῶς μὲν τό «οὗτος» εἰπών, ἀντιδιαστείλας δὲ αὐτῷ τό «πάντα» καὶ τῷ «ἦν ἐν ἀρχῇ» τό «ἐγένετο». Ὁ μὲν γὰρ οὐκ ἐγένετο, ἐπειδὴ ἐν «ἀρχῇ ἦν πρὸς τὸν Θεόν» τὰ δέ «ἐγένετο», ἐπειδὴ οὐκ ὄντα τὸ εἶναι ἔλαβεν. Τὸ αὐτὸ

1. Ἰω. 1,1. **2.** Ἔνθ' ἀν. **3.** Ἑβρ. 1,23. **4.** Ἰω. 1,2-3.

δὴ τοῦτο καὶ ἑρμηνεία τῶν προκειμένων ἐστίν· ἔδειξε τό «ἐν ἀρχῇ ἦν» ὅτι ποτὲ ἐβούλετο, ὅτι σαφῶς τοῦ ἀϊδίου σημαντικὸν ἦν.

Ἰω. 1,3

[729] Τοῦτο εἶπε διὰ πάντων βουληθεὶς δεῖξαι ὅτι οὗτος ἀεὶ συνῆν τῷ Πατρὶ ὡς ὅμοιος τὴν φύσιν, ὡς κοινωνὸς τῆς δημιουργίας, ὡς συνὼν μὲν ἀεί, συνεργασάμενος δὲ ὅτε ἔδει γενέσθαι τὰ ὄντα. Σαφῶς δὲ ἔδειξεν ὅτι τό «δι᾽ αὐτοῦ» οὐ διακονίας ἕνεκεν αὐτῷ κεῖται, ἀλλὰ συνεργείας καὶ τοῦ μηδὲν ὑπεξαίρεσθαι τῆς αὐτοῦ ποιήσεως τῶν γεγονότων τῷ ἐπαγαγεῖν «καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἓν ὃ γέγονεν»[1].

Ἰω. 1,3-4

Τινὲς μὲν οὕτως ἀνέγνωσαν, «ὃ γέγονεν ἐν αὐτῷ», ἀντὶ τοῦ «δι᾽ αὐτοῦ» λέγοντες. Πῶς δὲ οὐχ εὔηθες ἦν, εἰ τοῦτο ἔμελλε λέγειν ὁ εὐαγγελιστής, ὥς τι διδάσκων ἡμᾶς καινὸν καὶ τοῖς ἀνθρώποις ἄγνωστον; ὃ κἂν ὁ τυχὼν **313** εἰπεῖν ἠδυνήθη καὶ περὶ τοῦ τυχόντος· «χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν» τῶν δι᾽ αὐτοῦ γεγονότων. Πᾶς γὰρ ὁστισοῦν καὶ παντὸς τοῦτο ἐρεῖ, ἐπείπερ δῆλον ὡς ἐπὶ παντὸς τῶν ὅτι ποτὲ διαπραττομένων οὐκ ἂν εἴποι τις ἑτέρως ἢ ὅτι τῶν δι᾽ αὐτοῦ γενομένων οὐδὲν γέγονε χωρὶς αὐτοῦ.

Τινὲς δὲ ἑτέρως ἀνέγνωσαν «καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν», εἶτα «ὃ γέγονεν ἐν αὐτῷ ζωὴ ἦν»[2] καὶ τοῦτο δὲ εὔηθες οὐκ ἔλαττον τοῦ προτέρου. Οὐ γὰρ εἴ τι γέγονε δι᾽ αὐτοῦ, τοῦτο ζωὴ ἦν· πολλὰ γὰρ ἀμέτοχα ζωῆς ἐστιν, ὡς γῆ καὶ ὄρη. Ἔστιν οὖν πλοκὴ καὶ βεβαίωσις τοῦ προτέρου, εἶτα καὶ ἡ σαφήνεια. Εἰπὼν γὰρ ὅτι «πάντα δι᾽ αὐτοῦ ἐγένετο», ἐπήγαγε «καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἓν ὃ γέγονεν», τουτέστι καὶ συντόμως εἰπεῖν· οὐδὲν τῶν γεγονότων ἄνευ αὐτοῦ γεγένηται, μόνον τοῦ Πατρὸς ὑπεξῃρημένου τῆς αὐτοῦ ποιήσεως σὺν τῷ Ἁγίῳ Πνεύματι, ἐπειδήπερ ἀεὶ συνὼν αὐτῷ εἰκότως καὶ κατὰ τὴν τῶν ὅλων δημιουργίαν αὐτῷ κεκοινώνηκε.

---

1. Ἰω. 1,3. **2.** Ἰω. 1,3-4.

Ἰω. 1,4

«Ἐν αὐτῷ ζωὴ ἦν», ἀντὶ τοῦ πηγάζει τὴν ζωτικὴν δύναμιν, ὡς μὴ μόνον αὐτὸν ζῆν, ἀλλὰ καὶ ζῶντα ποιεῖν, ὅπερ καὶ ἦν ἀκόλουθον τῷ «καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἓν ὃ γέγονεν». Ἐποίησε γάρ, φησί, τὰ ὄντα, πηγάζων τὴν ζωήν, καὶ οὐ παράγει μόνον φύσεις ἁπλῶς, ἀλλὰ γὰρ καὶ ζώσας ποιεῖ.

Ἰω. 1,4

Ἀντὶ τοῦ αὕτη μέντοι, φησίν, ἡ ἐν αὐτῷ δύναμις οὐ ζωοποιεῖν μόνον ἱκανή, ἀλλὰ καὶ γνώσεως πληροῦν τὰς τῶν ἀνθρώπων ψυχάς.

Ἰω. 1,6

Μετεληλυθὼς λοιπὸν ἐπὶ τὴν ἐπιφάνειαν τοῦ Χριστοῦ, τίνα ἂν εὗρεν ἀρχὴν ἑτέραν ἢ τὴν κατὰ τὸν Ἰωάννην, ἀφ᾽ οὗ γνωρίζεσθαι ὅστις ἦν ὃς τὴν ἀρχὴν ἐδέξατο;

Ἰω. 1,9

314 Ἄλλοι δὲ μονοτρόπως νενοήκασι τό «ἐρχόμενον εἰς τὸν κόσμον» πρός «τὸ φῶς τὸ ἀληθινόν»[1] ποιούμενοι τὴν ἀπόδοσιν· τοῦτο γάρ, φασίν, εἰπεῖν βούλεται ὅτι ἐκεῖνος ἐλθὼν εἰς τὸν κόσμον καὶ φανεὶς πάντας ἐφώτισεν. Πᾶσιν οὖν ἔσται χρήσιμος εἰς φωτισμὸν τοῖς βουλομένοις, οὐ πρόσκαιρον ὡς Ἰωάννης τὴν παρ᾽ ἑαυτοῦ χρείαν τοῖς ἀνθρώποις παρεχόμενος, εἰς ἅπαντα δὲ τὸν ἔπειτα χρόνον ἐπιτήδειος εἶναι τοῖς βουλομένοις τῶν ἀνθρώπων ἄχρι τῆς συντελείας τοῦ αἰῶνος τοῦ σῴζεσθαι καὶ πιστεύειν τὴν ἀφορμὴν ἐχόντων. Ὁ μὲν γὰρ Ἰωάννης ὀλίγοις τισὶν ἐγένετο χρήσιμος, Ἰουδαίοις γὰρ ἐκήρυττε μόνοις· τοῦτο δὲ λύχνου ἔργον πρόσκαιρον μὲν φαίνοντος, σβεννυμένου δὲ ὕστερον, οὑτοσὶ δὲ ὥσπερ τὸ φῶς ἄσβετον καὶ ἀΐδιον. Τοῦτο γὰρ λέγεται «τό ἀληθινόν», διηνεκῆ τοῖς πᾶσι μέχρι τῆς συντελείας παρέχεται.

1. Ἰω. 1,9.

Ἰω. 1,10

[732] Εἰπὼν τό «ἐρχόμενον εἰς τὸν κόσμον» περὶ τοῦ δεσπότου Χριστοῦ, καλῶς ἐπήγαγε τό «ἐν τῷ κόσμῳ ἦν», ὥστε δεῖξαι ὅτι τό «ἐρχόμενον» πρὸς τὴν διὰ σαρκὸς εἶπε φανέρωσιν. Τῇ γὰρ ὑποστάσει, φησί, καὶ τῇ φύσει «ἦν ἐν τῷ κόσμῳ» καὶ πρὸ τούτου.

Καὶ ὡς καὶ τούτου μικροῦ τινος ὄντος ἐπήγαγε «καὶ ὁ κόσμος δι' αὐτοῦ ἐγένετο»[1], τουτέστι καὶ τί θαυμαστὸν εἰ «ἦν ἐν τῷ κόσμῳ», ὃς οὐκ ἂν ἦν, εἰ μὴ ἐκεῖνος ἐβουλήθη; Ἀλλ' ὅμως «ἦν μὲν **315** ἐν τῷ κόσμῳ» καὶ πρὸ τοῦ κόσμου, καὶ πεποίηκε δὲ αὐτὸς τὸν κόσμον, «καὶ ὁ κόσμος αὐτὸν οὐκ ἔγνω»[2], τουτέστι τὸν οἰκεῖον Δεσπότην.

Ἰω. 1,12

Οὐκ ἀκερδὲς τὸ πρᾶγμα ἐγένετο τοῖς δεξαμένοις αὐτόν. Τὸ γὰρ πρῶτον καὶ μέγιστον αὐτοῖς ἀγαθὸν ἐχαρίσατο, τὴν πρὸς ἑαυτὸν ἰσοτιμίαν μικροῦ δεδωκώς, καθ' ὅσον ἦν ἐν ἐξουσίᾳ ἔχειν, τῆς υἱότητος τὴν ἀπόλαυσιν αὐτοῖς χαρισάμενος, ἧς ἀπήλαυον οὐ κατὰ τὴν οἰκείαν φύσιν πάλιν διαδοχῇ τινὶ σωματικῶς τικτόμενοι, ἀλλὰ καὶ θείᾳ δυνάμει διὰ τῆς πρὸς αὐτὸν ὁμοιότητός τε καὶ συναφείας τὴν γένεσιν δεχόμενοι.

Ἰω. 1,14

[733] Σκηνὴν δὲ καὶ ἐπὶ ἀνθρώπων ὁ Ἀπόστολος τὸ σῶμα καλεῖ λέγων «καὶ γὰρ οἱ ὄντες ἐν τῷ σκήνει στενάζομεν»[3] καὶ πάλιν «οἴδαμεν ὅτι ἐὰν ἡ ἐπίγειος ἡμῶν οἰκία τοῦ σκήνους καταλυθῇ»[4]. Ἰδίωμα δὲ τῆς Γραφῆς ἀπὸ τῆς σαρκὸς ὅλον τὸν ἄνθρωπον καλεῖν, ὡς τό «πρὸς σὲ πᾶσα σάρξ ἥξει»[5], καὶ τό «ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου ἐπὶ πᾶσαν σάρκα»[6].

---

1. Ἰω. 1,10. **2.** Ἔνθ' ἀν. **3.** Β' Κορ. 5,4. **4.** Β' Κορ. 5,1. **5.** Ψαλ. 64,3. Ἠσ. 66,23. **6.** Ἰωὴλ 11,28.

Ἰω. 1,27,30

316 Τό «ὀπίσω» καί «ἔμπροσθεν»[1] κατὰ τὴν δόξαν λέγει καὶ τὴν παρὰ ἀνθρώποις ὑπόληψιν. Εἰ δέ «γέγονεν» εἶπεν ἀντὶ τοῦ «γενήσεται», οὐ θαυμαστόν· πρὸς γὰρ τῷ χύδην εὑρίσκεσθαι ταύτην ἐν τῇ θείᾳ Γραφῇ τὴν συνήθειαν, ἔτι καὶ τὸν εὐαγγελιστὴν ἐν τοῖς ἀνωτέρω οὕτως εἰρηκότα ἐδείξαμεν, τό «οὐ κατέλαβεν» σαφῶς εἰπόντα ἀντὶ τοῦ «οὐκέτι λήψεται».

Ἰω. 1,29

[733] Εἰρηκὼς ἐνταῦθα ὁ Βαπτιστὴς ὅτι οὗτός ἐστιν «ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου»[2], οὐκ εἶπεν «ὁ Μονογενὴς υἱός» οὐδέ «ὁ ὢν ἐν τοῖς κόλποις τοῦ Πατρός»[3], οἷα φαίνεται ἐν τοῖς ἀνωτέρω εἰρηκώς, καίτοι ἔδοξεν ἂν νῦν ἀκολουθότερον αὐτοῦ τὸ μέγεθος λέγειν τῆς φύσεως εἰς ἐπίδειξιν τῆς ἐπαγγελίας τῶν δι' αὐτοῦ δοθησομένων. Ἀλλὰ τοῦτο μὲν οὐκ ἔφη, «ἀμνόν» δὲ αὐτὸν ἐκάλεσεν «τοῦ Θεοῦ», ὅπερ ἦν ὄνομα τοῦ πάθους σημαντικόν, ἐπείπερ ἐν τῷ πάθει τὴν ἁμαρτίαν κατέλυσεν. Ταύτης γὰρ ἐν τῇ θνητότητι τὴν ἐπίτασιν δεξαμένης, τοῦ δὲ θανάτου πάλιν ὑπ' ἐκείνης καθ' ἡμῶν σφιχθέντος, ἐληλυθὼς ὁ Κύριος ἡμῶν καὶ Σωτὴρ Ἰησοῦς ὁ Χριστὸς ἐκεί**[736]**νων τε ὁμοῦ τὴν ἀμνηστίαν ἐδωρήσατο καὶ τὸν θάνατον διὰ τοῦ οἰκείου λύσας θανάτου, ἀνεῖλε μὲν τὴν ἐν τῇ φύσει τῆς θνητότητος ἐῤῥιζομένην ἁμαρτίαν, ἀθανάτους δὲ ἤδη μὲν τῇ ἐπαγγελίᾳ, εἰς ὕστερον δὲ καὶ τῷ πράγματι ἐργασάμενος τῷ δώρῳ τῆς ἀθανασίας καὶ τὴν ἁμαρτίαν κατέλυσεν.

Ἀκολουθότατον τοίνυν ἐνταῦθα τῇ τοῦ ἀμνοῦ προσηγορίᾳ ἐχρήσατο. Φαίνεται μέντοι καὶ τό «Ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ» λέγων, ὡς ἂν ἤδη μὲν αὐτὸν προσδοκώμενον, παρόντα δὲ νῦν τοῖς ὁρῶσιν ὑποδεικνύς, καὶ τοῦτο οὐκ **317** ἀπεικότως. Ἐπειδὴ γὰρ κατὰ τὴν Ἡσαΐου φωνὴν τήν «ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἄφωνος ἔναντι τοῦ κείραντος αὐτόν»[4], προσδοκᾶν αὐτὸν τῇ προφητικῇ κατακολουθοῦντας ἤδη φωνῇ, ὡς ἐλεύσεταί τις ὃς

1. Ἰω. 1,27. **2.** Ἰω. 1,29. **3.** Ἰω. 1,18. **4.** Ἡσ. 53,7.

ὑπὲρ πάντων παθὼν λύσει τὰς ἁπάντων ἁμαρτίας, εἰκότως τὸ δέ «Ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ»[1], τουτέστιν οὗτος ἐκεῖνος περὶ οὗ προείρηκεν Ἡσαΐας. Κἀκείνῳ μέντοι προσεκτέον ὅπως ὁ εὐαγγελιστὴς τὸ μὲν ὅτι «πρὸς αὐτόν» ἐλήλυθεν εἶπεν, ὅτι δὲ ἐβαπτίσθη οὐκ ἔτι. Οὕτω δι' ὅλων φαίνεται τὰ μὲν παραλελειμμένα σπουδάζων εἰπεῖν, τὰ δὲ εἰρημένα δευτεροῦν περιττὸν νομίζων.

Ἰω. 1,32

Δῆλον δὲ ἐντεῦθεν, ὡς ἐν εἴδει περιστερᾶς γενομένη ἡ τοῦ Πνεύματος κάθοδος οὐ πᾶσιν ὤφθη τοῖς παροῦσιν, ἀλλὰ κατά τινα πνευματικὴν θεωρίαν ὤφθη μόνῳ τῷ Ἰωάννῃ, καθὼς ἔθος ἦν τοῖς Προφήταις ἐν μέσῳ πολλῶν τὰ πᾶσιν ἀθεώρητα βλέπειν, ἐπεὶ περιττὸν ἦν τὸ λέγειν «ὡς Ἰωάννης ἐμαρτύρησε λέγων τεθεᾶσθαι τὸ Πνεῦμα»[2] εἴπερ ἅπαντας κοινωνοὺς ἔσχε τῆς θέας τοὺς παρόντας.

Εὐηθέστατον ἄρα κἀκεῖνο τὸ παρά τινων λεγόμενον, ὡς ἔλαττον ἐντεῦθεν τοῦ Χριστοῦ δείκνυται τὸ Πνεῦμα, ἐπειδήπερ περιστερὰ ἐλάττων ἀνθρώπων· ὀπτασία γὰρ ἦν, οὐ φύσις, τὸ φαινόμενον.

Ἰω. 1,41

Τό «εὑρήκαμεν» ζητούντων ἐστίν. Εἰκὸς δὲ καὶ ἐκ τῆς συνεχοῦς Ἰωάννου μαρτυρίας πολλοῖς πολλὴν ἐγγενέσθαι περὶ αὐτοῦ τὴν ὑπόληψιν, ἀλλ' οὐτ' ἂν ἐκεῖνος οὕτως ἠκολούθησεν ἀπὸ ψιλῆς τῆς φωνῆς εἰ μὴ ταῦτα περὶ αὐτοῦ προεπεπαίδευτο.

Ἰω. 1,46-50

318 [737] Ἡ Ναζαρὲτ πάνυ διαβέβληται παρὰ τοῖς Ἰουδαίοις ἄνωθεν, δηλονότι ὡς ὑπ' ἐθνικῶν μᾶλλον οἰκούμενον τὸ χωρίον, καὶ ἀγαθὸν ἐνεγκεῖν οὐδέποτέ τι δυνάμενον. Ὅθεν καὶ οἱ Ἰουδαῖοι ἔλεγον πρὸς τὸν Νικόδημον «ἐρεύνησον καὶ ἴδε ὅτι προφή-

---

1. Ἰω. 1,29. **2.** Ἰω. 1,32.

της ἐκ τῆς Γαλιλαίας οὐκ ἐγήγερται»[1]. Καλῶς οὖν καὶ ὁ Φίλιππος πρὸς τὸν Ναθαναήλ «ἔρχου καὶ ἴδε»[2]. Ἐπειδὴ γάρ μοι, φησί, τὴν παλαιὰν προβάλλῃ δόξαν, ἐγώ σοι τὰ πράγματα δεικνύναι ἐπαγγέλλομαι.

Εἶτα τοῦ Ἰησοῦ πόῤῥωθεν θεασαμένου τὸν Ναθαναὴλ καὶ εἰπόντος «Ἴδε ἀληθῶς Ἰσραηλίτης ἐν ᾧ δόλος οὐκ ἔστιν»[3], καὶ τοῦ Ναθαναὴλ εἰπόντος «πόθεν με γινώσκεις; ἀπεκρίθη Ἰησοῦς· πρὸ τοῦ σε Φίλιππον φωνῆσαι»[4] καὶ τὰ ἑξῆς, αὐτάρκως ἐμφαίνων αὐτῷ τῆς οἰκείας δυνάμεως τὴν περιουσίαν. Ὅθεν καὶ ὁ Ναθαναὴλ ἔργοις αὐτοῖς τὴν ἀπόδειξιν λαβών φησι, «Ῥαββί, σὺ εἶ ὁ υἱὸς τοῦ Θεοῦ, σὺ εἶ ὁ βασιλεὺς τοῦ Ἰσραήλ»[5]. Ταῦτα δηλονότι περὶ τοῦ Χριστοῦ προσεδόκων ὡς οἰκειωμένου παρὰ πάντας Θεῷ, ὡς βασιλέως τοῦ Ἰσραήλ, εἰ καὶ ἀμυδρότερον αὐτὰ καὶ σωματικώτερον τέως προσεδόκων. Οὔτε γὰρ ὅπως ἦν υἱὸς Θεοῦ Ἰουδαίους τότε εἰδέναι δυνατὸν ἦν, ἀλλ' οὐδὲ ὅπως βασιλεύς· ἀλλ' οὐδὲ ἦν τοῦ Ναθαναὴλ εὐθὺς ἐκεῖνο ἐπιγνῶναι, ὃ μακρῷ χρόνῳ καὶ τοὺς Ἀποστόλους ὕστερον ἐγνωκότας ἐστὶν εὑρεῖν, ἐπείπερ ἐθεώρει μὲν ἄνθρωπον. Τὰ δὲ παρὰ τοῦ Κυρίου λεχθέντα πρὸς αὐτόν, οὔπω τοιαῦτα ἦν, ὥστε τὴν φύσιν ἐκείνην ἐμφαίνειν.

319 Ἐπεὶ καὶ Προφητῶν ἔργον τοῦτο ἦν, ἀμέλει καὶ Ἐλισσαῖος ἐλέγχει τὸν οἰκεῖον μαθητὴν τὸν χρυσίον λαβόντα παρὰ τοῦ Νεεμάν, καίτοι γε πλείστῳ τῷ διαστήματι πόῤῥωθεν, ἀλλ' ὅμως καὶ τὸ πρᾶγμα ὅπως ἐγένετο διηγεῖται καὶ παρεῖναι τοῖς γεγονόσιν ἔφη[6]. Συνίσταται δὲ τοῦτο μᾶλλον ἀπὸ τῶν ἑξῆς.

Τί γὰρ πρὸς ταῦτα ὁ Χριστός; «Ὅτι εἶδόν σε ὑποκάτω τῆς συκῆς, πιστεύεις; μείζονα τούτων ὄψει[7]. Καὶ οὕτως ἔδειξεν ὅτι οὐδὲν μέγα τὸ παρ' αὐτοῦ λεχθέν, μηδὲ οὕτως ἱκανὸν ὥστε ἀκριβῶς αὐτὸν ὅστις εἴη παραστῆσαι.

Ἰω. 2,4-5

Καθ' ὑπόκρισιν ἀναγνωστέον τό «οὔπω ἥκει ἡ ὥρα μου»[8], τουτέστι· Τί με προσκαλῇ καὶ ἐνοχλεῖς; Μὴ οἴει καιροὺς ἀφωρίσθαι

---

1. Ἰω. 7,52. **2.** Ἰω. 1,46. **3.** Ἰω. 1,47. **4.** Ἰω. 1,48. **5.** Ἰω. 1,49. **6.** Πρβλ. Δ' Βασ. 5,26. **7.** Ἰω. 1,50. **8.** Ἰω. 2,4.

μοι τῆς γνώσεως καὶ τῶν πραγμάτων, ὥσπερ οἷον εἰπεῖν Μωσῆς νῦν μὲν αὐτοῖς μάννα, νῦν δὲ κρέα, αὖθις δὲ ὕδωρ, καθὼς ἂν ἡ χρεία τῶν λαμβανόντων κατήπειγεν, λαμβάνοντος αὐτοῦ πρὸς τὸ διδόναι τὴν δύναμιν. Οὐχ οὕτω παρ' ἐμοί, καὶ ὁπόταν βούλωμαι πράττω, κἂν μὴ κατεπείγῃ τῶν δεομένων ἡ χρεία, οὐκ ἀτονῶ πρὸς τὸ δεῖξαι τὴν δύναμιν. Ὥστε τὸ τὴν ἔνδειάν σε προβάλλεσθαι μᾶλλον ὕβρισεν, μὴ ὡς διὰ τὴν ἑτέρων χρείαν ἐμοῦ τὸ δύνασθαι λαμβάνοντος, οὐχὶ δὲ διὰ τὸ δύνασθαί με τῆς χρείας ἐκείνοις πληρουμένης.

Ὅθεν συνεῖσα καὶ ἡ μήτηρ τὸ λεγόμενον εὐθὺς πρὸς τοὺς διακόνους φησίν, «Ὅ τι ἂν λέγῃ ὑμῖν ποιήσατε»[1]. Ὅσῳ γὰρ ἤκουσεν ὅτι οὐδὲ καιρὸς αὐτῷ πρὸς τὸ ποιεῖν ἀφώρισται, οὐδὲ ἡ χρεία τῶν δεομένων αὐτῷ τι συνεργεῖ πρὸς τοῦτο, — ἣν ἀναμένειν προσήκει, δύναται δὲ κἂν ποιεῖν ἕκαστον ὡς ἂν βούληται, — τοσούτῳ θαῤῥήσασα τοῖς διακόνοις τὸ ὑπηρετεῖσθαι τοῖς αὐτῷ δοκοῦσιν ἐκέλευσεν.

Εἰ δὲ ἦν τό «οὔπω ἥκει ἡ ὥρα μου» κατὰ ἀπόφασιν, ὥς τινες ᾠήθησαν, εἰρημένον, καὶ κατὰ παραίτησιν τοῦ ἔργου, ἐπαύσατο ἂν ἡ μήτηρ, καὶ οὐχὶ τοὐναντίον ὑπηρετεῖσθαι τοῖς διακόνοις προσέταττεν.

Ἰω. 2,9

320 [740] Ἀρχιτρίκλινον λέγει τὸν ἐξάρχοντα τῆς ὑπηρεσίας καὶ τῆς εἰς τὸν γάμον παρασκευῆς. Εἰκὸς δὲ ἦν καὶ τὸν νυμφίον ἐγκαλούμενον καὶ ἀκούσαντα διαπορῆσαι, εἰδότα ὡς οὐκ ἐνῆν αὐτῷ οἶνος ἕτερος καὶ ἐρωτῆσαι μὲν ὅθεν ὁ οἶνος[2], μαθεῖν δὲ τὸ γεγονός. Ἀλλ' ὅμως οὐδὲν τούτων προσέθηκεν, ἀλλὰ μόνον τοῦτο ἐμνημόνευσεν, ὥστε δηλῶσαι ὅτι οὐ μόνον τὸ ὕδωρ εἰς οἶνον μετεποίησεν, ἀλλὰ γὰρ καὶ εἰς θαυμαστήν τινα φύσιν οἴνου. Τὰ μέντοι λοιπὰ ὡς περιττά, μηδὲν τῇ χρείᾳ συμβαλλόμενα, παρῃτήσατο.

---

1. Ἰω. 2,5. **2.** Πρβλ. Ἰω. 2,9.

Ἰω. 2,19

Ἐδόκει ὁ Χριστὸς τοὺς ἐν τῷ ἱερῷ ἀπελαύνων καπήλους καὶ κολλυβιστὰς οὐ τὴν ἐμπορίαν μόνον καταλύειν, ἀλλὰ καὶ τὸ θυσιῶν ἔθος, ἐπείπερ ἐκείνων ἕνεκεν οἱ πιπράσκοντες τοὺς βόας καὶ τὰς περιστερὰς ἐπίπρασκον[1]. Ὅθεν εἰκότως ἐπὶ τὴν Ἀνάστασιν ἐχώρησεν, ὡς ἂν εἴπῃ· Ταύτης σημεῖον ζητεῖτε, βραχύ τι ἀναμείνατε· ἐπειδὰν γάρ με ἀνελεῖν δόξητε, τότε ἀναστὰς πᾶσιν ἐμαυτὸν γνωριῶ ὅστις εἰμί, καὶ οὕτω ταῦτα μὲν τὰ παλαιὰ λυθήσεται καὶ καινή τις πολιτεία ἔσται, ἅτε δὴ καὶ καινοῦ βίου τοῦ μετὰ τὴν ἀνάστασιν ἐπαγγελλομένου[2].

Ἰω. 2,23

Ἔδειξε διὰ τούτων ὁ εὐαγγελιστὴς ὡς καὶ τὰ θαύματα ἐγένετο παρ' αὐτοῦ πολλά, ἀφ' ὧν πολλοὶ πρὸς τὴν πίστιν συνηλαύνοντο[3]. Ταῦτα δὲ παρέλιπεν ἐπειδὴ μὴ πάντα τὰ γεγονότα αὐτῷ λέγειν προέκειτο, ἀλλὰ ταῦτα ὅσα διδασκαλικὸν ἢ δογματικόν τι συνημμένον εἶχεν ἢ ἑτέροις παραλελειμμένον.

Ἰω. 3,4-8

321 [741] Τὸν τρόπον ἐξηγήσατο τῆς διὰ τοῦ Βαπτίσματος ἀναγεννήσεως, — τοῦ μὲν ὕδατος ἐν ᾧ πληροῦται τὸ ἔργον εἰπών, τοῦ δὲ Πνεύματος ἐν τῷ ὕδατι τὴν οἰκείαν πληροῦντος ἐνέργειαν. Ὁ Θεὸς γὰρ καί «πνεῦμα υἱοθεσίας»[4] λέγεται, οὐχ ὕδωρ, ἐπειδὴ τούτου τῇ δυνάμει τὴν ἀναγέννησιν δεχόμεθα. Τούτου γε ἕνεκα καὶ ἐν τῷ Βαπτίσματι τὸ μὲν Πνεῦμα μετὰ Πατρὸς καὶ Υἱοῦ ὀνομάζομεν, τοῦ δὲ ὕδατος οὐ μεμνήμεθα, ὡς φαίνεσθαι ὅτι τὸ μὲν συμβόλου καὶ χρείας τινὸς ἕνεκεν παραλαμβάνεται, τὸ δὲ ‹Πνεῦμα› ὡς ἐνεργοῦν μετὰ Πατρὸς καὶ Υἱοῦ ἐπικαλούμεθα, ἐπεὶ καὶ ὁ Κύριος πρὸς τό «δύναται εἰς τὴν κοιλίαν τῆς μητρὸς εἰσελθεῖν καὶ γεννηθῆναι; τὸ ἐξ ὕδατός τε καὶ Πνεύματος»[5] ἀντέταξεν.

---

1. Πρβλ. Ἰω. 2,14-16. **2.** Πρβλ. Ἰω. 2,18-22. **3.** Πρβλ. Ἰω. 2,23. **4.** Ρωμ. 8,15. **5.** Ἰω. 3,4-5.

Ὥσπερ γὰρ ἐπὶ τῆς φυσικῆς γεννήσεως ἡ κοιλία τὸ φυσικὸν ἐργαστήριόν ἐστιν ἐν ᾧ τὸ τικτόμενον ἀποτελεῖται, θεία δὲ δύναμις κατὰ τὸν ἄνωθεν ὅρον αὐτὸ διαπλάττει, οὕτω καὶ ἐνταῦθα τὸ ὕδωρ ἐν τάξει τῆς μήτρας λαμβάνεται, τὸ δὲ Πνεῦμα ἐν τάξει τοῦ διαπλάττοντος Δεσπότου.

Ἐπεὶ καὶ θανάτου καὶ ἀναστάσεως σύμβολον λέγεται εἶναι τὸ Βάπτισμα, διὸ καὶ ἀναγέννησις καλεῖται. Ὥσπερ γὰρ ὁ ἀνιστάμενος μετὰ τὸν θάνατον γεννᾶσθαι αὖθις δοκεῖ, οὕτως ὁ ἐν τῷ Βαπτίσματι ἀναγεννώμενος· ὥσπερ ἐναποθανὼν πρότερον τῷ ὕδατι, οὕτως ἐκεῖθεν τῇ δυνάμει τοῦ Πνεύματος ἀνιστάμενος ἀναγεννᾶσθαι[1] λέγεται, — τῆς μὲν καταδύσεως ἐν τάξει ταφῆς τῷ βαπτιζομένῳ γινομένης, τῆς δὲ ἀνανεύσεως τῆς καθ' ἑκάστην ἐπίκλησιν καὶ τῆς ἀνόδου τῆς γενομένης ἐκεῖθεν ἀναστάσεως τάξει διὰ τοῦ Πνεύματος γιγνομένης.

322 Εἶτα καὶ πλέον αὐτὸν ἀπάγων ὁ Κύριος τῆς σωματικῆς ἐννοίας φησὶν ὅτι ἀνάγκη τὴν ἐνέργειαν ἀκόλουθον εἶναι τῇ φύσει τοῦ γεννῶντος. Ὅταν μὲν οὖν σὰρξ ἀποτίκτῃ σάρκα σωματικὴν ἀνάγκη καὶ τὴν γέννησιν εἶναι, ὅταν δὲ Πνεῦμα ᾖ τὸ γεννῶν ἀσώματόν τινα καὶ πνευματικὴν νοεῖν προσήκει τὴν γέννησιν. Ἔδειξεν μέντοι διὰ τούτου ὅτι τὸ ὕδωρ τῷ Πνεύματι συμπεριέλαβεν, οὐχ ὡς συνεργαζόμενον ἀλλ' ὡς συμβόλου χρείας τόπον ἐπέχον· ἐξ' ὧν οὐκέτι ἐπήγαγεν τὸ γεγεννημένον ἐκ τοῦ ὕδατος[2], φανερῶς τὸ τῆς γεννήσεως τῷ Πνεύματι περιάπτων.

Καὶ ἐπειδήπερ ἔτι τοῖς λεγομένοις ὁ Νικόδημος ἠπίστει, πάλιν ἐπήγαγεν «μὴ θαυμάσῃς ὅτι εἶπόν σοι· δεῖ ὑμᾶς γεννηθῆναι ἄνωθεν»[3], τουτέστιν μὴ ἄπιστόν σοι φαινέσθω τὸ λεγόμενον. Καὶ πῶς οὐκ ἄπιστον; Ὑπερβαίνει γὰρ τὴν φύσιν τὴν ἡμετέραν τὰ ῥήματα. Μὴ πρὸς τὴν σήν, φησίν, ἀποβλέψῃς φύσιν, ἀλλὰ πρὸς τὴν τοῦ γεννῶντος δύναμιν. Τὸ γάρ τοι Πνεῦμα τὸ Ἅγιον δεσποτικὴν ἔχον τὴν ἐξουσίαν, ἕκαστον ὡς ἂν ἐθέλοι πράττει· οὐδὲν γάρ ἐστι τὸ κωλῦον αὐτοῦ τὴν ἐνέργειαν. «Τῆς» μὲν οὖν «φωνῆς αὐτοῦ ἀκούεις»[4], τουτέστιν αἴσθησιν αὐτοῦ τῆς παρουσίας λαμβάνεις. Οὐ

---

1. Πρβλ. Ρωμ. 6,4. **2.** Πρβλ. Ἰω. 3,5. **3.** Ἰω. 3,7. **4.** Ἰω. 3,8.

μὲν δυνατόν σε γνῶναι τίς τόπος αὐτῷ τῆς ὑποστάσεως, ἵνα γνῷς καὶ τῆς ἐργασίας τὸν τρόπον.

Ὥσπερ γὰρ ἀπέραντόν ἐστι τὴν φύσιν ἁπανταχοῦ παρόν, οὕτως ἀδιήγητον τὴν ἐνέργειαν, ἅπαντα ποιοῦν ὡς βούλεται. Καλῶς δὲ εἶπεν τό «τὴν φωνὴν αὐτοῦ ἀκούεις», ἐπειδήπερ ἡ πρώτη γενομένη κάθοδος ἐπὶ τοὺς Ἀποστόλους ἀκοῇ παρελήφθη, τοῦτο μὲν ὥσπερ φερομένης πνοῆς ἀκουόντων βιαίας, τοῦτο δὲ ἀκουόντων ταῖς γλώσσαις λαλούντων κατὰ τὴν ἐναποτελουμένην αὐτοῖς τοῦ Πνεύματος δύναμιν.[1]

Οὕτω μέντοι τὸ πᾶν ἐπὶ τὴν τοῦ γεννῶντος ἀξιοπιστίαν ἐνέγκας, καλῶς ἐπήγαγεν «οὕτως ἐστίν πᾶς ὁ γεγεννημένος ἐκ τοῦ Πνεύματος»[2], τουτέστι τοιαύτη τοῦ Πνεύματος ἡ γέννησις, οὐδ' ὥστε καταλαμβάνεσθαι λογισμοῖς ἀνθρώπων, ἀλλ' ὥστε ὑπερβαίνει μὲν αὐτῶν τὴν κατάληψιν, αἰσθήσει δὲ ὅμως γίνεσθαι καταφανῆ διὰ τὴν τῶν λαμβανόντων χρείαν.

Θαυμάσαι δὲ ἔνεστι τοὺς λέγοντας περὶ τοῦ ἀνέμου τοῦτο λέγεσθαι· Πῶς γὰρ ἁρμόσει τό «ὅπου θέλει πνεῖ» ἀνέμῳ, ᾧ μηδὲ πρόσεστι τὸ θέλειν ἀλόγῳ τινὶ κινουμένῳ φορᾷ; Πῶς δὲ ἁρμόσει τό «οὐκ οἶδας πόθεν ἔρχεται καὶ ποῦ ὑπάγει»[3], πάντων μὲν ἀνθρώπων εἰδότων «πόθεν ἔρχεται καὶ ποῦ **323** ὑπάγει», οὕτω τε ὅταν ἐθέλων ἀσφαλίζεσθαι καὶ τὴν προφορὰν αὐτοῦ δυναμένων, πολλῶν δὲ ἅμα τοῦ πνεῖν καὶ τὸ τοῦ πνέοντος ὄνομα λεγόντων. Τὸ οὖν «οὕτως ἐστίν» οὐ παραβολικῶς εἴρηται, ἀλλὰ δεικτικῶς, ἀντὶ τοῦ κατὰ τοῦτον τὸν τρόπον τὸν εἰρημένον.

Ἰω. 3,20-21

[741] Καλῶς εἶπεν «ὁ τὰ φαῦλα πράσσων καὶ ὁ ποιῶν τὴν ἀλήθειαν»[4] οὔτε ὁ πράξας εἰπών, οὔτε ὁ ποιήσας. Ἐγχωρεῖ γὰρ καὶ τὸν ποιήσαντα τὸ κακὸν ἀποστῆναι μὲν τῆς κακίας, ἰδεῖν δὲ πρὸς τὸ καλόν, καὶ τὸν τῇ ἀληθείᾳ χαίρειν ἐπαγγελλόμενον νεῦσαί ποτε πρὸς τὸ χεῖρον. Διὸ εἶπε τό «πράσσων» καὶ τό «ποιῶν»· οὔτε γὰρ ἔνεστι περὶ τὴν κακίαν διακείμενον χαίρειν τῷ

---

1. Πρβλ. Πράξ. 11,1-4. **2.** Ἰω. 3,8. **3.** Ἔνθ' ἀν. **4.** Ἰω. 3,20,21.

καλῷ, καὶ ὁ τῆς ἀληθείας ἐραστὴς πάντως ἐστὶ τῶν καλῶν ἐπιθυμητής.

'Ιω. 3,24

Ὅλα ταῦτα πρότερα γεγονότα τῆς τοῦ Βαπτιστοῦ καθείρξεως[1], τῶν λοιπῶν εὐαγγελιστῶν εὐθὺς μετὰ τὸ τοῦ Κυρίου βάπτισμα καὶ τοὺς διαβόλου πειρασμούς[2], Ματθαίου μὲν εἰπόντος «ἀκούσας ὅτι 'Ιωάννης παρεδόθη, ἀνεχώρησεν ἀπὸ τῆς 'Ιουδαίας εἰς τὴν Γαλιλαίαν»[3], Μάρκου δέ «μετὰ τὸ παραδοθῆναι τὸν 'Ιωάννην ἦλθεν εἰς τὴν Γαλιλαίαν»[4]. Εὔδηλον μέντοι ὅτι καὶ Λουκᾶς τὴν αὐτὴν ἐκείνοις ἀκολουθίαν ἐζήλωσεν τῆς διδασκαλίας, ὡς φαίνεσθαι ὅτι δὴ καταλειπόντων ἐκείνων τὰ πρὸ τῆς 'Ιωάννου καθείρξεως ὑπὸ τοῦ Κυρίου γεγονότα, ταῦτα μάλιστα αὐτὸς ἐφρόντισεν.

'Ιω. 4,9

324 [741] Διδάσκει δὲ ἡμᾶς ὅτι οὐχ ὡς ἑτεροδόξῳ δι' ἔχθραν τὸ ὕδωρ δοῦναι[5] παρῃτήσατο, ἀλλ' ὡς μέλλοντα τὸν ἐξ ἀρχαίου κείμενον αὐτῷ νόμιμον παραβῆναι ὑπ' ἀνάγκης ὑπομνῆσαι βουλομένη.

'Ιω. 5,2

Τὸ μὲν περιϊέναι καὶ τοὺς ὁποιδήποτε ὄντας τῶν ἀῤῥώστων θεραπεύειν οὐκ ἀναγκαῖον ἔκρινεν, ὥστε μὴ φιλαυτίας ἀπενέγκασθαι δόξαν, ἕνα δὲ θεραπεύσας δι' ἐκείνου καταφανῆ τοῖς πᾶσιν ἑαυτὸν καθίστησιν. Ταύτης ἕνεκα τῆς αἰτίας ἄπεισι μὲν «ἐπὶ τὴν προβατικὴν κολυμβήθραν, ἔχουσαν πέντε στοάς»[6]· μετὰ γὰρ τὰς ἐν κύκλῳ τέσσαρας μέσην εἶχεν ἑτέραν. [Προβατικὴ δὲ κολυμβήθρα ἐλέγετο ἀπὸ τοῦ τὰ προσαγόμενα πρόβατα ταῖς ἑορταῖς ἐκεῖ συναθροίζεσθαι καὶ ἀπὸ τοῦ θυομένων τῶν προβάτων ἐν ἐκείνῳ

---

1. Πρβλ. 'Ιω. 3,24. **2.** Πρβλ. Ματθ. 4,1-3. **3.** Ματθ. 4,12. **4.** Μάρκ. 1,14. **5.** Πρβλ. 'Ιω. 4,9. **6.** 'Ιω. 5, 2.

πλύνεσθαι τῷ ὕδατι τὰ ἔγκατα]. Ἐντεῦθεν γοῦν καὶ πολὺ πλῆθος τῶν διαφόροις ἀῤῥωστήμασι[1] κατεχομένων ἐν τῷ τόπῳ συνείλεκτο ἐπὶ θεραπείας ἐλπίδι, ὡς ἂν τοῦ ὕδατος αὐτοῦ δυναμένου τι πάντως, ἐν ᾧπερ τῶν προσαγομένων τῷ Θεῷ καὶ θυομένων ἐνεβάλλετο τὰ ἔγκατα. Ταύτῃ δὲ αὐτῶν τῇ ὑπολήψει καὶ ὁ Θεὸς συνεργῶν κατά τινας ἀδήλους καιροὺς κίνησιν τοῦ ὕδατος γίνεσθαι παρεσκεύαζεν, ἣν ὡς κατά τινα θείαν ἐνέργειαν ἀποτελεῖσθαι πιστεύοντες, οὕτω κατιόντες τὴν θεραπείαν ἐκομίζοντο, πολλῶν μὲν κατὰ ταὐτὸν οὐ θεραπευομένων, τοῦ δὲ πρώτου καταβάντος τῆς χάριτος **325** ἀπολαύοντος, ἵνα μὴ τὸ πρόχειρον τῆς θεραπείας ἐλαττώσῃ τὸ θαῦμα, μειζόνως δὲ νήφοντες καὶ μετὰ πολλῆς διαθέσεως τὴν τοῦ ὕδατος κίνησιν ἀναμένοντες, ἐντεῦθεν παιδεύωνται τὸν προσήκοντα καὶ μετὰ τὴν θεραπείαν ἔχειν λογισμόν. Πολλῶν τοίνυν ὄντων τῶν ἀῤῥώστων πάντας μὲν οὐκ ἐθεράπευσεν, δεικνὺς δὲ τὴν οἰκείαν δύναμιν ἕνα ἐπελέξατο τὸν βαθυτέρῳ μάλιστα κατεχόμενον πάθει καὶ τῷ μήκει τοῦ χρόνου τὴν σωτηρίαν ἀνέλπιστον ἔχοντα. Παράλυτος γὰρ ἦν ἐν αὐτοῖς ἐπὶ τριάκοντα καὶ ὀκτὼ ἔτεσι τῷ πάθει κατεχόμενος. Πρὸς τοῦτον ἀπελθὼν οὐκ εὐθὺς εἶπεν «Ἆρον τὸν κράββατόν σου καὶ περιπάτει»[2], ἀλλ' ἀπό τινος ἀκολουθίας τῶν πρὸς αὐτὸν ἄρχεται λόγων, ὅπερ δὴ καὶ ἐπὶ τῆς Σαμαρείτιδος πεποίηκε.

Ἰω. 5,17

[744] Ὥσπερ γὰρ ἔργον ἐκείνῳ τὸ ὑπὲρ τῶν ἀνθρώπων οἰκονομεῖν, καὶ νόμος οὐδεὶς ὁ κωλύων αὐτόν, οὔτε μὴν ὅρον ἔχει τῆς πράξεως, οὕτως εἶπε· «Κἀγὼ ἐργάζομαι»[3] διότι καὶ βούλομαι, οὐδένα καιρὸν ἀφωρισμένον ἔχων τοῖς παρ' ἐμοῦ γινομένοις ὑπὲρ τῆς κοινῆς τῶν ἀνθρώπων σωτηρίας. Εἰ δὲ οὐδεὶς ὁ μεμφόμενος ἐκείνῳ (ἡ γὰρ δεσποτεία τὴν ἄδειαν χαρίζεται), ἐγκαλείτω δὴ μηδ' ἐμοὶ μηδείς· ὁμοίως γὰρ ἔξεστι κἀμοὶ ποιεῖν βουλομένῳ.

1. Πρβλ. Ἰω. 5,3. **2.** Ἰω. 5,8,11,12. **3.** Ἰω. 5,17.

Ἰω. 5,19-20

Εἰπὼν ὅτι «οὐ δύναται ὁ Υἱὸς ἀφ' ἑαυτοῦ ποιεῖν οὐδέν», τὴν αἰτίαν ἐπήγαγεν, «ἐὰν μή τι βλέψῃ», φησί, «τὸν Πατέρα ποιοῦντα· ἃ γὰρ ἂν ἐκεῖνος ποιῇ, ταῦτα καὶ ὁ Υἱὸς ὁμοίως ποιεῖ»[1]. Οὐ γὰρ ἕτερα μὲν τὰ παρ' ἐκείνου γινόμενα, ἕτερα δὲ τὰ παρ' ἐμοῦ καθ' ὁμοιότητα τῶν παρ' ἐκείνου γενο**326**μένων, ἀλλ' ἅπερ ἐκεῖνος ποιεῖ, ταῦτα κἀγὼ ποιῶ, κοινῆς οὔσης τῆς ἐργασίας, τὰ αὐτὰ ἐμοῦ τε κἀκείνου ἐπιτελοῦντος. Καὶ οὐκ εἶπεν ἁπλῶς ὅτι «ταῦτα καὶ ὁ Υἱὸς ποιεῖ», ὥστε μὴ δοκεῖν ὑπηρετούμενον ἐν αὐτοῖς ἐργάζεσθαι, ἀλλὰ προσέθηκεν τό «ὁμοίως», ὥστε δεῖξαι ὡς οὐ μόνον κοινὰ τὰ ἔργα, ἀλλὰ καὶ τῆς ἐργασίας ὁ τρόπος, καὶ τῆς δυνάμεως καὶ τοῦ βουλήματος ἡ ταυτότης. Ὥστε καλῶς ἔφησε τό «μὴ δύνασθαι ἀφ' ἑαυτοῦ μηδὲν ποιεῖν»· ἔνθα γὰρ κοινά τε τὰ γινόμενα καὶ τῆς ἐργασίας ὁ τρόπος, πῶς ἂν δυνατὸν διασπᾶσθαι τὴν βουλὴν καὶ τὴν πρόσθεσιν τοῦ γινομένου;

Τὸ δέ «ὁ Πατὴρ φιλεῖ τὸν Υἱὸν καὶ πάντα δείκνυσιν αὐτῷ»[2] οὕτως ἑρμηνευτέον. Ἐπειδήπερ ὁ Κύριος ἡμῶν καὶ Σωτὴρ Ἰησοῦς Χριστός, Θεὸς ὢν καὶ ἄνθρωπος, καὶ τῷ μὲν Θεῷ πάντα προσῆν ἐμφύτως, τῷ δὲ ἀνθρώπῳ πάντα προσεγένετο ὕστερον διὰ τῆς πρὸς ἐκεῖνον συναφείας, εἰκότως ὡς ἄνθρωπος παρ' αὐτῶν ἐγκαλούμενος ὅτι παραβαίνει τὸ Σάββατον, ἀπὸ τῆς τοῦ Θεοῦ λόγου ἀξιοπιστίας τὸ μὴ παραβαίνειν ἀποδείκνυσιν, ἐξεῖναι δὲ αὐτῷ πάντα ποιεῖν ὡς ἂν βούληται. Καὶ διὰ τοῦτο τῆς φύσεως ἐκείνης λέγει τὸ ἀξίωμα, τὴν Ἰουδαίων μέμψιν ἀφορμὴν λαβὼν εἰς τὸ παραδεῖξαι τὴν οἰκείαν φύσιν, καθ' ὅσον ἐνῆν, οἵα τίς ἐστιν. Διὰ τοῦτο ἀκολούθως ἐπὶ τὸ ἀνθρώπινον ἐντεῦθεν μεθίσταται, ἐπειδήπερ καὶ πολὺ ἀπᾴδοντα τοῦ φαινομένου τὰ λεγόμενα.

Ἰω. 5,35

Ἐπειδὴ ἐκεῖνος μὲν ὥσπερ λύχνου[3] τάξιν ἐπεῖχεν, ὃς οὐ παρόντος τοῦ ἡλίου τοῖς ἐν σκότῳ τὴν χρείαν παρέχεται, παραγενομένου δὲ ἐκείνου περιττός ἐστι μηδὲν συμβαλλόμενος.

---

1. Ἰω. 5,19. **2.** Ἰω. 5,20. **3.** Πρβλ. Ἰω. 5,35.

Ἰω. 5,43

Ἐγὼ μέν, φησιν, ἐπειδήπερ ὑμᾶς πρὸς τὸν Θεὸν ἀνάγω, οὐδὲν ἐν τῷ βίῳ περίβλεπτον ὑμῖν ἐπαγγελλόμενος, ἀποφεύγετε τῶν παρ' ἐμοῦ λεγομένων τὴν δυσκολίαν[1]. Ἐκεῖνος δέ, ἐπειδήπερ ἐν τῷ βίῳ τούτῳ τὴν πᾶσαν **327** ἑαυτοῦ δόξαν ἐπιδείκνυ[**745**]ται, πολλὴν τὴν ἐνταῦθα τοῖς ἐπ' αὐτὸν πιστεύουσιν ἄνεσίν τε καὶ δωροφορίαν ἐπαγγελλόμενος, ἐπιθυμίᾳ τῆς παρούσης δόξης ἐπ' αὐτὸν συνδραμεῖσθε.

Ἰω. 6,1

Φυλάττει τὸ πρέπον ἑαυτῷ κἂν τούτῳ, ὥστε μὴ δοκεῖν ἑαυτὸν πάντοτε μεταδιώκειν τὰ πλήθη, ἀλλὰ γὰρ ὑπ' ἐκείνων μᾶλλον σπουδαζόμενον φαίνεσθαι.

Ἰω. 6,6

[**745**] Εἰ καὶ πρὸς ἕνα λέγειν ὁ Κύριος ἐδόκει, ἀλλ' οὖν γε κοινὸν ὑπὲρ τῆς ἁπάντων χρείας τὸν λόγον ἐποιεῖτο, ὅμως ὁ εὐαγγελιστὴς ἑρμηνεύων καὶ τῆς ἐρωτήσεως τὸν τρόπον ἐπάγει· «τοῦτο δὲ ἔλεγε πειράζων αὐτόν»[2], ἀντὶ τοῦ δοκιμάζων εἰπών, ἵνα εἴπῃ δόκιμον ποιῶν. Τὸ γὰρ διαπορῆσαι πρότερον ἐκεῖνον διὰ τὴν ἔνδειαν, εἶτα ἐκ παραδόξου θεωρῆσαι τὸ γινόμενον θαῦμα, ἐδίδασκεν αὐτὸν ἀεὶ τῷ Θεῷ τὸ πᾶν ἐπιτρέπειν καὶ μηδέποτε ὑπὸ ἐνδείας στενοχωρεῖσθαι τὸν λογισμόν.

Ἰω. 6,9

Τούτων παρὰ τοῦ Φιλίππου λεχθέντων, Ἀνδρέας ὁ ἀδελφὸς Πέτρου φησίν· ἔπεται ἡμῖν παῖς «πέντε ἄρτους ἔχων κριθίνους καὶ δύο ὀψάρια[3], ἀλλὰ ταῦτα τί ἐστιν;», Ταῦτα μέντοι ἔφη ὡς μὴ διὰ τὴν οἰκείαν χρείαν ἀποκρύπτεσθαί τι τῶν ἐνόντων δοκοίη. Ὅτι

1. Πρβλ. Ἰω. 5,43. **2.** Ἰω. 6,6. **3.** Ἰω. 6,9.

μὲν γὰρ ‹τοῦ›το μηδὲν ἦν πρὸς τοσοῦτον πλῆθος, αὐτός τε ἔφη, καὶ τὸ πρᾶγμα οὐχ ἑτέρως εἶχεν.

Ἰω. 6,12

328 Κελεύσας οὖν συναγαγεῖν «τὰ περισσεύσαντα», προστίθησι τό «ἵνα μή τι ἀπόληται»[1], οὐκ ἀληθῶς τοῦ μηδὲν ἀπολέσθαι φροντίζων (τίς ἐντεῦθεν ἔμελλεν γίνεσθαι βλάβη;), ἀλλὰ **[745]** τοῦτο μὲν λέγειν δόξας εἰς τὸ εὐπροσώπως αὐτοῖς κελεῦσαι τὴν τῶν κλασμάτων ποιήσασθαι συλλογήν, ἐκεῖνο δὲ οἰκονομούμενος, — ὅπερ ἐξ αὐτοῦ παρηκολούθει τοῦ πράγματος, — τοῦ ἐπὶ πλέον ἀπολαύσαντας, μᾶλλον τοῦ γεγονότος μεμνῆσθαι θαύματος, ἢ καὶ ὥστε διαδοθῆναι καὶ εἰς ἑτέρους τὸ γεγενημένον· ἐφαίνετο γὰρ καὶ τὸ δαψιλὲς τῆς χάριτος ἐν τῷ πλήθει τῆς περισσείας, καὶ ὅτι πάντα κατὰ τὸ δοκοῦν αὐτῷ διαπράττεται.

Ἰω. 6,29

Τοῦτο δέ φησιν ὁ Κύριος συνεὶς ὅτι πλεῖστον αὐτῶν ὑπερβαίνει τὴν ἀκοὴν ὁ περὶ τοῦ μυστηρίου λόγος· τοῦτο γὰρ ἦν ἡ πνευματικὴ τροφή. Οὐκ εὐθὺς οὖν συνεπιτρέχει τῇ διηγήσει, ἀλλ' ὁδῷ κέχρηται τῇ πρεπούσῃ πρὸς τὸν λόγον. Ἡ γὰρ **[748]** πίστις, φησίν, ἡ εἰς ἐμέ[2], ὁδὸς ὑμῖν ἔσται πρὸς τὴν τῶν λοιπῶν κατανόησίν τε καὶ διδασκαλίαν. Οὔτε γὰρ πιστεύοντας ἔνεστι πρός τι τῶν λεγομένων ἀμφιβάλλειν, οὔτε μὴ πιστεύοντας δέξασθαί τι τῶν λεγομένων δυνατόν, μεγάλων ὄντων καὶ πολὺ τὴν ὑμετέραν ὑπερβαινόντων ἀκοήν.

Ἰω. 6,31-33

329 Κατὰ σύγκρισιν τῆς τοῦ μάννα δόσεως ἐλαττῶσαι τοῦ ἄρτου τὴν βρῶσιν ἠβουλήθησαν, ἵνα δόξωσι καὶ ὡς ἀξιοπιστότερον αὐτοῦ Μωσέα νομίζειν, καίτοι γε τοὐναντίον ἐκ τῶν γεγραμ-

---

1. Ἰω. 6,12. **2.** Πρβλ. Ἰω. 6,29.



μένων ἐφαίνετο· χορηγουμένου γὰρ αὐτοῖς τοῦ μάννα ἐν τῇ ἐρήμῳ, οὐκ ὤκνησαν περὶ τοῦ Θεοῦ εἰπεῖν «ἐπεὶ ἐπάταξε πέτραν, καὶ ἐῤῥύησαν ὕδατα, καὶ χείμαῤῥοι κατεκλύσθησαν, μὴ καὶ ἄρτον δύναται δοῦναι;»[1]. Καὶ ἐκεῖνοι μὲν ὡς μείζονα ᾔτουν τὸν ἄρτον, εἰς ἀδυναμίαν, ὅτι μὴ ἐδίδου, τὸν Θεὸν διαβάλλοντες, οὗτοι δέ, τοῦ παρ' ἐκείνοις μεγίστου νομιζομένου δοθέντος αὐτοῖς, τὴν τοῦ μάννα δόσιν προετίμων· ἔδει δὲ πατέρας αὐτῶν ἐκείνους καλέσαντας μὴ τὴν ψῆφον αὐτῶν ἀποδοκιμάσαι μείζονα τοῦ ἄρτου τὴν δόσιν αἰτησαμένων, τυχόντας δὲ τοῦ δόξαντος παρ' ἐκείνοις εἶναι μείζονος, ἐπιγινώσκειν τοῦ παρόντος τὸ μέγεθος. Ἀλλὰ μία τούτων τε κἀκείνων ἡ ἀγνωμοσύνη, τὸ παρὸν ἀεὶ τῇ παραθέσει τοῦ ἀπόντος διαβάλλειν ἐπιχειρούντων.

Ὅτι μὲν οὖν τὴν σάρκα λέγει δῆλον· αὐτὴν γὰρ ἄρτον μεταφορικῶς ὡς ἐσθιομένην καλεῖ, ἢ καὶ ὡς τούτου μέλλοντος ἐν τῷ μυστηρίῳ δίδοσθαι ζωὴν δὲ λέγει[2].

Ἰω. 6,39-40

[748] Δύο γὰρ ταῦτα ἐν τοῖς ἀνωτέρω ἔφη· ὅτι εἰς αὐτὸν πιστεῦσαι πάντας προσῆκε, καὶ ὅτι τοῖς πιστεύσασι τῆς αἰωνίου πρόξενός ἐστι ζωῆς. Καλῶς οὖν ἀμφότερα ἐξήρτησε τοῦ θελήματος τοῦ πατρικοῦ, αὐτοῦ θέλημα εἶναι φήσας, καὶ τὸ πιστεῦσαι πάντας εἰς αὐτὸν καὶ τὸ πιστεύσαντας τὴν δι' αὐτοῦ κομίσασθαι δωρεάν[3], ὥστε φανῆναι δι' ἀμφοτέρων αὐτοὺς τῷ θελήματι τοῦ Πατρὸς μαχομένους.

Ἰω. 6,41-42

330 Τὸ γογγύζειν[4] αὐτοὺς οὐχ ἡ τῶν λεγομένων αἰτία παρεῖχεν, ἀλλ' ἡ τῆς γνώμης αὐτῶν δυσκολία. Δύο γὰρ ὄντων ἀφ' ὧ ἀπαράδεκτα τὰ λεγόμενα τοῖς ἀκούουσι καθίσταται — ἢ διὰ τὸ ἀπίθανον, ἢ διὰ τὸ δυσσεβὲς — ἀμφότερα ὁ Χριστὸς ἠσφαλίσατο,

---

1. Ψαλ. 77,20. **2.** Πρβλ. Ἰω. 6,31-33. **3.** Πρβλ. Ἰω. 6,39-40. **4.** Πρβλ. Ἰω. 6,41.

— τὴν μὲν ὑποψίαν τῆς δυσσεβείας ἀνελὼν τῷ πάντα ἐπὶ τὸν Πατέρα ἀναγαγεῖν καὶ τῆς ἐκείνου βουλῆς ἐξαρτῆσαι τὸ γινόμενον· τὸ δὲ ἀπίθανον πρὸς τῆς διηγήσεως ὑπειδόμενος, παράδοξον τῶν ἄρτων πρότερον τὸν πληθυσμὸν ποιησάμενος. Οὕτω περὶ τῆς πνευματικῆς αὐτοῖς διελέχθη τροφῆς, ὥστε τὸ δοκοῦν ἀπίθανον τῷ θαύματι πιστοῦσθαι. Ἀλλὰ πρὸς οὐδὲν τούτων ἀποβλέψαντες τὸν πατέρα καὶ τὴν μητέρα προεβάλλοντο[1], οὐκ ἐνδεχόμενον εἶναι φάσκοντες τὸν ἐξ ἀνθρώπων τεχθέντα ἐξ οὐρανοῦ κατεληλυθῆναι, τὸ τοῦ Κυρίου μὴ συνιέντες αἴνιγμα.

Ἰω. 6,47

Λέγω ταῦτα, φησίν, οὐχ ὅτι τὸν Πατέρα δυνατὸν ἰδεῖν ὑμᾶς· οὗτος γὰρ τὸν οἰκεῖον Πατέρα οἶδε μόνος ὁ ἐξ αὐτοῦ τε ὢν καὶ πάντοτε τῆς τοῦ γεννήσαντος θέας ἀπολαύων.

Ἰω. 6,49-50

«Οὗτος δὲ ὁ ἄρτος» οὐ τοιοῦτος, ὡσανεὶ σαφέστερον ἔλεγεν. «Οἱ μὲν πατέρες ὑμῶν τὸ μάννα»[2] φαγόντες οὐκ ἐκέρδαναν τοῦ θανάτου τὴν ἀπόφασιν, ἀλλ' «ἐν τῇ ἐρήμῳ» πάντες ἀπώλοντο, εἰσελθεῖν δὲ εἰς τὴν γῆν τῆς ἐπαγ**331**γελίας οὐκ ἀξιωθέντες. Ταύτης μέντοι τῆς τροφῆς ὁ μεταλαβὼν ἀνώτερος ἔσται τοῦ θανάτου. Τὸ δέ «οὐ μὴ ἀποθάνῃ»[3] εἶπεν, τοὺς ἀναστῆναι ἐλπίζοντας οὐκ ἠξίωσας καλεῖσθαι νεκρούς. Διὰ γὰρ τοῦτο καί «Θεὸς ζώντων» λέγεται καί «οὐ νεκρῶν»[4].

Ἰω. 6,63

Οὐ γὰρ ἡ σὰρξ ἀφ' ἑαυτῆς ὠφέλειαν παρέχεται, ἀλλ' ἡ θεία καὶ ἀσώματος φύσις, ἡ διὰ τῆς σαρκὸς τὴν ζωὴν παρεχομένη. Ἐνταῦθα μὲν οὖν δῆλός ἐστι τὴν τοῦ Μονογενοῦς λέγων· εἰπὼν γὰρ τό «ὅπου ἦν τὸ πρότερον»[5], ἐπήγαγε «τὸ Πνεῦμά ἐστι τὸ ζωο-

---

1. Πρβλ. Ἰω. 6,42. **2.** Ἰω. 6,49. **3.** Ἰω. 6,50. **4.** Ματθ. 22,32. Μάρκ. 12,27. Λουκ. 20,38. **5.** Ἰω. 6,62.

ποιοῦν»[1], ἐπειδή γε τοῦ μυστηρίου τοῦ παρ᾽ ἡμῖν τελουμένου κατὰ ἀντίτυπον τῆς τοῦ Κυρίου σαρκός, τῇ τοῦ Πνεύματος καταβάσει τὰ αὐτὰ δὴ ταῦτα ἀποτελεῖσθαι πιστεύομεν.

Ἰω. 7,3-8

Ταῦτα ἔλεγον οἱ ἀδελφοὶ πρὸς αὐτόν[2], ἀνθρωπινώτερον διακείμενοι καὶ βουλόμενοι αὐτὸν ἅπασι διὰ τῶν θαυμάτων γίνεσθαι καταφανῆ, ὡς ἂν καὶ αὐτοὶ πάντως τῆς δόξης ἐντεῦθεν μεθέξοντες καὶ παρασκευάσειεν αὐτὸ τὸ ἀδεὲς καὶ τὸ πρὸς πάντων ἀνεπιβούλευτον, οὐ τελείαν περὶ αὐτοῦ γνώμην ἔχοντες. Ὁ δὲ Κύριός φησι πρὸς αὐτούς· Ὑμῖν μὲν καὶ τοῦ ἀνιέναι πάντοτε καιρὸς καὶ τοῦ δεικνύναι αὐτούς, οὐδὲν γὰρ ἐφ᾽ ὑμῶν πλέον ὁ χρόνος δείξει[3]· ἐγὼ δὲ τέως ἀνέχομαι κρύπτεσθαι διὰ τὴν τῶν οἰκονομουμένων χρείαν[4], ἔσται δέ μοι καιρὸς ὁπηνίκα σαφῶς ἐμαυτόν, ὅστις εἰμί, πᾶσιν ποιήσω κατάδηλον (αἰνίττεται δὲ τὰ περὶ τὸν σταυρὸν καὶ τὰ μετ᾽ ἐκεῖνον). Εἶτα καὶ τὴν αἰτίαν τῆς ὑποθέσεως τῆς ἀνόδου δείκνυσι φήσας· Ὑμεῖς ἄνιτε, οὐδὲν γάρ ἐστι τὸ κωλῦον ὑμᾶς· ἐμοὶ μέντοι, ἐπειδήπερ ἔλεγχός εἰμι τῆς κακίας αὐτῶν, ἀπεχθάνονται ὡς εἰκός, ταῖς γοῦν ἀνακωχαῖς καὶ ταῖς **332** ὑπερθέσεσιν ὑποτέμνομαι τὴν ὀργήν. Διὰ τοῦτο τέως ὑπερτίθεμαι, ἀναβήσομαι δὲ ἐν τῷ δέοντι καιρῷ. Καὶ καλῶς ἠσφαλίσατο τὸ οὔπω ἀναβαίνω εἰς τὴν ἑορτὴν ταύτην[5], δεικνὺς ὅτι ἀναβήσεται μέν, οὐ μὴν δὲ εὐθὺς ἐν ἀρχῇ τῆς ἑορτῆς.

Ἰω. 7,19

[749] Ἐπειδήπερ ἐν τῇ προτέρᾳ ἑορτῇ ἦσαν ἐγκεκληκότες αὐτῷ ἐπὶ τοῦ παραλύτου τὴν τοῦ νόμου παράβασιν, τὴν δοκοῦσαν ἀπολογίαν τῆς ἀπιστίας αὐτῶν ἀνελὼν τὸν περὶ ἐκείνου λόγον ἀναλαμβάνει πάλιν καί φησιν «Οὐ Μωσῆς δέδωκεν ὑμῖν τὸν νόμον; καὶ οὐδεὶς ἐξ ὑμῶν ποιεῖ τὸν νόμον. Τί με ζητεῖτε ἀπο-

1. Ἰω. 6,63. **2.** Πρβλ. Ἰω. 7,3. **3.** Πρβλ. Ἰω. 7,6. **4.** Πρβλ. Ἰω. 7,7. **5.** Πρβλ. Ἰω. 7,8.

κτεῖναι;»[1]. Τὸν Μωσέως, φησίν, ἐκδικεῖτε νόμον· δείξατε τοίνυν ἐπὶ τῶν ἔργων τοῦ νόμου τὴν φυλακὴν καὶ εἴπατε τὴν αἰτίαν ἧς ἕνεκεν ἀνελεῖν με βούλεσθε, ὃ πάντων ἀνοσιώτατον τῷ νόμῳ νενόμισται.

'Ιω. 7,30-31

Τὸ δέ «οὔπω ἐληλύθει ἡ ὥρα αὐτοῦ»[2] φησι, καὶ διὰ τὸ μηδέπω παρεῖναι τὸν καιρὸν καθ' ὃν ἐνόμιζε δεῖν ἐγχειρίσαι τοῦ πάθους, ὡς δῆλον εἶναι ὅτι ὅτεπερ ἔδοξεν αὐτῷ, τότε κατασχεῖν ἠδυνήθησαν. Ὅμως οὐκ ἀνόνητα γεγενῆσθαι τὰ ῥήματά φησι, πολλῶν καὶ πεπιστευκότων καὶ τοῦτον εἶναι λεγόντων τὸν Χριστόν, τῷ μὴ ἐγχωρεῖν τὸν προσδοκώμενον Χριστὸν τούτων ἐπιτελέσαι σημεῖα μείζονα.

'Ιω. 7,52. 8,12,13,15

'Επειδὴ οἱ μὲν πρὸς εὐσέβειαν χωρίον τὸ τῆς Γαλιλαίας διέβαλλον, — γέγραπται δὲ ἐν τῷ Προφήτῃ «Γαλιλαία τῶν ἐθνῶν, ὁ λαὸς ὁ καθήμενος ἐν σκότει εἶδε φῶς μέγα»[3],— ἐδείκνυτο δὲ διὰ τῆς φωνῆς ταύτης δεδοκιμασμέ**333**νος καὶ ὁ τῆς Γαλιλαίας λαὸς τῷ Προφήτῃ εἰς τὸ δέξασθαι μεγάλων τινῶν ἀγαθῶν περιουσίαν, ὁ Κύριός φησιν «'Εγώ εἰμι τὸ φῶς τοῦ κόσμου»[4]. Οὐδὲ ἐκείνου, φησί, μέμνησθε, τοὺς Προφήτας προβαλλόμενοι, ὅτι φωτὸς ἀπολαύσουσι Γαλιλαῖοι μεγίστου; 'Εκεῖνο τοίνυν τὸ φῶς ἐγώ, ὃς τοῦ κόσμου φῶς εἰμι, οὐκ ἐκείνοις μόνον.

Πρὸς ταῦτα οἱ Φαρισαῖοί φασιν· οὐκ ἀξιόπιστος εἶ ἑαυτῷ μαρτυρῶν. Τί οὖν ὁ Κύριος; Μάλιστα μὲν οὖν, φησί, κἂν ἑαυτῷ μαρτυρῶ, οὐκ ἀπαράδεκτος ἡ ἐμὴ μαρτυρία, ἀκόλουθα γὰρ τῇ ἐμῇ φθέγγομαι ἀξίᾳ. Ταῦτα δέ, φησίν, ὑμεῖς ἀγνοεῖτε· καὶ γὰρ πλεῖστον ὑμῶν ὅσον ὑπερβαίνει τὴν γνῶσιν, τούτου δὲ αἴτιον τὸ μὴ πιστεύειν τοῖς λεγομένοις. «Ὑμεῖς κατὰ τὴν σάρκα κρίνετε»[5], ἐπειδὴ γὰρ ἀπὸ τοῦ φαινομένου τὴν ἀπόφασιν ἐκφέρετε.

---

1. 'Ιω. 7,19. **2.** 'Ιω. 7,30. **3.** Ἡσ. 8,23. 9,1. **4.** 'Ιω. 8,12. **5.** 'Ιω. 8,15.



Ἰω. 8,21

[749] Ἀπελθεῖν γάρ με, φησί, προσήκει [752] ὅπου γενόμενος· ἐμοὶ μὲν πλησιάσαι ὑμεῖς οὐ δυνήσεσθε[1], τοῦ δὲ εἰς ἐμὲ πλημμελήματος δώσετε δίκην.

Ἰω. 8,26

Πολλὰ ἔχων ὑμᾶς ἐπὶ πολλοῖς αἰτιᾶσθαι[2], δικαίως ἂν οὐδὲ τῆς ἐμῆς ἠξίωσα φωνῆς. Οὐδὲ γὰρ ὁ πέμψας με ἐνεχείρησεν εἰπεῖν τι ψευδὲς πρὸς ὑμᾶς, ἀληθὴς ὢν κατὰ πάντα καὶ τῇ ἀληθείᾳ μόνῃ πάντοτε χαίρων· οὔτε δὲ ἐγὼ ἕτερα παρὰ τὰ ἐκείνῳ δοκοῦντα φθέγγομαι. Ὥστε δικαίως ὑμῖν ἀπιστοῦσιν ἐγκαλεῖν δυνάμενος ὡς πρὸς τὴν ἀλήθειαν ἀπομαχομένοις, δικαίως ἂν καὶ τοῦ λαλεῖν πρὸς ὑμᾶς ἀπέστην.

Ἰω. 8,34-35

334 Ὥσπερ ὁ δεσπότης ἐκβάλλει τῆς οἰκίας τὸν δοῦλον κακογνωμονοῦντα, ὅτε καὶ βούλεται, καὶ τιμωρίαις αὐτὸν ὑποβάλλει ταῖς δοκούσαις αὐτῷ, — ὁ δὲ Υἱὸς ὡς δεσπότης οὐκ ἔχει τὸν ἐξεοῦντα· ὁμῶς ὁ μὲν τῇ ἁμαρτίᾳ δεδουλωμένος ἔξω καθεστὼς ἁπάντων ὁμοῦ τῶν παρὰ Θεοῦ καλῶν τῇ διηνεκεῖ τιμωρίᾳ παραδίδοται, ὁ δὲ τῆς ἐλευθερίας ἀπολαύσας καὶ ἐν Υἱοῦ τάξει καταστὰς διηνεκεῖ τῶν παρὰ τοῦ Θεοῦ ἀγαθῶν δέχεται τὴν ἀπόλαυσιν[3].

Ἰω. 8,41

Ἠδύνατο μὲν καὶ τοῦτο οὐχ οὕτως ἔχον ἐλέγξαι· καὶ γὰρ ἐπεμίγησαν πολλάκις τοῖς ἔθνεσι, καὶ ἐκ πορνείας πολλοὶ παρ' αὐτοῖς ἐτέχθησαν[4], καὶ συνεχῶς τοῦτο ὀνειδιζόμενοι παρὰ τοῖς Προφήταις φαίνονται. Ἀλλ' οὐδὲ τοῦτο ποιεῖν ὁ Κύριος ἀνέχεται, ἀλλ' ἀπὸ τῆς αὐτῶν φωνῆς σφοδρότερον ποιεῖται τὸν ἔλεγχον.

---

1. Πρβλ. Ἰω. 8,21. **2.** Πρβλ. Ἰω. 8,26. **3.** Πρβλ. Ἰω. 8,35. **4.** Πρβλ. Ἰω. 8,41.

Ἰω. 8,43-45

Τοῦτο βούλεται εἰπεῖν. Ἀλλ᾽ εἴπω, φησίν, ὑμῖν τίνος ἕνεκεν οὐ συνίετε τὰ παρ᾽ ἐμοῦ λεγόμενα[1]· ἀντὶ τοῦ εἰπεῖν πρὸς τὸ χεῖρον ῥέπετε,— φεύγων τοῦ ἐλέγχου τὸ προφανὲς, ἐκόλασε τὸν λόγον,— ἐπειδή, φησίν, «οὐ δύνασθε»[2]. Εἶτα, ὥστε δεῖξαι κατὰ τί οὐ δύνανται, ἐπάγει· ἐπειδὴ πα**335**τέρα ἑαυτῶν τὸν διάβολον διὰ τῆς τῶν ἔργων οἰκειότητος πεποιήκατε· ἐκείνου γὰρ πρὸς τὸ ψεῦδος ῥέποντος, ὅσον ἔχετε τὴν πρὸς αὐτὸν οἰκειότητα, τοσαύτην ἔχειν ὑμᾶς ἀνάγκη πρὸς τὴν ἀλήθειαν τὴν ἀλλοτρίωσιν. «Ὅταν γὰρ λαλῇ»[3] — ἀντὶ τοῦ ὁ διάβολος — «ἐκ τῶν ἰδίων λαλεῖ»[4]· αὐτὸς γάρ ἐστιν ὁ τοῦ ψεύδους πατήρ, ὅς, ἐπειδήπερ αὐτὸ καὶ γεγέννηκεν, πρῶτος αὐτὸ προβαλὼν ἐν τῇ πρὸς Ἀδὰμ φωνῇ, ἕτερά τε πρὸς αὐτὸν ἀνθ᾽ ἑτέρων εἰπὼν τῷ ἰδίῳ κέχρηται ἔργῳ· Τὸ οὖν «ὅτι ψεύστης ἐστὶ καὶ ὁ πατὴρ αὐτοῦ», ἵνα εἴπῃ ὅτι καί «ψεύστης ἐστὶ καὶ πατὴρ αὐτοῦ» τοῦ ψεύδους πρῶτος αὐτῷ χρησάμενος, ὡς φαίνεσθαι τὸ ἄρθρον παρεγκείμενον κατὰ τὴν ἐν τῇ θείᾳ Γραφῇ τῆς φράσεως ἀδιαφορίαν. Διὰ τοῦτο τοίνυν οἰκείως ἔχοντες πρὸς τὸ ψεῦδος, τὴν παρ᾽ ἐμοῦ λεγομένην ἀλήθειαν εἰκότως οὐ προσίεσθε. Τοῦτο δὲ ἀπέδοτο πρὸς τό «διὰ τί τὴν ἀλήθειαν τὴν ἐμὴν οὐ γινώσκετε; ὅτι οὐ δύνασθε ἀκούειν τὸν λόγον μου»[5]. Τὴν γὰρ αἰτίαν εἶπεν δι᾽ ἣν οὐ δύνανται, ὥστε φανῆναι ἐν τῇ αὐτῶν προαιρέσει, καὶ οὐχ ἐν τῇ φύσει, τὴν τοῦ πράγματος ἀδυναμίαν κειμένην ἐν τῇ πρὸς τὰ χείρω ῥοπῇ καὶ φιλία, οὐ προσιεμένων τῶν λεγομένων τὴν ἀλήθειαν. Διὰ τοῦτο οὐδὲ συνιέντων τὰ λεγόμενα, ὥσπερ τι συλλογισμοῦ συμπέρασμα, τοῦτο ἀπέδοτο τό «ὅτι τὴν ἀλήθειαν λέγω, οὐ πιστεύετέ μοι»[6].

Ἰω. 8,56

Ἦ καὶ ὅτε διὰ τῆς τοῦ υἱοῦ σφαγῆς τὴν προαίρεσιν ἐπιδειξάμενος ἐδέξατο παρὰ Θεοῦ τὴν τῶν ἐσομένων ἀποκάλυψιν, ὥστε γνῶναι ὅτι καθ᾽ ὃν τρόπον αὐτὸς εἵλετο τὸν οἰκεῖον υἱὸν εἰς θυσίαν

---

1. Πρβλ. Ἰω. 8,45. **2.** Ἰω. 8,43. **3.** Ἰω. 8,44. **4.** Ἔνθ᾽ ἀν. **5.** Ἰω. 8,43. **6.** Ἰω. 8,45.

δοῦναι διὰ τὸν Θεόν[1], οὕτω καὶ ὁ Θεὸς δώσει τὸν ἑαυτοῦ Μονογενῆ παῖδα ὑπὲρ τῆς τοῦ κόσμου σωτηρίας.

Ἰω. 8,59

Καὶ ἀναχωρήσας τὸ κατὰ τὸν ἐκ γενετῆς τυφλὸν[2] εἰργάσατο θαῦμα εἰς πίστωσιν τῶν εἰρημένων παρ' αὐτοῦ· ἀκολουθοῦν γὰρ τὸ θαῦμα τοῖς λόγοις ἐπιστοῦτο τὰ εἰρημένα. Δείκνυσιν ὅτι ὁμοῦ τε τῶν Ἰουδαίων ὑπεξῆλ**336**θεν καὶ παριὼν τὰ κατὰ τὸν τυφλὸν εἰργάσατο. Ἦν δὲ μετὰ τοὺς λόγους θαῦμα θαύματι ἐπισυναπτόμενον, ὅτι τε τοὺς ὁρῶντας ἔλαθε βουληθεὶς ἀορασίᾳ κατασχεθέντας, καὶ ὅτι τοῦ βλέπειν οὐκ ἔχοντι φύσιν τὸ βλέπειν ἐχαρίσατο.

Ἰω. 9,1-2

Ἔργον ἦν τῶν μαθητῶν τοιαῦτα ἐρωτᾶν τὸν Κύριον, δι' ὧν ἐμάνθανον τὰ εἰς εὐσέβειαν συντείνοντα. Ὅθεν ἑωρακότες τὸν ἐκ γενετῆς τυφλὸν τὸν πρὸ πάσης ἁμαρτίας τὸ πάθος δεξάμενον ἐν τῇ μήτρᾳ, εὐσεβείας λογισμῷ καὶ ἀνθρωπίνως κινούμενοι περὶ τὸ πρᾶγμα ἐρωτῶσι[3].

[753] Εὔλογον μὲν αἰτίαν εἶναι τοῦ συμβάντος ἐπίστευον, καὶ οὐκ ἂν ἁπλῶς αὐτῷ συμβῆναι τὸ πάθος, τοῦ Θεοῦ τῶν ἀνθρωπίνων ἐπιμελουμένου πραγμάτων· κατὰ δὲ τὴν ἀνθρωπίνην ἀσθένειαν, οὐδὲν πλέον ὑπολαβεῖν δυνηθέντες, τὴν τοῦ συμβάντος αἰτίαν ἐπὶ ἁμαρτίαν μόνην ἀνέφερον, ἤτοι τῶν γονέων ἢ καὶ αὐτοῦ τοῦ πεπονθότος, οὐχ ὡς διὰ τὸ ἁμαρ-

Πιστεύοντες μὲν ὅτι πάντα εὐλόγως γίνεται παρὰ τοῦ Θεοῦ περὶ τοὺς ἀνθρώπους, οὐδὲν δὲ πλέον δυνηθέντες νοῆσαι τὸ συμβάν, ἐπὶ ἁμαρτίαν ἀνέφερον αὐτοῦ ἢ τῶν γονέων, οὐχ ὡς τούτου ἁμαρτήσαντος (ὅπερ οὐκ ἦν), ἀλλ' ὡς τοῦ Θεοῦ τυφλὸν αὐτὸν ποιήσαντος, οἰόμενοι δὲ ἀκόλουθόν τι λέγειν ἢ εὐσεβές, ὅτι ἁμαρτία πάντων αἰτία τῶν κακῶν, ἢ αὐτῷ ἢ τοῖς

1. Ἰω. 8,56. **2.** Πρβλ. Ἰω. 9,1. **3.** Πρβλ. Ἰω. 9,2.

τῆσαι παθόντος (πῶς γὰρ οἷόν τε ἦν ἁμαρτεῖν τὸν μηδέπω γεννηθέντα;), ἀλλ' ὡς ἂν διὰ τὸ μέλλειν ἁμαρτάνειν, τοῦ Θεοῦ κατὰ πρόγνωσιν αὐτὸν τῷ πάθει περιβαλόντος.

γονεῦσι τὴν αἰτίαν ἐπέῤῥιπτον. Οὕτως μὲν ἐκεῖνοι. Ὁ δὲ Κύριος οὐ πρὸς τὰ ῥήματα τὰ ἐκείνων, ἀλλὰ πρὸς τὴν γνώμην ἀπεκρίνατο λέγων ὅτι, οὐχ ὡς οἴεσθε δι' ἁμαρτίας τῆς ἰδίας ἢ ἀλλοτρίας πάσχει[1]· εἰσὶ γὰρ καὶ ἄλλαι αἰτίαι, ἃς νῦν ἀγνοεῖτε, φησί, διὰ τὸ ἐκ μέρους γινώσκειν.

Ἰω. 9,3

337 [753] Ὅτι μὲν ἡ περὶ τὸν τυφλὸν θεραπεία αὐτῷ τε λυσιτελὴς ἐγένετο τοῦ πάθους τὴν ἀπαλλαγὴν ἀφορμὴν λαβόντι τῆς τοῦ Μονογενοῦς ἐπιγνώσεως, — καὶ ἕτεροι δὲ πολλοὶ τὴν ἐπ' αὐτὸν πίστιν ἁπάντων προτιμᾶν ἐπαιδεύθησαν, — εὔδηλον. Ὅτι δὲ τοῦτο ἔσεσθαι, καὶ πρὸς ταῦτα λυσιτελῆ εἶναι τὴν πήρωσιν αὐτοῦ συνέβαινεν, ἅπαντας τοὺς ἀνθρώπους πρὸ τῆς ἐκβάσεως ἀγνοεῖν ἦν ἀνάγκη· οὕτως οὖν ἀπὸ τοῦ παρόντος ἐπιστώσατο τὰ λοιπά.

Καὶ τῷ μὲν τυφλῷ ἡ θεραπεία σφόδρα χρήσιμος εὑρέθη, διὰ τῆς θεραπείας ἀφορμὴν λαβὼν τοῦ πιστεῦσαι εἰς τὸν Υἱόν, ὅπερ ἠγνοεῖτο τοῖς πολλοῖς, ὡς εἰκός, ἡ τοῦ τέλους ἔκβασις.

Ὥσπερ οὖν ἐπὶ τούτου, μέλλοντος μεγάλου οἰκονομεῖσθαι πράγματος ἠγνόουν τὴν αἰτίαν, οὕτω καὶ ἐπὶ τῶν λοιπῶν ἀδήλους αἰτίας τῶν συμβαινόντων εἶναι χρὴ ἐννοεῖν χρόνῳ τοῖς ἀγνοοῦσι φανερουμένας ὅτι ἐπὶ συμφέρον τι ἐγίνοντο. Οὐ τοῦτο

1. Πρβλ. Ἰω. 9,3.

δέ φησιν ὁ Κύριος, ἀναμαρτήτους βουλόμενος δεῖξαι τὸν τυφλὸν καὶ τοὺς τούτου γονεῖς (οὐ γὰρ οὐδὲ τοῦτο ἠρώτησαν οἱ μαθηταί), ἀλλὰ διδάξαι θέλων ὅτι εἰ καὶ νῦν εἰσὶν οὗτοι ἁμαρτωλοί, ἀλλ᾽ οὖν δι᾽ ἑτέρας αἰτίας συμβαίνει πολλὰ τοιαῦτα κατὰ συγχώρησιν Θεοῦ. Ἐπειδὴ γὰρ τοῦτο νομίζετε μόνον αἴτιον, τὸ προημαρτηκέναι, «οὔτε οὗτος ἥμαρτεν οὔτε οἱ γονεῖς αὐτοῦ»[1], ἀλλὰ συνεχωρήθη τὸ πάθος παρὰ τοῦ τὰ πάντα οἰκονομοῦντος Θεοῦ εἰς φανέρωσιν τῆς αὐτοῦ δυνάμεως. Ἐπειδὴ γὰρ ἐτέχθη τυφλὸς ἔλαβε παρ᾽ ἐμοῦ ἴασιν, οὗ γεγονότος ἐγνώσθη ἡ ἐμὴ ἀξία, καὶ σὺν τῇ θεραπείᾳ ἐδέξατο ὁ τυφλὸς καὶ τὴν εἰς τὸν βίον ἐπίγνωσιν, δι᾽ οὗ καὶ οἱ πολλοὶ ὠφελοῦνται. Εἰ μὴ οὖν ἐγεγόνει οὗτος τυφλὸς οὐκ ἂν ταῦτα πάντα τὰ ἐπωφελῆ ἐγένετο, εἰ καὶ ὑμεῖς ἀγνοεῖτε, ἐπεὶ οὖν τῶν λοιπῶν τὰ ὅμοια δεῖ καταστοχάζεσθαι ὧν τὰς αἰτίας οὐ καταλαμβάνετε. Εἰπὼν δέ «ἵνα φανερωθῇ» κατὰ τὸ τῆς Γραφῆς ἰδίωμα λέγει· καὶ γὰρ καὶ εἰ μὴ ἐτυφλώθη οὗτος, φανερὰ ἦν τοῦ Θεοῦ δόξα.

Ἠρώτουν αὐτόν, ὡς εἰκός, οἱ μαθηταὶ τίς ὁ τῆς θεραπείας τρόπος. Ὁ δὲ καὶ τὸν τρόπον εἶπεν καὶ τὸν θεραπεύσαντα ἐμήνυσεν.

Ἰω. 9,4

338 Ἐπεὶ δὲ διαφόρως ἐν τοῖς γενομένοις θαύμασι τὴν οἰκείαν ἀγνωμοσύνην ἐπεδείκνυντο Ἰουδαῖοι, ὡς ἐκ τῶν προλαβόντων ἔγνωμεν, μάλιστα δὲ ἐν τῇ τοῦ Σαββάτου θεραπεύοντος ἡμέρᾳ, καὶ διώκειν αὐτὸν ὡς ἀσεβῆ τινα καὶ παράνομον ἐπειρῶντο· Σάββατον δὲ ἦν κατ᾽ ἐκείνην τὴν ἡμέραν ὅταν θεραπεύειν ἔμελλεν τὸν ἐκ γενετῆς τυφλόν. Ὅθεν καὶ οἱ Φαρισαῖοι ἀντιλέγειν πρὸς τὸ

Ἐπειδὴ ἔμελλον οἱ Ἰουδαῖοι ἐάσαντες τὸ θαῦμα ἀπὸ τοῦ Σαββάτου διαβάλλειν αὐτόν (ἦν γὰρ Σάββατον ὅτε ἐθεράπευσε τὸν τυφλόν), ὃ δὲ λέγει τοιοῦτόν ἐστιν.

Εἰ καὶ μέλλουσιν οἱ Ἰουδαῖοι διὰ τὸ ἐν Σαββάτῳ μετὰ τὸ θαῦμα πεποιηκέναι πρόφασιν εὔλογον ποιεῖσθαι τοῦ διώκειν με, ἀλλ᾽ ἐμὲ δεῖ τοὺς ἐκείνων λόγους ἐάσαντα, τὰ ἔργα ποιεῖν τοῦ Πατρὸς ταῦτα ἅπερ

1. Ἰω. 9,3.

θαῦμα οὐ δυνάμενοι, ἀπὸ τῆς ἡμέρας διαβάλλειν τὸ γεγονὸς ἐπειρῶντο λέγοντες «οὗτος ὁ ἄνθρωπος οὐκ ἔστι παρὰ Θεοῦ, ὅτι τὸ σάββατον οὐ τηρεῖ»[1], καλῶς προλαβών φησιν «Ἐμὲ δεῖ ἐργάζεσθαι τὰ ἔργα τοῦ πέμψαντός με»[2].

Οἶδα, φησίν, ὅτι μαχήσονται Φαρισαῖοι περὶ τῆς ἡμέρας καὶ ἀσεβῆ καὶ παράνομον ὡς τὸ Σάββατον λύοντα ἀποκαλέσουσιν, ἀλλ' οἱ μὲν ταῦτα καὶ λεγέτωσαν καὶ ποιείτωσαν, ἐμὲ δὲ τά «τοῦ πέμψαντος ἔργα» ποιεῖν προσήκει, ταῦτα διαπραττόμενον ἅπερ ἔργα καθέστηκεν ἐκείνου, ἕως ἂν καὶ τὸν τοῦ ἔργου καιρὸν παρεῖναι συμβαίνει. Ἔσται γὰρ καιρὸς ὁπηνίκα παύσασθαι δεῖ με τῶν ἔργων τούτων. Ὥσπερ γὰρ τοῖς ἀνθρώποις ἡμέρα τε διακρίνεται καὶ νύξ, καὶ τῆς μὲν **339** ἐργασίας ἐπιτήδειον καιρὸν εἶναι νομίζουσι, τῆς δὲ ἀναπαύσεως, καθ' ἣν οὐδὲ ἐργάσασθαί τι δυνατόν, οὕτω κἀμοὶ καιρὸς καὶ τῆς θαυμάτων ἐργασίας μέχρι τοῦ πάθους, ἐν ᾧ τῶν προκειμένων ἔχεσθαι προσήκει πάντα ἐπιτελοῦντα, ἃ σύμφωνα μέν ἐστι τῇ γνώμῃ τοῦ Πατρός· καθέστηκεν ἐκείνου· ἕως δέ ἐστιν ὁ τοῦ ἐργάζεσθαι καιρός, ποιῶ ταῦτα. Ἔσται γὰρ καιρὸς ὁπηνίκα δεῖ με παύσεσθαι τῶν ἔργων τούτων.

Ὁ γὰρ παρὼν καιρὸς εἰς ἔργα ἐπιτήδειος, ὡς καὶ ἡ ἡμέρα.

Ὁ οὖν τῶν θαυμάτων καιρὸς ἕως τοῦ πάθους ἐστίν, οὐ μὴν μετὰ τὸ πάθος.

Διὸ οὐ παύομαι ἕως τότε θαυματουργῶν. Οὐδὲ γὰρ δυνατὸν αὐτοῖς φονεῦσαί με πρὸ τοῦ καιροῦ, καθ' ὃν ἐθελουσίως τὸ πάθος ὑποστὰς ἐκπληρῶ τὸ τῶν θαυμάτων ἔργον.

---

1. Ἰω. 9,16. **2.** Ἰω. 9,4.

γνωρίζει δὲ τὴν ἐμὴν ἀξίαν, ἥτις ἐστι. Μετὰ δὲ τὸ πάθος, ἀνάγκη παύσασθαί με τούτων ἁπάντων, ἀπολιμπάνοντα τὰς ἐπὶ γῆς διατριβάς.

Ἰω. 9,5

«Ὅταν ἐν τῷ κόσμῳ ὦ», φησί, «φῶς εἰμι τοῦ κόσμου»[1], ἀντὶ τοῦ ὥσπερ ὁ ἥλιος τὴν ἡμέραν ἀποτελῶν τοῦ ἔργου τὴν ἀφορμὴν παρέχει τοῖς ἀνθρώποις, οὕτω καὶ αὐτὸς μέχρι κατὰ τόνδε τὸν βίον εἰμὶ ὥσπερ ἡμέραν ἀποτελῶν, διὰ τῆς οἰκείας παρουσίας τὰς προσηκούσας θεραπείας ἐπιτελῶ.

Ὥσπερ ὁ ἥλιος φαίνων ἐν τῇ ἡμέρᾳ τοῦ ἔργου παρέχει ἀφορμὴν τοῖς ἀνθρώποις, οὕτω κἀγὼ ἐπιτήδειον καιρὸν τῇ ἐργασίᾳ τῶν θαυμάτων ποιοῦμαι τὴν ἐμὴν παρουσίαν.

Ταῦτα πρὸ τοῦ θαύματος εἰρηκώς, καὶ δείξας ὅτι τε ἀγανακτοῦντας εἰδὼς οὐκ ἀφίσταται τῶν θαυμάτων, καὶ ὅτι δοκοῦντα καὶ τῷ Πατρὶ γίνεται τὰ γινόμενα, καὶ ὅτι μηδὲν ὄφελος ἐκείνοις ἐκ τοῦ διώκειν αὐτὸν γίνε**340**ται, οὔτε παθεῖν τι πρὸ τοῦ δέοντος καιροῦ δυναμένου, οὔτε ἄχρι τῆς προθεσμίας ἐκείνης ἀποστησόμενος τῆς τῶν θαυμάτων ἐργασίας, ἐπ' αὐτὴν ὁρμᾷ λοιπὸν τοῦ θαύματος τὴν ἐργασίαν.

Ἰω. 9,6-7

Ποιεῖ τὸν πηλὸν καὶ ἐπιχρίει[2], οὐ παραχρῆμα δὲ αὐτὸν καὶ ἐθεράπευσεν, ἀλλὰ πέμπει εἰς τὸν Σιλωὰμ νιψόμενον[3], ἵνα ἐκεῖ ἰαθῇ. Διὰ δὲ τοῦτο τῷ πηλῷ κέχρηται ὡς διὰ τῆς πλάσεως τῆς πρώτης·

---

1. Ἰω. 9,5. **2.** Ἰω. 9,6. **3.** Ἰω. 9,7.

μὴ λαβόντος τοῦτο δι' οὗ πᾶσα ἡ φύσις ἐξ ἀρχῆς συνέστη τῶν ἀνθρώπων, τοῦτο δὲ ἐνέφαινεν ὅτι αὐτὸς ἦν ὁ τῶν ἀνθρώπων Δημιουργός.

Ἰω. 9,7

Τὸ δὲ μὴ παρόντα θεραπεῦσαι, κελεῦσαι δὲ ἀπελθόντα νίψασθαι, καὶ νιψαμένῳ τὴν θεραπείαν παρασχεῖν, οἰκονομοῦντος ἦν τὸ μηδένα λαθεῖν τὸ γινόμενον θαῦμα. Ὥσπερ γὰρ τῷ παραλύτῳ[1] τὸν κράβαττον λαβεῖν ἐκέλευσεν ἐν ἡμέρᾳ καθ' ἣν οὐκ ἐξῆν τοῦτο ποιεῖν, ἵν' οὕτως ἕκαστος ἐγκαλῶν ἐπὶ τῇ παρονομίᾳ τοῦ γεγονότος θαύματος μανθάνῃ τὸ μέγεθος, οὕτω καὶ τούτῳ πόῤῥωθεν ὄντι τῆς κολυμβήθρας ἐκέλευσεν ἀπελθόντι νίψασθαι.

Ἀπὼν δὲ θεραπεύει αὐτόν, οἰκονομῶν διὰ τούτου ὥστε μηδένα λαθεῖν τὸ γινόμενον θαῦμα, ὅπερ ἐποίησε. Καὶ ἐπὶ τοῦ παραλύτου κελεύσας αὐτὸν ἆραι τὸν κράβαττον καὶ ἀπελθεῖν, αὐτὸς οὖν ἀπελθὼν ἐνίψατο καὶ ἰάθη.

Ἰω. 9,8-9

Ἐκεῖνος μὲν οὖν ἀπελθὼν καὶ νιψάμενος ἔτυχε τῆς χάριτος. Οἱ δὲ γείτονες καὶ ὅσοι ᾔδεσαν αὐτὸν προσαιτοῦντα οὐ πάντες τὴν αὐτὴν εἶχον περὶ αὐτοῦ γνώμην· οἱ μὲν γὰρ αὐτὸν ἔλεγον τόν ποτε τυφλόν[2], οἱ δὲ διὰ τὸ γεγονὸς θαῦμα, οὐκ αὐτόν, ἀλλ' **341** ὅμοιον αὐτῷ ἕτερον ἔλεγον εἶναι. Ὅμως ἐκεῖνος αὐτὸς ἔλεγεν εἶναι, οὐ τῆς χρείας ἀπαιτούσης, ἀλλὰ σπουδάζων πᾶσι τὸ θαῦμα ποιῆσαι κατάδηλον[3].

1. Πρβλ. Μάρχ. 2,9,11,12. Ἰω. 5,8,9,11. **2.** Πρβλ. Ἰω. 9,8. **3.** Πρβλ. Ἰω. 9,11.

Ἰω. 9,11

Οἱ γὰρ τὸ πρὶν αὐτὸν εἰδότες ἐγνώριζον μὲν τοῦ προσώπου τὸν χαρακτῆρα, τοὺς δὲ ὀφθαλμοὺς ἀνεῳγμένους ὁρῶντες οὐκέτι ταῖς ἰδίαις ἐπίστευον καταλήψεσιν, ὅθεν οὐκ ἐκεῖνον ἀλλ' ὅμοιον[1] αὐτῷ ὑπελάμβανον εἶναι. Τούτων δὲ καὶ ἐπὶ τῇ μεταβολῇ τοῦ πράγματος ἐνδοιαζόντων «ἐκεῖνος ἔλεγεν ὅτι ἐγώ εἰμι»[2]. Τοιγαροῦν ἐκ τῆς ἐκείνου ὁμολογίας οἱ τὸ πρὶν αὐτὸν εἰδότες τὸ ἀμφίβολον ἀποθέμενοι, ἐπυνθάνοντο πῶς ἀνεῴχθησαν αὐτοῦ οἱ ὀφθαλμοί· τὸ γὰρ παράδοξον τοῦ γεγενημένου καὶ εἰς ἀπιστίαν αὐτοὺς ἦγεν.

Ἰω. 9,12

Ἠρώτων, «Ποῦ ‹ἐστιν ἐκεῖνος›»[3]. Ὁ δὲ ἀπεκρίνατο μὴ εἰδέναι, ἐπειδὴ οὔτε ἦν θεασάμενος αὐτόν· τότε τυφλὸς γὰρ ἦν.

Ἰω. 9,15

«Ἠρώτων καὶ οἱ Φαρισαῖοι» τό «πῶς ἀνέβληψεν»[4]. Ὁ δὲ ὡς εἰδόσι τὸν θεραπεύσαντα τὸν τρόπον διηγεῖται μόνον.

Ἰω. 9,16

Ἀπὸ ταύτης τῆς ἀποκρίσεως σχίζονται οἱ Φαρισαῖοι, τῶν μὲν οὐκ εἶναι «παρὰ Θεοῦ» τοῦτον λεγόντων διὰ τὸ Σάββατον μὴ τηρεῖν, τῶν δὲ οὐκ ἐγχωρεῖν φασκόντων ἄνθρωπον ἁμαρτωλὸν τοιαῦτα δύνασθαι ποιεῖν[5].

Ἰω. 9,17

342 [756] Ὅμως ἀπὸ τῆς εἰς ἀλλήλους φιλονεικίας ἐπὶ τὸν τυφλὸν πάλιν μεθίστανται,

Ἀπό τῆς πρὸς ἀλλήλους φιλονεικίας ἐπὶ τὸν τυφλὸν πάλιν ἔρχονται, δικαστὴν ὥσπερ αὐ-

1. Πρβλ. Ἰω. 9,9. **2.** Ἰω. 9,9. **3.** Ἰω. 9,12. **4.** Ἰω. 9,15. **5.** Πρβλ. Ἰω. 9,16.

ὥσπερ δικαστὴν αὐτὸν τῆς οἰκείας αἱρούμενοι διαφορᾶς, καί φασι πρὸς αὐτόν· «Σὺ τί λέγεις περί αὐτοῦ, ὅτι ἤνοιξέ σου τοὺς ὀφθαλμούς;»[1]. Κατὰ ἐρώτησιν δὲ ἐπαναγνωστέον, ἐπισυνάψαντας τό «Σὺ τί λέγεις περὶ αὐτοῦ καὶ ὅτι ἤνοιξέ σου τοὺς ὀφθαλμούς;», οὐ μὴν διελόντας αὐτό. Οὐ γὰρ τοῦτο τὸν τυφλὸν ἠρώτων, εἰ τοὺς ὀφθαλμοὺς αὐτοῦ ἤνοιξε (περιττὸν γὰρ ἦν τοῦτο βλέποντας ἐρωτᾶν), ἀλλά «τί περὶ αὐτοῦ λέγεις» ὑπὲρ ὧν ἤνοιξέ σου τοὺς ὀφθαλμούς; ὅτι θαυμαστὸς διὰ τὸ γεγενημένον, ἢ παράνομος διὰ τὴν τοῦ Σαββάτου λύσιν; Ὅθεν καταλλήλως ὁ τυφλὸς ἀπεκρίνατο, «ὅτι προφήτης ἐστίν»[2], ἀντί τοῦ ταύτην ἔχω περὶ αὐτοῦ τὴν δόξαν· τοῦτο γὰρ ὑπὸ τοῦ γεγονότος περὶ αὐτοῦ λέγειν προάγομαι.

τὸν τῆς οἰκείας ἀμφιβολίας ποιούμενοι.

Ἐρωτῶσι δὲ τὸν τυφλὸν ὡσανεί διερωτῶντες, ποίαν ἔχει αὐτὸς περὶ αὐτοῦ γνώμην, ἀντὶ τοῦ ἐπειδὴ ἤνοιξέ σου τοὺς ὀφθαλμούς, καὶ οὐδεὶς ἀμφιβάλλει περὶ τούτου, ἔστι δὲ ἀμφιβολία εἰ ἁμαρτωλός ἐστιν ὡς λύων τὸ Σάββατον ἢ ἄλλως θαυμαστόν, τί σὺ λέγεις περὶ αὐτοῦ » διὰ τὸ ἀνοῖξαί σου τοὺς ὀφθαλμούς; Ὁ οὖν τυφλὸς ἁρμοδίως ἀνταπεκρίνατο λέγων· Ἐγὼ ταύτην ἔχω περὶ αὐτοῦ τὴν δόξαν «ὅτι προφήτης ἐστί».

Ἰω. 9,18-19

Πανταχόθεν ἀτονήσαντες οἱ Φαρισαῖοι ἔρχονται εἰς ἀμφιβολίαν τοῦ ὅλως ζητῆσαι «εἰ τυφλὸς ἐγεννήθη», ὡς ἐλθεῖν εἰς τὸ καλέσαι τοὺς αὐτοῦ γονεῖς, οὓς καλέσαντες ἠρώτων εἰ οὗτος ὁ τυφλὸς ὁ παρ' αὐτῶν γεννηθείς. Εἶτα καὶ προστιθέασι τῇ ἐρωτήσει λέγοντες «πῶς οὖν ἄρτι βλέπει;»[3], οἰηθέντες ὅτι οὐ δυνηθέντες

1. Ἰω. 9,17. 2. Ἔνθ' ἀν. 3. Ἰω. 9,19.

εἰπεῖν τῆς θεραπείας τὸν τρόπον[1], διὰ ἀπορίαν ἀρνήσονται τὸ καὶ αὐτὸν εἶναι τὸν ἴδιον υἱόν.

Ἰω. 9,21

343 Μετὰ πολλῆς τῆς συνέσεως ἀπεκρίναντο αὐτὸν εἶναι τὸν αὐτῶν υἱόν, οὐκ ἀρνησάμενοι καὶ τὸ τυφλὸν αὐτὸν γεγεννῆσθαι παρ' αὐτῶν· ἀγνοεῖν δὲ τὸν τρόπον τῆς θεραπείας εἰπόντες ἢ τὸν θεραπεύσαντα αὐτόν, ἐρωτᾶσθαι ἔλεγον τὸν τελείαν ἔχοντα τὴν ἡλικίαν[2] καὶ τὰ εἰκότα δυνάμενον περὶ ἑαυτοῦ ἀποκρίνασθαι.

Ἰω. 9,22

Φαίνονται οὖν μηδὲ τοῦτο ἠγνοηκέναι οἱ γονεῖς τίς ὁ θεραπεύσας καὶ ποῖος ὁ τῆς θεραπείας τρόπος, φόβῳ δὲ τοῦτο ἀναβαλλόμενοι ἵνα μὴ εἴπωσί τι τῶν ἀπαρεσκόντων τοῖς Ἰουδαίοις.

Ἰω. 9,22-23

Τὰ δύο τὰ συνεκτικὰ καὶ ἐλέγχοντα τὴν τῶν ἀγνωμόνων ἀπιστίαν φασίν, ὅτι υἱὸς αὐτῶν ἦν καὶ ὅτι τυφλὸς ἐτέχθη, τὸ δὲ πῶς ἀνέβλεψεν ἐκείνοις κατελίμπανον σκοπεῖν, ἵνα ἐπὶ πολὺ ζητοῦντες ὑπ' αὐτῆς τῆς ἀληθείας καταισχυνθῶσι. Φόβῳ μὲν γὰρ τῷ πρὸς τοὺς ἄρχοντας ἀγνοεῖν προσεποιοῦντο τὸν ἰατρόν· ᾔδεσαν γὰρ ὅτι ἀποσυναγώγους[3] ἦσαν συνθέμενοι ποιεῖν τοὺς ὁμολογοῦντας αὐτὸν Χριστόν. Διὸ ἐπ' ἐκεῖνον πάλιν τὴν ἐρώτησιν ἔτρεψαν τόν ποτε τυφλόν[4].

Ἰω. 9,24

Ἐπειδὴ ἀρνεῖσθαι τὸ γεγονὸς οὐκ ἠδύναντο, φασὶν ὅτι τῷ Θεῷ τοῦ γεγονότος λόγισαι τὴν χάριν, τοῦτον δὲ ἀσεβῆ νόμιζε· ἡμεῖς γὰρ τοιοῦτον ἴσμεν τὸν ἄνδρα[5].

---

1. Πρβλ. Ἰω. 9,20. **2.** Πρβλ. Ἰω. 9,21. **3.** Πρβλ. Ἰω. 9,22. **4.** Πρβλ. Ἰω. 9,23. **5.** Πρβλ. Ἰω. 9,24.

Ἰω. 9,25-27


344 Εἰ μὲν τοῦτό ἐστιν ὃ ὑμεῖς φατέ, οὐκ ἐπίσταμαι· οὐ γὰρ οἶδα αὐτὸν ὄντα ἁμαρτωλόν. Ὅτι δὲ τυφλὸς ὢν παρ' ἐλπίδα τὸ βλέπειν ἐκομισάμην, τοῦτο ἐπίσταμαι. Ὅπερ εἰ τοῖς ἁμαρτωλοῖς ποιεῖν δυνατόν, ὑμέτερον κρίνειν, τῶν καὶ τοῦτο ἀποφηναμένων, — σφόδρα ἐμφατικῶς τὴν ἀπόκρισιν ποιησάμενος, καὶ κολάσας μὲν τὸν λόγον ὥστε μὴ δοκεῖν ἐκ τοῦ προφανοῦς μάχεσθαι τοῖς ἐρωτήσασι, κατὰ ἀποσιώπησιν δὲ ὅτι μὴ δυνατὸν ἁμαρτωλὸν αὐτὸν εἶναι τοιαῦτα ποιεῖν ἐνδειξάμενος.

[756] Ἐκεῖνοι μὲν οὖν πάλιν ἠρώτων· «πῶς ἀνέωξέ σου τοὺς ὀφθαλμούς;»[1]. Ὁ δὲ λοιπὸν παῤῥησιαστικώτερον τῷ πρὸς αὐτοὺς ἐλέγχῳ κεχρημένος, ὁμοῦ μὲν ὡς πρὸς τὴν ἀλήθειαν μαχομένους ἐλέγχει, ὁμοῦ δὲ καὶ μετὰ εἰρωνείας ἐχλεύασε. Τὸ μὲν πρῶτον ἐλέγχοντος ἦν. Τί γάρ φησιν; «Εἶπον ὑμῖν ἤδη καὶ οὐκ ἠκούσατε· τί πάλιν θέλετε ἀκούειν;»[2]. Τὸ δέ «μὴ καὶ ὑμεῖς θέλετε μαθηταὶ αὐτοῦ γενέσθαι;»[3], εἰρωνευομένου καὶ χλευάζοντος.

Εἶτα ὁ τυφλός φησιν, ὅτι οὔτε εἰπεῖν ὅπερ οὐκ οἶδα ἀνέχομαι (οὐ γὰρ οἶδα αὐτὸν ἁμαρτωλόν), οὔτε σιωπῆσαι ὅπερ ἐπίσταμαι, ὅτι τυφλὸν ὄντα με ἐποίησε βλέπειν· εἰ δὲ τοιαῦτα δύνανται ἁμαρτωλοὶ ποιεῖν, ὑμεῖς κρίνατε οἱ τοῦτο ἀποφηνάμενοι. Ἐμφαντικὴ γάρ ἐστιν ἡ ἀπόφασις, μὴ δοκοῦσα ἐκ τοῦ προφανοῦς μάχεσθαι, κατὰ δέ τὸ σιωπώμενον δεικνύουσα ὅτι οὐ δυνατὸν ἁμαρτωλὸν τοιαῦτα σημεῖα ποιεῖν.

Ἐκείνων ἐρωτησάντων τὰ αὐτὰ παῤῥησιαστικώτερόν φησιν, ἐλέγχων αὐτοὺς πρὸς τὴν ἀλήθειαν μαχομένους, ὁμοῦ δὲ αὐτοὺς καὶ σὺν εἰρωνείᾳ χλευάζων. Τὸ γὰρ εἰπεῖν «Εἶπον ὑμῖν καί οὐκ ἠκούσατε», ἐλέγχοντος ἦν τὴν ἀλήθειαν οὐ προσδεχομένους, τὸ δὲ εἰπεῖν «μὴ καὶ ὑμεῖς θέλετε μαθηταὶ αὐτοῦ γενέσθαι», χλευάζοντος ἦν.

1. Ἰω. 9,26. 2. Ἰω. 9,27. 3. Ἔνθ' ἀν.



Ἰω. 9,28-29

345 Οἱ Φαρισαῖοι οὐκέτι ἀνεχόμενοι τῶν αὐτοῦ λόγων, ὡς ὑβρίζοντες ἐκεῖνον μὲν μαθητὴν ὠνόμαζον τοῦ Κυρίου[1], ἑαυτοὺς δὲ Μωυσέως.[2] Καίτοι γε οὐδὲ τὸν Μωσῆν ᾔδεσαν, οὐδὲ παρῆσαν τοῦ Θεοῦ πρὸς Μωσέα διαλεγομένου.

Ἰω. 9,30

Διὰ τοῦτο πλείω ὀφείλει θαυμάζεσθαι ὡς ὑπερβαῖνον τὴν ἀνθρωπίνην κατάληψιν πανταχοῦ. Ὑμεῖς μὲν γὰρ ὅθεν ἐστὶν ἀγνοεῖτε, τὸ δὲ γεγενημένον περὶ ἐμὲ θαῦμα[3] σαφῆ τῆς δυνάμεως αὐτοῦ τὴν ἀπόδειξιν παρέχεται.

Ἰω. 9,31-33

Ὅτι οὐ δυνατὸν τὸν τοιοῦτον ἁμαρτωλὸν καλεῖν, ἐκ τῶν πραγμάτων εὔδηλον· οὐ γὰρ ἁμαρτωλῶν τὰς ἱκεσίας προσίεται Θεός, ἀλλὰ τῶν σφόδρα τῆς ἀρετῆς ἐπιμελουμένων, ὅταν κατὰ πᾶσαν ἀκρίβειαν τῷ θείῳ βουλήματι κατακολουθῶσιν[4]. Τὸ νῦν γεγενημένον οὐ τοῦ τυχόντος ἐστίν, οὐδὲ διὰ τὴν τυχοῦσαν ἀρετὴν ἀκουομένου παρὰ τοῦ Θεοῦ· τυφλὸν γάρ με γεγενημένον ἐθεράπευσεν[5], ὅπερ οὐ γέγονεν ἕως τῆς σήμερον, οὐδὲ ὑπ' αὐτοῦ Μωσέως, ὃν θαυμάζετε. Οὐκοῦν δῆλον ὅτι οὐκ ἠδύνατο ταῦτα ποιεῖν, εἰ μὴ πάντα κατὰ γνώμην Θεοῦ ἐποίει[6].

Ἰω. 9,34

Μὴ φέροντες οἱ Φαρισαῖοι τοὺς συλλογιστικοὺς ἐλέγχους εἰς ὕβριν ἐτράποντο καὶ ἐξέβαλον αὐτὸν ἔξω[7].

Ἰω. 9,35-36

Ἠβουλήθη ὁ Χριστὸς ὡς ἀξίῳ δειχθέντι διὰ τῆς πρὸς τοὺς Ἰουδαίους διαλέξεως καὶ τὸ τέλειον προσθεῖναι τῆς γνώσεως. Ὁ

---

1. Πρβλ. Ἰω. 9,28. **2.** Πρβλ. Ἰω. 9,29. **3.** Πρβλ. Ἰω. 9,30. **4.** Πρβλ. Ἰω. 9,31. **5.** Πρβλ. Ἰω. 9,32. **6.** Πρβλ. Ἰω. 9,33. **7.** Πρβλ. Ἰω. 9,34.

δὲ ἀπὸ τῆς φωνῆς αὐτὸν ἐπεγνωκώς,[1] εἰ καὶ μὴ εἶδεν αὐτὸν τοῖς ὀφθαλμοῖς, πρότερόν φησι τίς ἐστι· τῷ γὰρ χαρισάμενῳ αὐτῷ τὸ βλέπειν παρ' ἐλπίδας εἰκότως ἐπίστευσεν ὅτι δύναται αὐτῷ δεῖξαι καὶ τὸν Υἱὸν τοῦ Θεοῦ[2].

'Ιω. 9,37-38

346 Ἔνθα τῇ Σαμαρείτιδι διελέγετο, εἶπεν αὐτῇ «Ἐγώ εἰμι ὁ λαλῶν σοι»[3], ἐπείπερ μόνος πρὸς μόνην αὐτὴν διελέγετο· ἐνταῦθα δέ, ἐπειδὴ καὶ πλῆθος ἦν ἀπιστούντων, μετὰ πλαγιασμοῦ τινος ἑαυτὸν ἐδήλωσεν ὄντα.

Ἅμα οὖν εἶπεν καὶ προσεκύνησεν, ἔργῳ τῆς ψυχῆς τὴν πίστιν δεικνύς.

'Ιω. 9,39

Τὸ ἀλλαχοῦ εἰρημένον ὅτι «οὐκ ἀπέστειλεν ὁ Θεὸς τὸν υἱὸν αὐτοῦ ἵνα κρίνῃ τὸν κόσμον, ἀλλ' ἵνα σώσῃ»[4], οὐκ ἔστιν ἐναντίον τῷ ὧδε. Ἐκεῖ μὲν γὰρ τὸν σκοπὸν τῆς παρουσίας φησί, τό «πάντας θέλει σωθῆναι»[5], ἐνταῦθα δὲ τὴν ἔκβασιν λέγει. Εἰ γὰρ καὶ αὐτὸς ἦλθεν ἐπὶ τό «πάντας σωθῆναι», ἀλλ' ἀνάγκη κατακρίνεσθαι τοὺς ἀπὸ τῆς οἰκείας προαιρέσεως ἀπιστήσαντας. Καὶ νῦν τὸ ἀπὸ τῶν πραγμάτων ἐκβὰν λέγει, ὅτι, ὡς ἔοικεν, εἰς διάκρισιν ἦλθον τῶν ἀνθρώπων, ἵνα φανῶσιν ἀληθῶς οἱ βλέποντες καὶ οἱ τυφλοί[6]. Ὁ μὲν γὰρ τυφλὸς ἑκατέρωθεν ἐδέξατο τὸ βλέπειν καὶ πίστει καὶ ἔργῳ φωτισθείς· οἱ δὲ νομιζόμενοι βλέπειν, οὐ μόνον τοῖς τῆς σαρκὸς ὀφθαλμοῖς, ἀλλὰ καὶ τῷ τὸν νόμον ἐξηγεῖσθαι πανταχοῦ, ἐφάνησαν τυφλοί, οὔτε τὴν ἀλήθειαν δεχόμενοι καὶ ἀπιστοῦντες ἅπερ αὐτοῖς εἶδον ὀφθαλμοῖς.

---

1. Πρβλ. 'Ιω. 9,35. **2.** Πρβλ. 'Ιω. 9,36. **3.** 'Ιω. 4,26. **4.** 'Ιω. 3,17. **5.** Α' Τιμ. 2,4. **6.** Πρβλ. 'Ιω. 9,39.

Ἰω. 9,40-41

[756] Ὥσπερ ἀνωτέρω, τοῦ Κυρίου περὶ ἐλευθερίας αὐτοῖς διαλεγομένου τῆς ἀπὸ τῶν ἁμαρτημάτων, ἐκεῖνοι ἔφασκον «σπέρμα Ἀβραάμ ἐσμεν, καὶ οὐδενὶ δεδουλεύκαμεν πώποτε»[1], περὶ σωματικῆς διαλεγόμενοι δουλείας, οὕτω κἀνταῦθα **347** πήρωσιν αὐτοῖς τοῦ Κυρίου τὴν κατὰ ψυχὴν ὀνειδίζοντος, ἐκεῖνοι περὶ τῶν τοῦ σώματος ὀφθαλμῶν ὡς **[757]** βλεπόντων διελέγοντο[2]. Διόπερ ὁ Κύριος ἀπὸ τούτου τὴν ἁμαρτίαν αὐτοῖς ἐπιτείνας, ἐφ' ᾧπερ ἐκεῖνοι καυχᾶσθαι ἐδόκουν, Τί γάρ, φησί, φατὲ ὅτι βλέπετε; Κρεῖττον ἦν ὑμᾶς πηροὺς εἶναι τὰς ὄψεις· ἐγένετο γὰρ ἄν τις ὑμῖν ἐντεῦθεν ἀπιστοῦσι συγγνώμη. Νυνὶ δέ, ἐπειδήπερ ὁρᾶν δοκεῖτε, καὶ αὐταῖς ὄψεσι τόν ποτε τυφλὸν νῦν βλέποντα θεασάμενοι ἀπιστεῖτε τοῖς γεγονόσι, οὐδεμίαν ἔχειν ἀπολογίαν δυνάμενοι, ὡμολογημένην δέχεσθε τῆς ἀπιστίας τὴν κατάκρισιν[3].

Πήρωσιν αὐτοῖς τοῦ Κυρίου τὴν κατὰ ψυχὴν ὀνειδίζοντος, σαρκικῶς πάντα ἐκλαμβάνοντες οἱ Ἰουδαῖοι περὶ τῶν τοῦ σώματος ὀφθαλμῶν, ὡς βλεπόντων, διελέγοντο. Διὸ ὁ Κύριός φησιν ἀφ' ὧν ἐκεῖνοι ἐδόκουν καυχᾶσθαι, ἀπὸ τούτου τὴν ἁμαρτίαν αὐτοῖς ἐπιτείνει. Κρεῖττον ἦν, φησί, πηροὺς εἶναι ὑμᾶς· ἐγένετο γάρ τις ὑμῖν ἐντεῦθεν ἀπιστοῦσι συγγνώμη. Νῦν δέ, ἐπείπερ ὁρᾶν δοκεῖτε καὶ ὁρῶντες τόν ποτε τυφλὸν βλέποντα ἀπιστεῖτε, οὐδεμίαν ἀπολογίαν ἔχετε τῆς ἀπιστίας, ἀλλ' ὁμολογουμένην δέχεσθε τὴν κατάκρισιν.

1. Ἰω. 8,33. **2.** Πρβλ. Ἰω. 9,40. **3.** Πρβλ. Ἰω. 9,41.

Ἰω. 10,1-5

Ὡς ἐπὶ τῆς μάνδρας τῶν προβάτων ὁ κλέπτης ἐκεῖθεν ἔρχεται ὅθεν δυνατὸν αὐτῷ λαθεῖν κλέψαι βουλομένῳ[1], — ὁ δὲ ποιμὴν ἐξουσίαν ἔχων τῇ νομίμῳ κέχρηται εἰσόδῳ[2], καὶ ἐξάγει εἰς νομὴν τὰ πρόβατα, καὶ ἀκολουθεῖ ἐκεῖνα τὸν οἰκεῖον ποιμένα γνωρίζοντα, φεύγει δὲ τοὺς ἀλλοτρίους ὧν τὴν φωνὴν οὐκ ἐπιγινώσκει[3], — οὕτω καὶ ἐπὶ τοῦ παρόντος.

[757] Αὐλὴ μὲν ἡμῖν ὑποκείσθω τῶν προβάτων ἡ νομικὴ διδασκαλία, πρόβατα δὲ οἱ ὑπ' αὐτὴν καθεστῶτες **348** καὶ οἱ κατὰ νόμον ζῆν ἅπαξ ἐπαγγειλάμενοι, θυρωρὸς δὲ τῆς αὐλῆς ταύτης ὁ μακάριος Μωυσῆς, ὁ τὴν αὐλὴν ταύτην διὰ τῆς τῶν νομίμων ἐκθέσεως κατασκευάσας. Ποιμὴν δὲ ἔσται τῶν προβάτων πᾶς ὁ τὸ διδασκαλικὸν ἐκ τῶν πραγμάτων ἐγκεχειρισμένος ἀξίωμα, ὃς τῇ νομίμῳ χρησάμενος εἰσόδῳ, τουτέστιν ὃς κατὰ πᾶσαν ἀκρίβειαν τοῦ νόμου πολιτευσάμενος, καὶ οὕτως κατὰ τὴν αὐλὴν ταύτην κατὰ τὴν πρέπουσαν γεγονὼς ἀκρίβειαν. Τότε καὶ τοὺς λοιποὺς ὥσπερ πρόβατα ἐπὶ νομήν τινα τὴν τῶν κατὰ μέρος ἐξάγει διδασκαλίαν,

Αὐλὴν οὖν νοητέον τὴν νομικὴν διδασκαλίαν, πρόβατα τὰ ὑπ' αὐτὴν καὶ ὑπὸ νόμον, θυρωρὸν Μωσέα τὸν διὰ τῆς νομικῆς διδασκαλίας κατέχειν πειρώμενον ἐν ἀσφαλείᾳ τὰ πρόβατα. Ποιμὴν πᾶς διδάσκαλος ποδηγῶν τοὺς ὑφ' ἑαυτὸν καὶ ἄγων εἰς τὴν πνευματικὴν νομὴν[4] καὶ τῶν ἄλλων προφητικῶν λόγων καὶ διδαχῶν,

ποίων πρώτων, ποίων δὲ δευτέρων δεῖ μετασχεῖν, καὶ πῶς δεῖ νοεῖν τὰς Γραφάς, καὶ ποίας ἑρμηνείας φεύγειν· εἴ γέ τινες νόθοι ἀνα-

---

1. Πρβλ. Ἰω. 10,1. **2.** Πρβλ. Ἰω. 10,2. **3.** Πρβλ. Ἰω. 10,3. **4.** Πρβλ. Ἰω. 10,4.

κύψωσι διδάσκαλοι ἐπὶ τῇ τῶν προβάτων λοίμῃ, οἳ καὶ κλέπται εἰσίν.

Οὐκοῦν εἴπερ οὗτος ποιμήν, κλέπτης ἀκολούθως καὶ λῃστὴς ὁ μὴ τοιοῦτος, ἀλλ' ἁπλῶς ἐπεισπηδήσας τῇ εἰσόδῳ καὶ τῷ ἀξιώματι καὶ τὰ ἐπὶ λύμῃ τῶν προβάτων ἐργασάμενος.

Ἐξεταστέον οὖν, φημί, ἐφ' ὑμῶν τε, εἰ δοκεῖ, καὶ ἐμοῦ, τίς ὁ τῇ νομίμῳ χρησάμενος εἰσόδῳ, τίς ὁ τῆς ἀκριβείας ἐπιμελησάμενος τοῦ νόμου, τίνι Μωυσῆς ὁ θυρωρὸς τοῦ νόμου ἀνοίγει· ἡ γὰρ τῶν νομίμων κατόρθωσις εὑ**349**ρίσκεται παρ' ἐμοὶ μᾶλλον ἢ παρ' ὑμῖν.

Ὑμεῖς γὰρ οὔτε τῶν λυσιτελούντων τοῖς προβάτοις ποιεῖσθέ τινα προμήθειαν, ἀλλὰ πρὸς κέρδος οἰκεῖον βλέπετε μόνον, οὔτε τὸ ἐξωθοῦν ἀπὸ τῆς ἀξίας ὑμῖν προσεῖναι δυνατόν, ὥστε βλάπτεσθαι τοὺς παρ' ὑμῖν ἐξωθουμένους.

Ἐπεὶ οὖν ἐγὼ τῇ νομίμῳ ἐχρησάμην ὁδῷ μετὰ ἀκριβείας ὑπὲρ ὑμᾶς, ἐμοὶ ἀνοίγει Μωσῆς ἐμὲ ἐπαινῶν καὶ ἄξιον ἀποφηνάμενος τοῦ ποιμαίνειν τὰ πρόβατα, οὐχ ὑμᾶς τοὺς μηδεμίαν πρόνοιαν τῆς τῶν προβάτων ποιουμένους σωτηρίας, ἀλλὰ πάντα πρὸς ἴδιον κέρδος πράττοντας[1].

Ἐγὼ καὶ κληθείην ἂν δικαίως ποιμήν, πρότερον μὲν αὐτῆς τοῦ νόμου τῆς φυλακῆς ἐπιμελησάμενος καὶ ταύτῃ χρησάμενος τῇ εἰσόδῳ ἣν ὁ θυρωρὸς ἐπεδείκνυ Μωυσῆς, ἔπειτα δὲ φροντίζων ὥστε ἅπαντα τὰ εἰς τὴν τῶν προβάτων ὠφέλειαν συντείνοντα γίνεσθαι. Διὰ τοῦτο κἂν ἀπωσάμενόν τινα τῆς ἀληθείας πόῤῥω καθέστηκεν, κἂν παρ' ὑμῶν ἐκβληθέντα δῆθεν εἰσδέξωμαι, οὐκ ἔξω τῆς ἀληθείας ἐστὶ παρ' ὑμῶν ἐξωσθείς, ἀλλὰ τῶν νόμων εἴσω τῆς εὐσεβείας ἐστὶν εἰσδεχθεὶς παρ' ἐμοῦ.

---

1. Πρβλ. Ἰω. 10,5.

Ἰω. 10,6

[757] Ταυτὶ μὲν παραβολικώτερον εἰπεῖν ὁ Κύριος ἐδικαίωσεν, ὥστε μὴ δοκεῖν φορτικὸν εἶναι τοιαῦτα μεγαλαυχοῦντα πρὸς αὐτοὺς καὶ λέγοντα φανερῶς ὅτι οὐχ ὑμῖν, ἀλλ' ἐμοὶ πρόσεστι μᾶλλον τὸ διδασκαλικὸν ἀξίωμα[1] ἐκ τῶν πραγμάτων αὐτῶν.

Αἰνιγματικῶς ὁ Κύριος ἐλάλησε ταῦτα, ἵνα μὴ φορτικόν τι ποιήσῃ, λέγων φανερῶς ὅτι, ἐμοὶ καὶ οὐχ ὑμῖν πρόσεστι τὸ διδασκαλικόν.

Ἐντεῦθεν δὲ λοιπὸν περὶ ἑαυτοῦ μόνου διηγούμενος, — οὐ γὰρ οὕτω φορτικὸν περὶ ἑαυτοῦ λέγειν τινὰ καὶ κατὰ παράθεσιν ἑτέρων ὑπερφέροντα ἑαυτὸν δεικνύναι, καὶ μάλιστα ἐκείνων πρὸς οὓς διελέγετο, καὶ πάντα ἀρχὴν τότε δοκούντων τοῦ λαοῦ, — σαφέστερον ἄρχεται λέγειν ὅτι πρόσεστιν αὐτῷ ἡ τοῦ ποιμένος ἀξία.

Ἰω. 10,7-9

350 Θύραν ἑαυτὸν ὠνόμασεν, οὐκ ἐναντία λέγων ἐκείνοις διὰ τῆς θύρας ἑαυτὸν εἰσιέναι φησίν[2]. Ἐπειδὴ γὰρ πρὸς Φαρισαίους διελέγετο κατὰ νόμον ἄρχοντας τοῦ λαοῦ, ὡς ἂν οὐ δικαίως τόν ποτε τυφλὸν ἐκβαλόντας, εἰκότως ἑαυτὸν συγκρίνων αὐτοῖς κατὰ τὴν νομικὴν ἀγωγήν, ὡς ἂν μᾶλλον αὐτὸς τῆς ἀκριβείας ἐπιμελησάμενος τοῦ νόμου, καὶ διὰ τοῦτο κυριώτερον ἄρχοντα τῶν προβάτων ἑαυτὸν διὰ τῆς θύρας εἰσιέ-

Ἄνω ἑαυτὸν διὰ τῆς θύρας εἰσιέναι λέγει, ὡς καὶ αὐτὸς λαχὼν τὸ διδασκαλικὸν καὶ τὴν νομικὴν λατρείαν ἐξακολουθήσας (γέγονε γὰρ καὶ αὐτὸς ὑπὸ νόμον).

Ὧδε δὲ ἑτέρᾳ ἐννοίᾳ θύραν ἑαυτὸν ὀνομάζει, ὡς αὐτὸς πᾶσιν αἴτιος γεγονὼς τῆς εἰς τὴν ἀληθῆ θεογνωσίαν καὶ ἀρετῆς εἰσόδου — τὴν εὐαγγελικὴν δέ φημι διδαχήν, τὴν ἀλλοίαν δοκοῦσαν εἶναι παρὰ τὴν νομικὴν σκιογραφίαν.

---

1. Πρβλ. Ἰω. 10,6. **2.** Πρβλ. Ἰω. 10,7.

ναι ἔφη, ὡς ἂν καὶ αὐτὸς ὑπὸ τὸν νόμον γενόμενος καὶ τῇ νομικῇ χρησάμενος εἰσόδῳ. Ἐνταῦθα δὲ ἑαυτόν φησι τῶν προβάτων εἶναι θύραν, ὡς ἂν αὐτὸς πᾶσα ἀρχὴ τῆς εἰς τὴν ἀλήθειαν εἰσόδου [760] καθιστάμενος.

351 «Δι' ἐμοῦ», φησίν, «εἴ τις εἰσέλθῃ σωθήσεται»[1]. Καὶ γὰρ οἱ προσιόντες ἐμοὶ καὶ τὴν δι' ἐμοῦ προσγινομένην ἀλήθειαν δεχόμενοι, καὶ σωτηρίας ἀπολαύσουσιν ἀληθοῦς καὶ τοῦ ἐνδιαιτᾶσθαι τῇ ἀληθείᾳ πολλὴν ἔχουσι τὴν ἄδειαν, δαψιλοῦς καὶ τῆς νομῆς ἀπολαύοντες τῶν διδαγμάτων.

Ἐπειδὴ ᾔδει ὅτι ὡς ὑβρίζοντες τὸν Χριστὸν οἱ Ἰουδαῖοι ἤμελλον τοῖς ὄχλοις εἰπεῖν ὅτι οὐκ ἐπὶ πολὺ μέλλει τὰ τούτου κατασχεῖν, ὥσπερ οὐδὲ τὰ Θευδᾶ καὶ Ἰούδα, προλαβὼν ὧδε ὁ Κύριός φησιν ἐκείνους κλέπτας[2]. Διό, φησίν, οὐδὲ ἤκουσαν αὐτῶν οἱ ἀκριβεῖς καὶ τῆς ἀληθείας ἐπιμελόμενοι· οὐ γὰρ πάντας ὧδε καθολικῶς καλεῖ πρόβατα, ἀλλὰ τοὺς μὴ ἀπατηθέντας. Οὐχ ὅμοιος ἐγὼ τοῖς προειρημένοις. Οἱ γὰρ προσιόντες ἐμοὶ καὶ τὰ παρ' ἐμοῦ δεχόμενοι σωτηρίας ἀπολαύουσιν ἀληθινῆς καὶ ἀδεῶς ἐν ταύτῃ καὶ δαψιλῶς ἀπολαύουσι τῆς νομῆς τῶν θείων διδαγμάτων· τοῦτο γὰρ δηλοῖ τὰ εἰρημένα.

Ἰω. 10,10

Ἐκ τούτου τὰς ἀποδείξεις ποιεῖται τοῦ κλέπτου καὶ ἑαυτοῦ. Ἐξ ὧν ἐκεῖνος μόνον θῦσαι καὶ ἀπολέσαι θέλει γαστριμαργίας ἕνεκεν, ἐγὼ δὲ οὐ μόνον τούτων ἀπέχω, ἀλλὰ καὶ τοῖς πειθομένοις ζωὴν προξενῶ, καὶ ζωὴν οὐ τὴν τυχοῦσαν,

καὶ τῆς διηνεκοῦς ζωῆς· τοῦτο γὰρ λέγει ἵνα περισσότερον ἔχωσι[3], τὴν ἀνάστασιν αἰνιττόμενος.

ἀλλὰ διηνεκῆ· τοῦτο γάρ ἐστι τὸ περισσότερον[4], τὴν ἀνάστασιν αἰνιττόμενος.

---

1. Ἰω. 10,9. **2.** Πρβλ. Ἰω. 10,8. **3.** Πρβλ. Ἰω. 10,10. **4.** Ἔνθ' ἄν.

'Ιω. 10,11

'Εξ ὧν οὖν ἐγὼ πάντων γίνομαι πρόξενος τῶν ἀγαθῶν τοῖς προβάτοις, οἱ δὲ κλέπται ἀπωλείας, δῆλον ὅτι «ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός»[1]. Οὕτω δέ «καλός εἰμι ποιμήν», ἐξ αὐτῶν δείκνυμι τῶν πραγμάτων· αἱροῦμαι γὰρ κινδυνεῦσαι ὑπὲρ τῶν προβάτων καὶ τὸν ὑπὲρ τῆς ἁπάντων σωτηρίας ἀναδέξασθαι θάνατον.

'Ιω. 10,12-13

Δείξας δὲ ὅτι κλέπτης ἢ ληστὴς κατ' ἐκείνους οὐκ ἔστι, βούλεται δεῖξαι λοιπόν ὅτι μηδὲ ποιμὴν μισθωτός ἐστιν[2], ὡς οἱ παρά τινων εἰς τὸ ποιμαίνειν λαμβανόμενοι, ἀλλ' ὡς Δεσπότης καὶ ἴδια ποιμαίνων. Τοῦτο **352** δὲ καὶ κατὰ παράθεσιν τῶν τε Φαρισαίων καὶ τῶν Γραμματέων δείκνυσι καὶ ὅλως τῶν κατὰ νόμον ἄρχειν δοκούντων, — οἳ κλέπται μὲν καὶ λησταὶ χρηματίζειν οὐκ ἠδύναντο, ἀκολούθως τινὶ δοκοῦντες τὴν ἀρχὴν ἐγχειρίζεσθαι τοῦ λαοῦ, — ὡς δεσπόται δὲ οὐκ ἐποίμαινον, ἀλλ' ὡς μισθωτοὶ παρὰ τοῦ Δεσπότου πρὸς καιρὸν ληφθέντες· ὥστε τοίνυν δεῖξαι ὅτι μηδὲ κατ' αὐτοὺς ποιμήν ἐστι τῶν προβάτων, φησὶν ὅτι ὁ μὲν μισθωτός, οὗ οὐκ εἰσὶ τὰ πρόβατα ἴδια, ἂν ἴδῃ «τόν λύκον ἐρχόμενον»[3], τῶν προβάτων ἀμελήσας

Δείκνυσι λοιπὸν ὅτι αὐτός ἐστιν ὁ ποιμὴν καὶ οὐ μισθωτός[4], ἀλλ' ἴδια ποιμαίνων. Τοῦτο δὲ κατὰ παράθεσιν τῶν Γραμματέων φησὶ καὶ Φαρισαίων, οἳ ἐδόκουν μὲν μὴ εἶναι κλέπται διὰ τὸ ἀκολούθως ἐγκεχειρῆσθαι τὴν ἡγεμονίαν τοῦ λαοῦ, ὅμως οὐχ ὡς δεσπόται, ἀλλὰ μισθωτοὶ παρὰ τοῦ Δεσπότου πρὸς καιρὸν ληφθέντες. Δείκνυσιν οὖν ὅτι αὐτὸς οὐχ ὡς μισθωτὸς ποιμαίνει· ὁ γὰρ μισθωτὸς τῆς οἰκείας μόνης σωτηρίας φροντίζει, ὑπὲρ δὲ ἀλλοτρίων κινδυνεύειν οὐκ ἀνέχεται.

1. 'Ιω. 10,11. **2.** Πρβλ. 'Ιω. 10,12. **3.** 'Ιω. 10,12. **4.** Πρβλ. 'Ιω. 10,12.

μόνης τῆς οἰκείας φροντίζει σωτηρίας· μισθωτὸς γὰρ ὢν ὑπὲρ ἀλλοτρίων κινδυνεύειν οὐκ ἀνέχεται.

Ἰω. 10,14-15

Διάφορος ὁ τῆς γνώσεως τρόπος. Ἐγὼ μὲν γὰρ ᾠκειωσάμην αὐτοὺς ὡς ἴδια κτήματα, κατὰ τὸ εἰρημένον «ἔγνω Κύριος τοὺς ὄντας αὐτοῦ»[1], διὰ τὴν ἐκ προαιρέσεως ἀρετὴν προνοούμενος αὐτῶν, οὗτοι δὲ ὡς ἴδιον ἐπιγινώσκουσι Δεσπότην. Εἶτά φησι, «καθὼς γινώσκει με ὁ Πατὴρ κἀγὼ γινώσκω τὸν Πατέρα»[2], ἀντὶ τοῦ οἶδα τὸ ταὐτὸν τῆς φύσεως καὶ τῆς οὐσίας τοῦ Πατρὸς ὡς ὁμοούσιος αὐτῷ, κἀκεῖνός με οἶδε· πλὴν οὐχ ὅμοιός εἰμι οὔτε τοῖς προλαβοῦσι διδασκάλοις οὔτε τοῖς νῦν· διὸ καὶ τὸν ὑπὲρ τῶν προβάτων κίνδυνον αἱροῦμαι.

Ἰω. 10,16

Προαγορεύει πρᾶγμα τὸ τότε μὲν ἄδηλον, μετ' οὐ πολὺ δὲ συμβάν, τοὺς ἀπὸ τῶν ἐθνῶν πιστοὺς συναπτομένους τοῖς ἐξ Ἰσραήλ, καὶ εἰς μίαν Ἐκκλησίαν συντελοῦντας καὶ ἕνα ποιμένα τὸν Χριστὸν ἡγούμενοι[3].

Ἰω. 10,17

353 Δείκνυσιν ὅτι οὔτε ὁ θάνατος ἴσος ἔσται αὐτῷ πᾶσιν ἀνθρώποις, καθὸ ὁ μὲν ὅτε ἤθελεν ἀπέθνησκεν, πλὴν ὅτι καὶ μετ' οὐ πολὺ ἔμελλεν ἀναβιῶναι· δείκνυσι δὲ καὶ τίμιον αὐτὸν ὄντα καὶ σεμνὸν τὸν θάνατον, ὡς καὶ αὐτῷ ἀρέσκειν τῷ Πατρί. Καὶ τοῦτο σημαίνει τό «ὁ πατήρ με ἀγαπᾷ» καί «διὰ τοῦτό με» δεῖ ἀγαπᾶν «ὅτι τίθημι τὴν ψυχήν μου»[4] καὶ πάλιν ἀνίσταμαι.

---

1. Β' Τιμ. 2,19. **2.** Ἰω. 10,15. **3.** Πρβλ. Ἰω. 10,16. **4.** Ἰω. 10,17.

[760] Τὸ δέ «ἵνα πάλιν λάβω αὐτήν» οὐκ ἐπὶ αἰτίας εἶπεν, — οὐ γὰρ διὰ τοῦτο ἀποθνήσκει ἵνα ἀναστῇ, — ἀλλὰ κατὰ τὸ ἰδίωμα τὸ γραφικὸν ὡς αἰτίαν τὸ ἑπόμενον ἔφη.

Τὸ γάρ «ἵνα πάλιν λάβω αὐτήν», ὧδε ἰδίωμά ἐστι γραφικὸν οὐκ αἰτιολογικῶς κείμενον.

Ἰω. 10,18

Οὔτε, φησίν, ὡς οἱ λοιποὶ ἄνθρωποι ὅρῳ ζωῆς περικλειόμενος ὑπομένω τὸ πάθος· οὐδεὶς οὖν δύναται λαβεῖν «ἀπ' ἐμοῦ τὴν ψυχήν μου», ἀλλ' ὅτε βούλομαι τότε δίδωμι αὐτήν. Εἶτα, ἐπειδὴ τὸ μετ' ἐξουσίας θεῖναι τὴν ἑαυτοῦ ψυχὴν ὑπεραναβαίνει τὰ ἀνθρώπινα, ἐπάγει τὰ ἑξῆς.

Εἰ καὶ παράδοξον ὑμῖν εἶναι δοκεῖ τὸ εἰρημένον, ἀλλὰ τοῦτο πρόσταγμά ἐστι τοῦ Πατρός, ὥστε ἀνάγκη πιστεύειν ὑμᾶς. Τὸ δέ «ἐντολὴν ἔλαβον»[1], τοῦτο σημαίνει ὅτι αὐτὸς οὕτω γενέσθαι ἠβουλήθη.

Ἰω. 10,18

Τῶν μὲν διαβαλλόντων καὶ ἐπιπληττόντων τοῖς ἀκροωμένοις αὐτοῦ ὡς ἀκουόντων δαιμονιζομένου, τῶν δὲ ἀντιλεγόντων καὶ μὴ μόνον τοὺς λόγους ἀλλὰ καὶ τὰ θαυματουργήματα προβαλλομένων πρὸς τὸ πιστεύειν αὐτῷ, διχόνοια ἦν μεταξὺ τῶν ὄχλων. Ὅμως λεκτέον ὅτι τὸ σῶμα τοῦ Θεοῦ Λόγου καὶ ψυχὴν εἶχεν, οὐ τῆς ψυχῆς τὴν θεότητα σημαινούσης. Οὐ γὰρ **354** τὸ εἰρῆσθαι καὶ περὶ τοῦ Πατρὸς ψυχὴν ἔχειν, τοῦτο ἀναιρεῖ τὴν ἀλήθειαν· καὶ γὰρ καὶ πόδας καὶ χεῖρας εἰρῆσθαι λέγομεν ἐν τῇ Γραφῇ Θεοῦ, καὶ ὅσα τοιαῦτα, καὶ οὐ παρὰ τοῦτο λέγομεν μήτε πόδας μήτε χεῖρας ἔχειν Ἰησοῦν τὸν Χριστόν. Ἐνταῦθα μὲν γὰρ ὅταν τι τοιοῦτον λέγηται, τὴν ἑνωθεῖσαν σάρκα ψυχὴν ἔχουσαν τῷ Θεῷ Λόγῳ νοοῦμεν διὰ τῆς φωνῆς, ἐκεῖ δὲ ἐνέργειάν τινα καὶ διάθεσιν μόνον. Εἰ

1. Ἰω. 10,18.



δὲ καὶ λέγει ὁ Πέτρος «ἄρτι τὴν ψυχήν μου ὑπὲρ σοῦ θήσω»[1], ὅπερ καὶ ὁ Κύριος εἶπεν, οὐδὲν ἐκ τούτου. Ὥσπερ γὰρ ἐκεῖνος ἄνθρωπος ὢν ἐκ ψυχῆς καὶ σώματος τοῦτο εἶπεν, οὕτω καὶ ὁ Χριστός, ἐκ θεότητος ὢν καὶ ἀνθρωπότητος εἷς καὶ οὐ δύο, ὡς ἰδίαν ἑαυτοῦ καὶ μέρος ἴδιον τιθέναι λέγει τὴν ψυχὴν ὡς ὢν ἄνθρωπος, εἰ καὶ Θεὸς ἦν τῇ φύσει σάρκα ἀναλαβὼν καὶ ἑνώσας ἑαυτῷ ψυχὴν ἔχουσαν. Λέγει δὲ ὅτι οὐ χρὴ τὸν ἐξηγούμενον βίβλους γραφικὰς περὶ δόγματα πολὺν ἀναλίσκειν λόγον, ἀλλ' ὡς ἐν συντόμῳ τὰς ἀντιῤῥήσεις λύειν.

Ἰω. 10,22

[760] Ἐπειδὴ κατέπεσε πολλάκις ὑπὸ τῶν πολεμίων ἡ πόλις, ὕστερον δὲ καὶ ὑπὸ Ἀντιόχου πᾶσαν ἐρημωθῆναι συνέβη, εἶτα ὑπὸ τῶν Μακκαβαίων ἐτράπησαν μὲν οἱ πολέμιοι, πάλιν δὲ ἡ πόλις τῇ τοῦ Θεοῦ βοηθείᾳ τὸ οἰκεῖον σχῆμα ἀπέλαβεν, καθ' ἣν ἀνέστη πάλιν ἡμέραν ταύτην ἑκάστου ἔτους ἑορτάζοντες εἰς ὑπόμνησιν τῆς παρὰ πᾶσαν ἐλπίδα γεγενημένης διορθώσεως, Ἐγκαίνια[2] τῶν Ἱεροσολύμων ἐκάλουν τὴν ἡμέραν.

Ἰω. 10,23

Ἐγκαίνια λέγει τὴν τῶν ἐγκαινίων ὑπόμνησιν, καθ' ἣν ἡμέρα τῆς Ἱερουσαλὴμ ἀνεκαινίσθη τὰ τείχη παρ' ἐλπίδα πολλάκις πεσόντα ἐπί τε τῶν Βαβυλωνίων καὶ Ἀντιόχου. Ὁ οὖν Ἰησοῦς ὡς ἐν ἑορτῇ συνήχθη μετὰ πάντων καὶ ἦν ἐν τῇ στοᾷ[3].

Ἰω. 10,24

Κακοήθως ἐρωτῶσιν[4]. Εἰ γὰρ ἤθελον μαθεῖν, ἔδει αὐτοὺς ἀπὸ τῶν ἔργων πεισθῆναι· ἀλλὰ ἤθελον αὐτὸν εἰπεῖν ὅτι «Ἐγώ εἰμι», ἵνα ὡς ἠπεροπεύει καλοῦσι κατ' αὐτοῦ, ὡς ἑαυτῷ μαρτυροῦντι.

---

1. Ἰω. 13,37. **2.** Πρβλ. Ἰω. 10,22. **3.** Πρβλ. Ἰω. 10,23. **4.** Πρβλ. Ἰω. 10,24.

'Ιω. 10,25

355 Εἰ φωνὴν ζητεῖτε μαθεῖν, εἶπον μὲν πολλάκις καὶ οὐκ ἐπιστεύσατε[1]. Πλὴν τίς χρεία λόγων, τῶν ἔργων περὶ ἐμοῦ μαρτυρούντων, ἅπερ ὑμεῖς θέλετε μαθεῖν, ὧν πάντων τὴν πρᾶξιν ἐπὶ τὸν Πατέρα ἀνήγαγον;

'Ιω. 10,26

Οὐδὲ τὸ ἀναγαγεῖν με τὴν τιμὴν ἐπὶ τὸν Πατέρα δυσωπεῖ ὑμᾶς, ἐπειδή, καθὼς εἶπον, ἀλλότριοί ἐστε τῆς ἐμῆς διδασκαλίας[2], οὐδεμίαν ἔχοντες πρός με κοινωνίαν διὰ τὸ τῶν τρόπων ὑμῶν μοχθηρόν.

'Ιω. 10,27

Ὡς ἔχων τὸ προγνωστικὸν ὡς Θεὸς προαναφωνεῖ τὸ ἐσόμενον, καί φησιν· ὡς περιττόν μοι λαλεῖν τοῖς οὐκ οὖσι προβάτοις, οὕτως τὰ ἐμὰ πρόβατα γινώσκω ἀκριβῶς ἐγώ, καὶ οἰκεῖα καλῶν πόῤῥωθεν αὐτῶν ἐπιστάμενος τὸν νοῦν. Ταῦτα γὰρ ἡδέως ἀκούει τῆς ἐμῆς φωνῆς καὶ πειθόμενα ἕπεται τοῖς ἐμοῖς λόγοις[3]· διὸ κἀγὼ μετὰ πολλῆς αὐτοὺς ἡδονῆς λαλῶ.

'Ιω. 10,28

Οὐδὲν ἀκερδὲς ἔσται αὐτοῖς τὸ πείθεσθαι. Λήψονται γὰρ ζωὴν αἰώνιον, καὶ τοσαύτην ἔχει ἰσχὺν ἡ παρ' ἐμοῦ δόσις, ὡς κομισαμένους παρ' ἐμοῦ τὴν αἰώνιον ζωὴν διηνεκῶς αὐτῆς ἀπολαύειν, καὶ ἐὰν πολλοὶ ὦσιν οἱ ἐπιβουλεύοντες αὐτοῖς οὐ δύνανται ὑπ' οὐδένος ἁρπαγῆναι[4]· οὐ γάρ ἐστιν ὁ δυνατώτερος τῆς ἐμῆς χειρός.

'Ιω. 10,29-31

'Απήγαγεν ἐπὶ τὸν Πατέρα τὴν αἰτίαν, ὥστε ἀναντίῤῥητον τοῖς ἀπειθοῦσι κατασκευάσαι τὸν λόγον. Καὶ ἐπειδὴ μετὰ τὸ εἰπεῖν,

---

1. Πρβλ. 'Ιω. 10,25. **2.** Πρβλ. 'Ιω. 10,26. **3.** Πρβλ. 'Ιω. 10,27. **4.** 'Ιω. 10,28.

«οὐδεὶς αἴρει αὐτὰ ἐκ χειρός μου»[1], παρήγαγε τὸν Πατέρα, καὶ ἐδόκει διὰ τὸ πάντων μείζονα εἶναι τὸν Πατέρα μὴ ἁρπάξεσθαι τὰ πρόβατα, ἐπήγαγε τό «ἐγὼ καὶ Πατὴρ ἕν ἐσμεν»[2], εὐκαίρως μετὰ τὸ εἰπεῖν, ὅτι οὔτε ἐκ τῆς ἐμῆς οὔτε «ἐκ τῆς τοῦ Πατρὸς χειρὸς ἁρπάσαι τις δύναται», ἵνα δείξῃ ὅτι καὶ αὐτὸς ὁ Πατὴρ μείζων πάντων ἐστίν, ὡς καὶ αὐτὸς Δημιουργὸς πάσης τῆς κτίσεως ὢν ὁμοίως τῷ Πατρὶ καὶ τὴν αὐτὴν αὐτῷ κεκτημένος δύναμιν.

Ἐνταῦθα οὖν τό «ἕν ἐσμεν» κατὰ τὴν δύναμιν λέγει, ὡς ἡ ἀκολουθία τῆς **356** νοήσεως ἀπαιτεῖ. Εἰ καὶ τὰ μάλιστα εὑρίσκομεν ἐν τῇ Γραφῇ τό «ἕν» κατὰ συμφωνίαν, — ὡς ἔνθα λέγει «καὶ ἦν τῶν πιστευσάντων καρδία καὶ ψυχὴ μία»[3] — ὅταν δὲ λέγῃ ὁ Παῦλος «καὶ γὰρ ἡμεῖς πάντες ἐν ἑνὶ Πνεύματι εἰς ἓν σῶμα ἐβαπτίσθημεν»[4], — τὴν ὁμοιότητα λέγει τῆς φύσεως πάντων ἡμῶν, ὥσπερ ἑνὸς ὄντος σώματος καὶ ἐπιγραφομένων κεφαλὴν κατὰ σάρκα τὸν Ἀδάμ, ὕστερον δὲ τὸν Χριστόν[5], οὗ γινόμεθα σῶμα κατὰ τὴν ἀνάστασιν αὐτοῦ προκατάρξαντος τοῦτο.

Ἰω. 10,32

Ἔλαβον μὲν οἱ Ἰουδαῖοι τοὺς λίθους ὥστε λιθάσαι αὐτόν[6], οὐκ ἐχρήσαντο δὲ τούτῳ, ἀοράτῳ δυνάμει — τῇ τοῦ Κυρίου — κατασχεθέντες. Τοῦτο δὲ θελόντων αὐτῷ ποιῆσαι, ἐντρέπων αὐτοῖς φησι, «καλὰ ἔργα πολλὰ ἐποίησα ὑμῖν ἐκ τοῦ Πατρός μου»[7], ἀνάγων τά «ἔργα» ἐπὶ τὸν Πατέρα ἵνα μηδεμίαν σχῶσιν ἀφορμὴν ἀπολογίας.

Ἰω. 10,33

Ἐπειδὴ τοῖς ἔργοις ἀντιλέγειν οὐκ ἐδύναντο, περὶ βλασφημίας ἔλεγον ἐγκαλεῖν ὅτι φησίν, «ἄνθρωπος ὢν ποιεῖς σεαυτὸν Θεόν»[8] ἀκολούθως ἐγκαλοῦντες· ὁ γὰρ λέγων «ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν»[9] τοῦτο ἑαυτὸν ἐποίει.

---

1. Ἰω. 10,29. **2.** Ἰω. 10,30. **3.** Πράξ. 4,32. **4.** Α΄ Κορ. 12,13. **5.** Πρβλ. Ἐφ. 4,15. **6.** Πρβλ. Ἰω. 10,31,32. **7.** Ἰω. 10,32. **8.** Ἰω. 10,33. **9.** Ἰω. 10,30.

Ἰω. 10,35

[760]Καὶ ταῦτα λόγου φιλοῦ γενομένου· οὐ γὰρ εἰς φύσιν Θεοῦ κατέστησαν, ἀλλὰ ψιλῇ χάριτι τὴν φωνὴν ἐδέξαντο τοῦ Θεοῦ.

Ἔνθα μὲν διὰ ψιλοῦ λόγου οἱ ἄνθρωποι καλοῦνται θεοί[1], καίπερ οὐκ εἰς φύσιν τὴν θείαν ἀναγόμενοι, ἀλλὰ χάριτι τοῦτο καλούμενοι ἵσταται τὸ ῥῆμα.

Ἰω. 10,36

Ἐγὼ δὲ ὑμῖν ἔδοξα βλασφημεῖν, ἐμαυτὸν εἰπὼν Υἱὸν Θεοῦ. Καὶ ἔδει μὲν εἰπεῖν «ὅτι εἶπον Θεός εἰμι» (τοῦτο γὰρ αὐτὸν ἐκεῖνοι ἐνεκάλουν), ὁ δὲ εἶπεν «Υἱὸς Θεοῦ»[2]. Ἀλλ' ἐπείπερ πολλὴ ἡ διαφορὰ καὶ ἀσύγκριτος αὐτοῦ κἀκείνων (πρὸς ἐκείνους γὰρ φωνὴ μόνον εἴρηται, ὧδε δέ «ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν» ἐσήμανεν), ἔδειξε τὸ τῆς οὐσίας ταὐτὸν ἐκ παραθέσεως· δείκνυσιν ὅτι μὴ βλάσφημον πάντως τῷ **357** ἀνθρώπῳ περιχεῖσθαι τὴν τοῦ Θεοῦ προσηγορίαν. Ὅμως εἰπών «Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν»[3], ἵνα μὴ δῷ τισὶν ὑποψίαν οὕτω νοεῖν ὡς ὅτι ἀναίτιός ἐστιν ὡς ὁ Πατήρ, ἐπήγαγεν ὅτι, «Υἱὸς Θεοῦ εἰμι», δεικνὺς ὅτι κἂν Θεὸς ἐστι καὶ ἓν πρὸς τὸν Πατέρα, ἀλλ' ὡς ἐξ αὐτοῦ γεννηθεὶς καὶ τὸ ἀκριβὲς τῆς ὁμοιότητος ἔχει.

Ἰω. 10,37-38

Οὐκ ὀφείλετε ἀπιστεῖν, τῶν ἔργων σαφῶς τὴν ἀξίαν δεικνύντων[4]· ὅσα γὰρ ποιῶ, Θεῷ πρέποντα ποιῶ. Εἰ δὲ φιλονεικεῖτέ με, κἂν τὴν τῶν ἔργων αἰδεσθῆτε δύναμιν, δι' ὧν γνώσεσθε ὅτι «ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν». Διὰ γὰρ τοῦ εἰπεῖν· «Ὁ Πατὴρ ἐν ἐμοὶ κἀγὼ ἐν τῷ Πατρί»[5] τὴν ταυτότητα τῆς φύσεως δηλοῖ, ὡς αὐτοῦ τε ἐν τῷ Πατρὶ θεωρουμένου καὶ τοῦ Πατρὸς ἐν αὐτῷ, ὅπερ ἐστὶ ταὐτὸν τῷ «ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν».

---

1. Πρβλ. Ἰω. 10,35. **2.** Ἰω. 10,36. **3.** Ἰω. 10,30. **4.** Ἰω. 10,37. **5.** Ἰω. 10,38.

Ἰω. 10,39

Οἱ Ἰουδαῖοι ἠβουλήθησαν «αὐτὸν πιάσαι»[1], ὁ δὲ καὶ ἀκόντων αὐτῶν ἀπέφυγεν αὐτῶν τὰς χεῖρας.

Ἰω. 10,41-42

Πολλοί, φησίν, ἐπίστευσαν τῶν ἐλθόντων ἐκεῖ εἰς τὸν Ἰησοῦν[2], ἢ ἀφ' ὧν πάλιν εἶδον ἐκεῖ σημείων γινομένων, ἢ ἀφ' ὧν ἐδίδασκεν ὠφεληθέντες καὶ εἰς τὴν πίστιν βεβαιωθέντες[3].

Ἰω. 11,1-3

Ἠδύνατο ὁ εὐαγγελιστὴς διὰ συντόμου εἰπεῖν ὅτι ἀνέστησε τὸν Λάζαρον ὁ Κύριος, ἀλλ' ἵνα ἐπὶ πλεῖον πιστώσηται τὸ γεγονὸς ἄνωθεν τὸ πρᾶγμα διηγήσατο· οὐ γὰρ ἦν πιθανὸν ὅτι ὅλην ἱστορίαν ἀνεπλάττετο τοιαύτην. Μέμνηται δὲ καὶ τῆς τῶν γυναικῶν ἀρετῆς πρὸς ἡμετέραν ὠφέλειαν, δι' ὧν γὰρ ἡ μὲν ἤλειφε τὸν Κύριον μύρῳ, καὶ δι' ὧν ἠγαπῶντο ὑπ'αὐτοῦ ὡς θεοσεβεῖς οὖσαι. Ὅμως πολλῶν γυναικῶν ἀλειψασῶν τὸν Κύριον μύρῳ, μόνη Μαρία ὡς πολλὴν ἔχουσα πρὸς αὐτὸν τὴν διάθεσιν καὶ τὴν ὑποταγήν

[760]Ἐπισημαίνεται ὅτι αὕτη ἡ «Μαρία ἦν ἡ ἀλείψασα τὸν Κύριον μύρῳ καὶ ἐκμάξασα τοὺς πόδας αὐτοῦ ταῖς θριξὶν αὐτῆς»[4], σαφῶς ἐνδεικνύμε**358**νος ὅτι ἐν παρέργῳ τῶν γυναικῶν εἰπεῖν βούλεται τὴν ἀρετὴν συντελοῦσαν εἰς παιδείαν τοῖς ἐντυγχάνουσιν.

Τὸ μὲν **[761]** οὖν πρᾶγμα γέγονεν ὕστερον τῶν κατὰ τὸν

«καὶ ταῖς θριξὶν ἐξέμασσεν αὐτοῦ τοὺς πόδας».

Οὐ νῦν δὲ ἤλειφεν αὐτοῦ τοὺς πόδας, ἀλλὰ μετὰ τὸν θάνατον τοῦ Λαζάρου. Ἀλλ' ὁ εὐαγγελιστής, ὡς ὕστερον συγγραψάμενος τὴν ἱστορίαν τὴν εὐαγγελικήν, προαναφωνεῖ νῦν ὡς ἐν παραδρομῇ τοῦτο εἰς σαφήνειαν τοῦ διηγήματος, ἐν προσφόρῳ καιρῷ τηρῶν καὶ τὴν

1. Ἰω. 10,39. **2.** Πρβλ. Ἰω. 10,41. **3.** Πρβλ. Ἰω. 10,42. **4.** Ἰω. 11,2.

Λάζαρον, καὶ τοῦτο δείκνυσιν ὁ εὐαγγελιστὴς ὕστερον αὐτὸ λέγων. Ἐπειδὴ δὲ ἤμελλεν μνημονεύειν καὶ τούτου κατὰ τὴν ἀκολουθίαν ὡς γεγονότος, προλαβὼν ὑπὲρ τοῦ μέλλοντος, σαφηνίσας τίς ἡ γυνὴ ὑπὲρ ἧς ἐνταῦθα διαλέγεται, ἐπισημαίνεται ὅτι αὕτη ἡ κἀκεῖνο ἐργασαμένη καὶ νῦν ἐπὶ τοῦ Λαζάρου.

Τὸ δέ «Ἴδε ὃν φιλεῖς ἀσθενεῖ» πολλῆς πίστεως ἀπόδειξιν ἔχει. Οὕτω γὰρ ᾔδεσαν πολλὴν περιεῖναι τῷ Κυρίῳ δύναμιν, ὡς θαυμάζειν ὅτι καθήκετο ἀσθένεια ἀνδρὸς φιλουμένου παρ' αὐτοῦ.

τούτου διήγησιν. Μέμνηται δὲ καὶ τοῦ ὀνόματος αὐτῆς ἵνα μή τις ἐκ τῆς ὁμωνυμίας ἀνακύψῃ ἀμφιβολία.

Ἀποστείλασαι δὲ πρὸς τὸν Κύριον καὶ εἰποῦσαι «Κύριε, ἴδε ὃν φιλεῖς ἀσθενεῖ»[1], σημαίνουσιν ἔχειν πολλὴν ἀπόδειξιν πίστεως μετὰ τοῦ ἐντρεπτικοῦ. Ἰδοὺ γάρ, φησί, θαυμάζομεν ὅτι σοῦ τηλικαῦτα δυναμένου ὁ φίλος ἐν ἀῤῥωστίᾳ περιέπεσεν.

Ἰω. 11,4

Οὐ πάντη τελευτήσει, ἀλλὰ συγχώρησις ἔσται βραχεῖα περὶ τὸν ἀγαπώμενον, ἵνα γένηται περὶ αὐτὸν θαῦμα μέγιστον καὶ δειχθῇ τῆς ἐμῆς δυνάμεως ἡ ἀπόδειξις καὶ πολλῆς δόξης αἴτιον γίνηται τῷ Πατρί. Τοῦτο δὲ εἶπεν ὡς ὁμοίως τοῦ πράγματος εἰς αὐτοῦ τε δόξαν καὶ τοῦ Πατρὸς συν**359**τελοῦντος. Εἰ δὲ τὸ τοῦ Θεοῦ περὶ αὐτοῦ τοῦ Χριστοῦ εἰρῆσθαί τις ἐννοήσει οὐδὲν διαφέρει.

[761] Οὐ θαυμαστὸν εἰ τοῦ Λαζάρου τελευτήσαντος ὁ Κύριος «οὐ πρὸς θάνατον»[2] εἶναί φησι τὴν ἀσθένειαν· οὐ γὰρ ἦν αὐτῷ θάνατος μέλλοντι μετὰ βραχὺ πάντως αὐτὸν ἀνιστᾶν.

Εἰ δὲ εἶπεν ὁ Κύριος «οὐ πρὸς θάνατον» εἶναι τὴν νόσον Λαζάρου, καὶ ἀπέθανεν, οὐδὲν θαυμαστόν· οὐ γὰρ ἦν αὐτῷ θάνατος μέλλοντι μετ' ὀλίγον ἀναστῆναι.

---

1. Ἰω. 11,3. **2.** Ἰω. 11,4.

Ἰω. 11,5

Τούτοις προστίθησιν ὁ εὐαγγελιστὴς ὅτι «ἠγάπα ὁ Ἰησοῦς τὴν Μάρθαν καὶ τὴν Μαρίαν καὶ τὸν Λάζαρον»[1], εἰς τὸ δεῖξαι τῶν ἀνθρώπων τὴν ἀρετὴν σύμφωνον ἐχόντων περὶ τοῦτο τὴν γνώμην.

Πάντας ἠγάπα ὁ Χριστὸς ὡς ὁμοφωνοῦντας περὶ τὴν ἀρετήν. Ὅμως ταῦτα λαλήσας «ἔμεινεν ἐν τῷ τόπῳ ἐν ᾧ ἦν δύο ἡμέρας»[2].

Ἰω. 11,8

Καίτοι γε σαφῆ πολλάκις τὴν ἀπόδειξιν λαβόντες ὅτι μὴ δυνατόν τι τῶν παρὰ γνώμην παθεῖν, οὐ μόνον ἐξ ὧν εἶπεν, ἀλλὰ γὰρ καὶ ἐξ ὧν παρὰ πᾶσαν ἐλπίδα τὰς χεῖρας αὐτῶν οὐ πρὸ πολλοῦ, διέφυγεν κρατῆσαι βουληθέντων αὐτόν[3].

Ἀνθρωπινώτερον οἱ μαθηταὶ λαλοῦσι, φειδοῖ τῇ περὶ αὐτὸν ἐπέχειν αὐτὸν βουλόμενοι καίπερ τῇ πείρᾳ μαθόντες ὅτι ἄκων οὐκ ἔπασχεν, ἐξ ὧν πρὸ ὀλίγου ἐκ μέσου τῶν χειρῶν αὐτῶν διεσῴζετο παραδόξως.

Ἰω. 11,10

360 Ὥσπερ ὁ ἐν τῇ ἡμέρᾳ περιπατῶν ἀσφαλῶς βαδίζει, ἐπικίνδυνον δὲ τὸ ἐν νυκτὶ περιπατεῖν διὰ τὸ σκότος[4], οὕτως οὐ δυνατὸν ἐμέ τι τῶν ἀβουλήτων παθεῖν· φῶς γάρ εἰμι γνώσεως. Διὸ πάντα εἰδὼς οὔτε φυλάττομαί τι ποιεῖν τῶν δοκούντων ἐπικινδύνων.

Ἰω. 11,11

Ἀφ' οὗ ἔμελλεν ὁ Κύριος ποιεῖν, ὕπνον ἐκάλεσε τὸν θάνατον, δεικνὺς ὅπως αὐτὸν ἀνίστησι ῥαδίως[5]. Οὕτω γὰρ καὶ ἐν τοῖς ἀνωτέρω τὸ μή «πρὸς θάνατον»[6] ἔσεσθαι τὴν ἀσθένειαν ἔφη.

---

1. Ἰω. 11,5. **2.** Ἰω. 11,6. **3.** Πρβλ. Ἰω. 11,8. **4.** Πρβλ. Ἰω. 11,10. **5.** Πρβλ. Ἰω. 11,11. **6.** Ἰω. 11,4.

'Ιω. 11,12

Οὐ συνιέντες οἱ μαθηταὶ τὸ ῥῆμα εἶπον ὅτι, εἰ καθεύδει ἀνάγκη αὐτὸν πάλιν ἀναστῆναι· τοῦτο γὰρ ἀπαιτεῖ ἡ τοῦ ἀνθρώπου φύσις[1].

'Ιω. 11,15

[761] «Χαίρω», φησίν, ὑμῶν ἕνεκεν. Τὸ γὰρ μὴ εἶναί με ἐκεῖ συντελέσει πρὸς τὴν πίστιν τὴν ὑμετέραν· ἐπείπερ εἰ μὲν παρήμην ἀῤῥωστοῦντα ἐθεράπευον, μικρὸν δὲ ἦν τοῦτο τὸ θαῦμα εἰς δυνάμεως ἀπόδειξιν. 'Επειδὴ δὲ ἐγὼ μὲν ἀπελελείμμην, ὁ δὲ θάνατος **361** ἐπεγένετο, μέλλω δὲ αὐτὸν ἀπιὼν ἀνιστᾶν, μειζόνως εἰς τὴν πίστιν βεβαιωθήσεσθε τὴν ἐμήν, ὅταν ἴδητέ με καὶ τοῦτο δυνάμενον τοὺς νεκροὺς ἤδη διεφθορότας ἀνιστᾶν.

Οὐχ ὕπνος ἐστίν, ἀλλὰ θάνατος. «Χαίρω δὲ ὅτι οὐκ ἤμην ἐκεῖ»[2]. Τοῦτο γὰρ συντελέσει πρὸς πίστιν τὴν ὑμετέραν, ἐπειδὴ εἰ παρήμην ἀῤῥωστοῦντα ἐθεράπευον· μικρὸν δὲ τοῦτο θαῦμα εἰς ἀπόδειξιν τῆς ἐμῆς δυνάμεως. Μέλλω δὲ αὐτὸν ἀνιστᾶν ἐκ νεκρῶν, ὅπερ μειζόνως ὑμᾶς εἰς πίστιν βεβαιοῖ.

Διὸ καιροῦ καλοῦντος σπεύσωμεν ἐπὶ τὸ ἔργον.[3]

'Ιω. 11,16

'Επεὶ δὲ κατέχειν μὲν αὐτὸν ἐβούλοντο οἱ μαθηταὶ δεδιότες περὶ αὐτοῦ μή τι καὶ πάθοι ὑπὸ τῶν 'Ιουδαίων, ὁ δὲ οὐχ ἠνέσχετο, μάλα ἀκολούθως τῇ ἀποκρίσει χρησάμενος ὁ Θωμᾶς ἔφη ταῦτα, ἀσθενέστερα μὲν ὡς πρὸς πίστιν εἰπών, ἱκανὰ δὲ ὅμως ἐνδείξασθαι ὡς μεγάλην τὴν ἀγάπην περὶ τὸν Δεσπότην ἐκέκτητο. Ὅτι γὰρ οὐκ ἔνεστιν αὐτὸν διαφυγεῖν τῶν 'Ιουδαίων τὴν ἐπιβουλὴν πάλιν ἀπιόντα πρὸς αὐτοὺς εὔδηλον, ὥστε τὸ **[761]** μὲν καλὸν ἦν πεισθέντα μεῖναι καὶ ἐκκλῖναι τὴν τῶν ἐχθρῶν ἐπιβουλήν. 'Επειδὴ δὲ τοῦτο δέδοκται πάντως αὐτῷ τὸ ἀπελθεῖν, «συναπέλθωμεν καὶ

1. Πρβλ. 'Ιω. 11,12. **2.** 'Ιω. 11,15. **3.** Πρβλ. 'Ιω. 11,15.

ἡμεῖς»[1]· κρεῖττον γὰρ ἀποθνήσκοντας κοινωνῆσαι τοῦ θανάτου ἢ τῆς οἰκείας σωτηρίας προνοουμένους ἀπολειφθῆναι τοῦ διδασκάλου.

Ἰω. 11,18-19

Ἔμεινε δύο ἡμέρας ἐν ᾧ ἔτυχε τόπῳ ὁ Ἰησοῦς, καὶ λοιπὸν ἐν τῷ τῆς ὁδοιπορίας διαστήματι ἐποίησε τὰς ἄλλας δύο ἡμέρας. Τὸ δὲ ἀπεῖναι τῶν Ἱεροσολύμων τὴν Βηθανίαν[2] δεκαπέντε σταδίους, ὃ ποιεῖ μίλια δύο, συνεβάλλετο πρὸς τὸ πᾶσι κατάδηλον γενέσθαι τὸ θαῦμα. Πολλοὶ γὰρ ἦσαν ἐλθόντες Ἰουδαῖοι πρὸς τὰς περὶ Μαρίαν παραμυθησόμενοι αὐτάς[3], συνετέλει δὲ αὐτῶν ἡ παρουσία εἰς τὸ μαρτυρεῖν τῷ ἐσομένῳ θαύματι.

Ἰω. 11,20

Διὰ τοῦτο ἡ Μαρία οὐκ ἦλθεν[4], ἐπειδὴ οὐκ ἔγνω ὅτι ἦλθεν ὁ Ἰησοῦς.

Ἰω. 11,21

362 Ὅμοιον τῷ εἰρημένῳ «Κύριε, ἴδε ὃν φιλεῖς ἀσθενεῖ»[5]. Ὥσπερ γὰρ ᾤετο τὸ μὴ δεῖν ἀῤῥωστεῖν τὸν ὑπὸ Κυρίου ἀγαπώμενον, οὕτως ἐπίστευεν ὅτι δυνατὸς ἦν παρὼν ἀπελάσαι τὸν θάνατον[6]· καὶ ὅσα ᾔτει τὸν Θεὸν ἤνυεν.

Ἰω. 11,22,24

Καίπερ εἰποῦσα ὅτι «οἶδα ὅσα ἂν αἰτήσῃ τὸν Θεόν»[7] λαμβάνεις, διὰ τὴν ὑπερβολὴν τῆς ἐπαγγελίας πάλιν δοκεῖ μὴ ἀποτόμως πιστεύειν. Ἔτι γὰρ ὡς ἀνθρώπῳ φιλῷ προσεῖχεν αὐτῷ, ἁγίῳ μέντοι· διὸ εἶπεν τό «οἶδα ὅτι ἀναστήσεται ἐν τῇ ἐσχάτῃ ἡμέρα»[8]. Ὁ δὲ Κύριος μονονουχὶ λέγει.

---

1. Ἰω. 11,16. **2.** Πρβλ. Ἰω. 11,18. **3.** Πρβλ. Ἰω. 11,19. **4.** Πρβλ. Ἰω. 11,20. **5.** Ἰω. 11,13. **6.** Πρβλ. Ἰω. 11,21. **7.** Ἰω. 11,22. **8.** Ἰω. 11,24.

Ἰω. 11,25

Εἰ γὰρ ἐκείνῃ πιστεύεις, φησί, μηδὲ περὶ ταύτης ἀμφίβαλλε. Οὐ γὰρ ἄλλος ὁ ἐκεῖνα ἐργαζόμενος παρ' ἐμοῦ, ἀλλ' ἐγὼ κἀκείνοις τοῖς ἀνθρώποις αἴτιος ὥστε κοινῇ πάντας ἀνιστῶν· οὐ γὰρ δήπου περὶ ἑνὸς ἀνάστασις ἄτονον εἶναι δύναται.

Εἰ ἐκείνῃ πιστεύεις, μηδὲ περὶ ταύτης ἀμφίβαλλε. Ἐγὼ γάρ εἰμι ὁ κἀκείνην ποιῶν. Εἰ οὖν τοὺς πάντας ἀνίστημι, πολλῷ μᾶλλον ἰσχύω ἕνα ἀναστῆσαι.

Ἰω. 11,25,26

Ἐπειδή, φησίν, ὅπερ ἐστὶν ὁ Πατὴρ ἐγώ εἰμι, ὁ εἰς ἐμὲ πιστεύων ζῇ κἂν ἀποθάνῃ[1], τῇ ἐπαγγελίᾳ ἐπὶ χρηστῇ τῇ τῶν μελλόντων ἐλπίδι τὸν θάνατον δεχόμενος.

Ἰω. 11,26

363 Ὁ γὰρ ζῶν μετὰ τῆς εἰς ἐμὲ πίστεως οὐδέποτε ἀποθανεῖται, ἐπειδήπερ κἂν ἀποθνήσκειν δόξῃ οὐ νεκρός ἐστιν, ἀλλὰ ζῶν διὰ τὴν ἐλπίδα τῆς ὑποσχέσεως, μεθ' ἧς δέχεται τοῦ τῆς φύσεως ὅρου τὴν τελευτήν[2].

Ὁ ζῶν μετὰ τῆς εἰς ἐμὲ πίστεως οὐδέποτε ἀποθανεῖται, ἐπειδὴ εἰ καὶ ἀποθνήσκειν δόξει οὐχ ἔστι νεκρός, ἀλλὰ ζῶν διὰ τὴν ὑπόσχεσιν μεθ' ἧς δέχεται τὸν φυσικὸν θάνατον.

Ἰω. 11,27

Πίστευσον ᾧ λέγω, γύναι· τοῦτο γάρ σοι λυσιτελεῖ καὶ πᾶσι τοῖς μετὰ πίστεως δεχομένοις τὸν λόγον. Ἐπειδὴ ὅτε ἐφαίνετο ὁ

---

1. Πρβλ. Ἰω. 11,25. **2.** Πρβλ. Ἰω. 11,26.



Χριστὸς ταῦτα ἤλπιζεν ἔσεσθαι δι' αὐτοῦ, τὴν ζωὴν καὶ τὴν ἀνάστασιν, εἶπεν οὖν, ναὶ πιστεύω σὲ τὸν Χριστὸν εἶναι τὸν προαγγελθέντα ὑπὸ τῶν Προφητῶν, τὸν Υἱὸν τοῦ Θεοῦ τὸν ἐλεύσεσθαι προσδοκώμενον[1]. Χριστὸν δὲ αὐτὸν καλεῖ, ὡς ὅτι ἐνάρετόν τι καὶ ἐξαίρετον παρὰ τοὺς ἄλλους Ἁγίους προσεδόκων αὐτόν.

Ἰω. 11,28-32

[764] Καίτοι γε ἐν τοῖς Εὐαγγελίοις οὐ φαίνεται λέγων αὐτῇ ὁ Κύριος καλέσαι τὴν ἀδελφήν[2], — ἀλλὰ δῆλον ὅτι εἴρηται μέν, — ὁ δὲ εὐαγγελι**364**στὴς παρέλιπεν ἑνὸς προσδέων μόνα τὰ ἀναγκαῖα λέγειν.

Συνετῶς δὲ σφόδρα καὶ τὸ λάθρα καλέσαι τὴν ἀδελφὴν διὰ τὸ παρεῖναι τοὺς Ἰουδαίους, οὓς ᾔδει καὶ πρὸς μόνην τὴν ἀκοὴν φορτικῶς διακειμένους.

«Ἐκείνη» γοῦν, φησί, μετὰ πολλῆς ἐγείρεται τῆς ταχύτητος, ὥστε πρὸς τὸν Κύριον ἐλθεῖν[3]· οὐ γάρ «ἐληλύθει» πρὸς τὴν κώμην «ὁ Ἰησοῦς», ἀλλ' ἐν ἐκείνῳ ἦν τῷ τόπῳ, ἐν ᾧπερ καὶ τὴν Μάρθαν ἀπαντῆσαι συνέβη[4]. Οἱ μὲν οὖν παρόντες Ἰουδαῖοι καὶ παραμυθούμενοι διὰ τὸ πένθος αὐτήν, μετὰ πολλῆς ἀναστᾶσαν θεασάμενοι τῆς ὀξύτητος, καὶ οἰη-

Πῶς ὁ εὐαγγελιστὴς οὐκ εἶπεν ὅτι ὁ Κύριος εἶπεν αὐτῇ ἀπελθεῖν καὶ καλέσαι τὴν Μαρίαν; Δῆλον γὰρ ὅτι εἶπεν. Ἐκεῖνο οὖν φαμεν ὅτι τὰ ἀναγκαῖα λέγοντες οἱ εὐαγγελισταί τινα παραλιμπάνουσι.

Λάθρα δὲ καλεῖ τὴν ἀδελφὴν διὰ τὸ παρεῖναι τοὺς Ἰουδαίους.

Αὕτη οὖν ἀκούσασα σπουδαίως ἀνέστη, ὥστε ἐλθεῖν πρὸς τὸν Κύριον. Τοσαύτη ἐχρήσατο τῇ σπουδῇ ὡς εὑρεῖν τὸν Κύριον ἐν ᾧ τόπῳ συνέτυχε τῇ Μάρθᾳ. Ἑωρακότες δὲ τὴν ταύτης σπουδὴν καὶ οἰηθέντες οἱ παρόντες Ἰουδαῖοι ὅτι ἔδραμεν ἐπὶ τὸ κλαῦσαι τὸν νεκρόν, ἠκολούθουν ὡς κωλύσοντες αὐτὴν μὴ ποιῆσαί τι ἀπρεπές.

Ὠκονόμητο δὲ τοῦτο εἰς τὸ καὶ ἄκοντας παραγενέσθαι καὶ μαρτυρῆσαι τῷ μέλλοντι γενέσθαι θαύματι. Ἡ Μαρία ὡς

---

1. Πρβλ. Ἰω. 11,27. **2.** Πρβλ. Ἰω. 11,28. **3.** Πρβλ. Ἰω. 11,29. **4.** Πρβλ. Ἰω. 11,30.

θέντες ἀπιέναι ἐπὶ τὸ κλαῦσαι τὸν νεκρόν, ἠκολούθουν ὡς καθέξοντες μή πού τι καὶ ἀπρεπὲς ὑπὸ τοῦ πάθους προαχθῇ[1].

Ὠκονόμητο δὲ τοῦτο εἰς τὸ ἄκοντας παραγενέσθαι καὶ μαρτυρῆσαι τῷ μέλλοντι γενέσθαι θαύματι. Ἡ μέντοι γε Μαρία παραγενομένη πρὸς τὸν Κύριον, εὐθὺς ἔπεσεν εἰς τοὺς πόδας αὐτοῦ, τὰ αὐτὰ λέγουσα τῇ Μάρθᾳ, «εἰ ἦς ὧδε, οὐκ ἂν ἀπέθανέν μου ὁ ἀδελφός»[2].

πλείονα ἔχουσα διάθεσιν πρὸς τὸν Κύριον, οὐ μόνον τοῖς αὐτοῖς ἐχρήσατο ῥήμασιν, ἀλλὰ καὶ ἔπεσε πρὸς τοὺς πόδας αὐτοῦ.

Περὶ μέντοι τῆς Μάρθας οὐκ εἶπεν ὅτι τοῖς ποσὶ προσέπεσεν, ἀλλ' ὅτι ἀπήντησεν μόνον, ὡς φαίνεσθαι διὰ πολλῶν τὴν Μαρίαν πλείονα ἀγάπην τὴν περὶ τὸν Κύριον ἔχουσαν.

Ἰω. 11,33-34

365 Ἡ μὲν ἐμβρίμησις τῆς ὀργῆς ἀπόδειξιν εἶχε· τὴν δὲ ὀργὴν προλαβὼν ὁ Κύριος διὰ τῆς ἐμβριμήσεως ἔδειξεν ὅτι πόῤῥωθεν οἶδεν ὡς καὶ τοσοῦτον θεασάμενοι θαῦμα ἀπιστήσουσιν Ἰουδαῖοι. Διόπερ ὁ εὐαγγελιστής φησιν· ἐταράχθη «τῷ πνεύματι»[3].

Ἐρωτᾶ δέ «ποῦ τεθείκατε;»[4] οὐκ ἀγνοῶν (πῶς γὰρ ὁ πόῤῥωθεν εἰπὼν ὅτι τετελεύτηκεν;) ἀλλ' ὥστε δοκεῖν τάξιν τινὰ τῷ πράγματι διδόναι, καὶ μὴ μετὰ ἐπιδείξεως τὸ θαῦμα ἐργάζεσθαι.

Ἐμβρίμησις, ὀργὴν σημαίνει. Προωργίζετο οὖν ὁ Χριστὸς ὡς Θεός, εἰδὼς ὅτι οὐδὲ τὸ τηλικοῦτον θεασάμενοι θαῦμα πιστεύουσιν οἱ Ἰουδαῖοι.

Οὐκ ἀγνοῶν ἐρωτᾷ (πῶς γὰρ ὁ ἀπὸ πολλοῦ διαστήματος εἰδὼς ὅτι ἐτελεύτησεν;) ἀλλ' ὥστε δοκεῖν τάξιν τινὰ τῷ πράγματι διδόναι, καὶ μὴ μετὰ ἐπιδείξεως τὸ θαῦμα ἐργάζεσθαι.

---

1. Πρβλ. Ἰω. 11,31. **2.** Ἰω. 11,32. **3.** Ἰω. 11,33. **4.** Ἰω. 11,34.

Ἰω. 11,35

[764] Μέτρα γὰρ ὁρίζει τῇ ἀνθρωπίνῃ φύσει μέχρι πόσου ἐπιστάζειν δεῖ τοῖς κειμένοις τὸ δάκρυον, καὶ μὴ πέρα τοῦ προσήκοντος ἐπὶ νεκρῶν πρὸς θρήνους ἐξάγεσθαι.

Εἰ καὶ περιττὸν ἐδόκει τὸ δακρύειν μέλλων αὐτὸ ἀνιστᾶν, ἀλλ' ἡμῖν ὅρον δέδωκε τοῦ πένθους τὸ δάκρυον[1], ὥστε μὴ περαιτέρω τούτου ποιεῖν τι.

Ἰω. 11,37

366 Ἰουδαϊκὸν τὸ ἔργον ἀεὶ τὰ γεγονότα ἐνυβρίζειν διὰ τῶν μὴ γεγονότων, ὡς καὶ ἐν τῇ ἐρήμῳ ὄντες ἔλεγον «ἐπεὶ ἐπάταξε πέτραν, καὶ ἐῤῥύησαν ὕδατα, μὴ καὶ ἄρτον δύναται δοῦναι;»[2].

Ἰω. 11,38

Συνεκινήθη, ὡς εἰκός, ὡς εἰς ἐπιτίμησιν αὐτῶν, ἐπείπερ τά τε γεγονότα ηὐτέλιζον, καὶ ἃ ἤτουν γενέσθαι προέλεγον, ὡς οὐδ' ἂν γένωνται δέξονται αὐτά. Ἐλθὼν δὲ ἐκεῖ εἶπεν ἀρθῆναι τὸν ἐπὶ τοῦ μνημείου λίθον[3].

Ἰω. 11,39-40

[765] Τοῦτο δέ ἐστιν ἀπιστούσης, συνεβάλλετο δὲ πρὸς ἀπόδειξιν τοῦ θαύματος· ὅσῳ γὰρ ἐφαίνετο λυθεὶς τὸ σῶμα καὶ κατὰ φύσιν τὴν μεταβολὴν ἐπιδειξάμενος, τοσούτῳ μᾶλλον ἐδείκνυτο τὸ περὶ αὐτὸν γενόμενον. Διὸ καὶ ὁ Κύριος ὀνειδίζων αὐτῇ φησιν «οὐκ εἶπόν σοι

Αἰρομένου τοῦ λίθου, αἰσθομένη τῆς ὀσμῆς[4] εἶπε τοῦτο ἡ Μάρθα.

Τοῦτο δὲ ἀπιστούσης μὲν ἦν, συνεβάλλετο δὲ εἰς ἀπόδειξιν τοῦ θαύματος, ὅσῳ μᾶλλον ἐφαίνετο διαλυθὲν τὸ σῶμα. Τοῦτο ὡς ὀνειδίζων αὐτὴν ὁ Κύριος εἶπεν.

---

1. Πρβλ. Ἰω. 11,35. **2.** Ψαλ. 77,20. **3.** Πρβλ. Ἰω. 11,38. **4.** Ἰω. 11,39.

ὅτι ἐὰν πιστεύσῃς ὄψει τὴν δύναμιν τοῦ Θεοῦ;»[1].

Δῆλον οὖν ἔνθεν ὅτι καὶ ὅσοις ὀπίσω συνέθετο πιστεύειν, οὐ πάσης ἦν ἀπηλλαγμένα ἀμφιβολίας.

'Ιω. 11,41-42

Τρόπον τινὰ ὁ Χριστὸς ἄνω τὸ ὄμμα τείνας εἰς οὐρανοὺς δοκεῖ τῷ Πατρὶ τὸ γινόμενον ἀνατίθεσθαι, ἵνα μηδεμίαν ἀπολογίαν 'Ιουδαίοις ἀπιστοῦσι καταλείψῃ. Δι' ὧν γάρ φησιν «εὐχαριστῶ σοι ὅτι ἤκουσάς μου»[2] μηδὲν αἰτήσας, περιττόν που δοκεῖ εἶναι· διὰ οὖν τοῦτο ταῦτα λέγει (ὅτι τῶν παρόντων ἕνεκεν ταῦτα εἶπεν), ὅπως **367** μὴ λέγωσι ὅτι διὰ τοῦτο αὐτῷ ἀπιστοῦμεν ὡς ἀλλότρια φρονοῦντι τοῦ Πατρός[3]. 'Απρεπὲς γὰρ τῷ Θεῷ Λόγῳ τὸ διὰ εὐχῆς λαμβάνειν δύναμιν εἰς τὸ ἀναστῆσαι νεκρόν, τῷ Δημιουργῷ τῶν ἁπάντων, ὅπου γε εἰς τὸ ἀναστῆσαι τὸ ἑαυτοῦ σῶμα οὐκ ἐδεῖτό τινος, ἐξ ὧν εἶπεν «λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν»[4], ἑαυτῷ πᾶσαν τοῦ πράγματος περιάψας τὴν ἐξουσίαν καὶ τὴν αὐθεντίαν.

'Ιω. 11,43

'Εβόα μεγάλῃ φωνῇ, οὐχ ὅτι πρὸς τὴν ἀνάστασιν συνετέλει τι τῆς φωνῆς τὸ μέγεθος, ἀλλ' ὥστε τοῖς παροῦσιν ἐνδείξασθαι ὅτι πόῤῥωθεν οὖσαν ἐκάλει τὴν ψυχήν.

Διὰ τοῦτο ἔκραξεν ἵνα τοῖς παροῦσιν ἐνδείξηται ὅτι πόῤῥωθεν οὖσαν ἐκκαλεῖται τὴν ψυχήν, οὐ μὴν ἐν τῷ σώματι οὔσης τὸν νεκρὸν ἀνέστησε[5].

'Ιω. 11,44

Τῷ δὲ σχήματι ἐκείνῳ ἐξῆλθεν, ᾧ ἦν κατατεθείς. Ἦν δὲ πάντα παράδοξα, καὶ τὸ δεδεμένων τῶν ποδῶν καὶ τῶν χειρῶν ἐξελθεῖν[6], καὶ τῶν ὀφθαλμῶν οὐ μόνον, τὸ ἀναστῆναι.

---

1. 'Ιω. 11,40. **2.** 'Ιω. 11,41. **3.** Πρβλ. 'Ιω. 11,42. **4.** 'Ιω. 2,19. **5.** Πρβλ. 'Ιω. 11,43. **6.** Πρβλ. 'Ιω. 11,44.

Ἰω. 11,46

Ὁ Κύριος ἐκέλευσεν αὐτὸν λυθέντα ἀφεθῆναι, ὥστε λοιπὸν κατὰ φύσιν βαδίζειν. (Τοῦ αὐτοῦ). Ἐκ τοῦ γεγονότος οἱ μὲν ἐπίστευσαν, οἱ δὲ οὔ, ἀλλὰ καὶ ἀπελθόντες διέβαλλον αὐτὸν τοῖς Φαρισαίοις[1] ὡς ἀνόσιόν τι τετολμηκότος ποιῆσαι· ὅμως ἐμηνύετο καὶ οὕτω τὸ γεγονός, εἰ καὶ ἐκεῖνοι ὡς μοχθηροὶ τὸν τρόπον διεβάλλοντο.

Ἰω. 11,47

Δέον πιστεύειν ἐπὶ τοῖς γενομένοις· οὐ μόνον δὲ οὐκ ἐπίστευον, ἀλλὰ καὶ ἀνήκεστόν τι πρᾶγμα ἐνόμιζον γεγονός[2].

Ἰω. 11,48

Ἐάν, φασί, πολλοὶ πιστεύσωσιν εἰς αὐτόν, κίνδυνος ἡμῖν οὐκ ὀλίγος ἐκ τούτων ἀναφανεῖται· εὐπρόσωπον δὲ ἠβουλήθησαν ἀφορμὴν τῇ ἐπιβουλῇ ἐπιθεῖναι. Ἐπειδὴ γὰρ **368** ὑπόφοροί ἐσμεν Ῥωμαίοις, ἐὰν ἴδωσι πολλοὺς συναγομένους πρὸς αὐτόν, ὑποπτεύουσιν ὅτι βασιλέα αὐτὸν θέλομεν στῆσαι, καὶ ὡς ἀποστασίαν μελετώντων ἐπιστρατεύσουσι καθ' ἡμῶν καὶ ἀπολέσουσιν ἡμᾶς[3]. Τοῦτο δὲ γέγονε διὰ τὸ τούτων κατὰ Κυρίου τόλμημα.

Ἰω. 11,48-52

Τὸ αὐτὸ τοῖς ἀνωτέρω λέγει, ὅτι ἐὰν μή, φασί, τοῦτον ἀνέλωμεν, «ἔρχονται οἱ Ῥωμαῖοι καὶ ἀροῦσι τὸν τόπον ἡμῶν»[4]. Ἀρχιερέα δὲ καλεῖ αὐτόν «τοῦ ἐνιαυτοῦ»[5] ‹ἐκείνου›, ἐπείπερ οὐκέτι κατὰ γένος ἱεράτευον, ἀλλ' οἷς ἂν ἠβούλοντο οἱ Ῥωμαῖοι ἐδίδοσαν τὴν τιμὴν διαδεχόμενοι αὐτοὺς ὅτε αὐτοὺς παρεστήσατο. Οὐχ ὡς ἄξιος ὅμως, ἀλλὰ διὰ τὸ ἱερατικὸν ἀξίωμα ἔλαβε τοῦ προειπεῖν τοῦ ἐσομένου τὴν χάριν, οὐκ εἰδὼς ὃ λέγει. Ὁ δὲ Χριστὸς ὑπὲρ τοῦ

---

1. Πρβλ. Ἰω. 11,46. **2.** Πρβλ. Ἰω. 11,47. **3.** Πρβλ. Ἰω. 11,48. **4.** Ἰω. 11,48. **5.** Ἰω. 11,49.

ἔθνους, ἀντὶ τοῦ ὑπὲρ τῆς κοινῆς πάντων ὠφελείας τὸν θάνατον ὑπέμεινεν, οὐ μόνον ὑπὲρ Ἰουδαίων, ἀλλὰ καὶ ἐθνῶν[1]. Διὸ καὶ προσέθηκεν ὁ εὐαγγελιστής, «ἀλλ' ἵνα καὶ τὰ τέκνα τοῦ Θεοῦ τὰ διεσκορπισμένα συναγάγῃ εἰς ἕν»[2].

Ἰω. 11,53

Ἐζήτουν αὐτὸν ἔκτοτε λοιπὸν ἀπολέσαι[3].

Ἰω. 11,55

Ἔθος εἶχον πάντως μὴ πρότερον ἐπιτελεῖν τὸ πάσχα τοὺς ὑποπεσόντας τοῖς συμπτώμασιν, εἰ μὴ τὸν συνήθη ἁγνισμὸν ἡγνίσθησαν[4].

Ἰω. 11,56

[765] Συνιόντες οἱ ἁγνιζόμενοι κατὰ τὸ ἱερὸν διελέγοντο πρὸς ἀλλήλους περὶ τοῦ Χριστοῦ, διαμφισβητοῦντες πότερον ἐλεύσεται τιμῇ τῆς ἑορτῆς[5], ἢ ὑπερθήσεται τὴν παρουσίαν φυλαττόμενος τοὺς ἐπιβουλεύοντας. Ἦν δὲ ταῦτα ποθούντων αὐτὸν ἰδεῖν τὰ ῥήματα· καὶ γάρ, ὡς εἰκός, ἀπὸ τῶν **369** γεγονότων θαυμάτων σφόδρα λοιπὸν αὐτοῦ τὸ ἄδολον πλῆθος ἐξεκρέματο.

Ποθούντων ἐστὶ τὸ τὰ τοιαῦτα λέγειν· εἰκὸς γὰρ ὅτι διὰ τὰς πολλὰς θεοσημείας πολλοὶ ἐπεθύμουν αὐτὸν θεωρεῖν.

«Οἱ δὲ ἀρχιερεῖς δεδώκεισαν ἐντολάς»[6], ὥστε εἴ τις δυνηθείη μαθεῖν «ποῦ ἐστί» γνωρίσει αὐτοῖς.

Ἰω. 12,1

Κατὰ τὸ σύνηθες καὶ μετὰ πάσης αὐτὸν ὑπεδέξαντο τῆς σπουδῆς, καὶ δεῖπνον παρεσκευάσαντο καὶ διηκόνει ἡ Μάρθα. Λάζαρος δὲ συνανέκειτο[7].

---

1. Πρβλ. Ἰω. 11,50,51. **2.** Ἰω. 11,52. **3.** Πρβλ. Ἰω. 11,53. **4.** Πρβλ. Ἰω. 11,55. **5.** Πρβλ. Ἰω. 11,56. **6.** Ἰω. 11,57. **7.** Πρβλ. Ἰω. 12,1-2.

Ἰω. 12,3

Ἀσωτίας κατῃτίατο τὴν γυναῖκα, δέον ἐκπλαγῆναι τὴν ἐκείνης πίστιν, ἥτις δι' αὐτῆς «ἐξέμασσε ταῖς θριξί τούς» τοῦ Κυρίου «πόδας»[1], — ἵνα τὸν χρῶτα αὐτοῦ τῷ οἰκείῳ προσπελάσειε σώματι, καὶ ἔχειν δοκεῖ αὐτὸν καὶ ἀπολιμπανόμενον.

Ἰω. 12,6

Ἐξ αὐτῶν τῶν πραγμάτων ἐλέγχει αὐτὸν ὁ εὐαγγελιστὴς ψευδόμενον, μὴ προτιμήσαντα πάντων τῶν πενήτων καὶ ἡγησάμενον βελτίονα ἐκείνων εἶναι τὸν τῆς εὐσεβείας διδάσκαλον[2].

Ἰω. 12,7-8

Ἀπολογεῖται ὑπὲρ τῆς γυναικὸς ἵνα μὴ δόξῃ ὑπὸ αἰτίαν αὐτὴν ἐᾶν, καὶ ἠπίως λαλεῖ, ἵνα μὴ δόξῃ προνοῶν τῶν καθ' ἑαυτὸν ὑπὲρ τοὺς πτωχοὺς ταῦτα λέγει. Διὸ καὶ αἰνιγματωδῶς λαλεῖ, οὐδὲν ἐπιτιμήσας τῷ μάτην αὐτὴν ὀνειδίζοντι μηδὲ ἐλέγξας αὐτὸν ψευδόμενον, εἰδὼς ὅτι οὐδὲν ἤμελλεν ὠφεληθῆναι ἐκ τῆς ἐπιτιμήσεως. Ὃ οὖν λέγει τοιοῦτόν ἐστι. Τίνος ἕνεκεν μέμφῃ τὴν γυναῖκα, δέον ἐπαινέσαι, διὰ τὴν περὶ ἐμὲ ἀγάπην; Ὅμως, ἐπειδὴ πρὸς τὸ παθεῖν μέλλω λοιπὸν ὁρμᾶν, ἔδει σε συναλγῆσαί μοι καὶ μὴ νομίσαι μεγάλην τινὰ περὶ ἐμὲ γεγενῆσθαι φιλοτιμίαν τὸν μετ' οὐ πολὺ μέλλοντα τελευτᾶν. Εἰ μή που οὐδὲ ταφῆς ἄξιος εἶναι παρὰ σοὶ νενόμισμαι; Ἐπεὶ οὖν οὐ δύναται ὅτε ἀποθνήσκω ποιῆσαι τοῦτο, οὐ γὰρ ἕξει, ἀλλ' οὔτε μετὰ δύο ἡμέρας μηκέτι με εὑρίσκουσα νεκρὸν τὸν τότε καιρόν. Τοῦτο οὖν δηλοῖ τὸ εἰρημένον «ἄφες αὐτὴν εἰς τὴν ἡμέραν τοῦ ἐνταφιασμοῦ μου τηρῆσαι αὐτό»[3]. Εἰ δὲ ἀληθῶς μέλει σοι τῶν πτωχῶν, ἔχεις πολὺν καιρὸν τοῦ εὖ ποιῆσαι τούτους[4]· οὐδέποτε γὰρ οὗτοι ἐπιλείψουσιν, ἐμὲ δὲ εὖ ποιεῖν οὐκ ἂν εἰ δύνασαι, ὀλίγον γὰρ ἔτι συνέσομαι ὑμῖν καὶ ἀπελεύσομαι.

---

1. Ἰω. 12,3. **2.** Πρβλ. Ἰω. 12,6. **3.** Ἰω. 12,7. **4.** Πρβλ. Ἰω. 12,8.

Ἰω. 12,3-8

370 Ταῦτα διηγούμενος ὁ εὐαγγελιστὴς Ματθαῖος οὐ σφόδρα διεξοδικῶς τὴν μνήμην αὐτῶν ἐποιήσατο, οὔτε γὰρ τὴν ἀλείψασαν τῷ μύρῳ, ἥτις ἐστίν, ἔφη, ἀλλ' ἁπλῶς καὶ ἀνωνύμως γυναῖκα ἐκάλεσεν[1]· οὔτε τὸν αἰτιασάμενον, ὅτι Ἰούδας, ἀλλ' ἁπλῶς κοινὴν αὐτὰ ἔφη τῶν μαθητῶν γενέσθαι φωνήν, οὐ πάντων κατηγορῆσαι βουλόμενος, ἀλλ' ἁπλούστερον περὶ τὴν διήγησιν ὁρμήσας. Ὁ μέντοι μακάριος Ἰωάννης κἀν τούτῳ τῆς περὶ τὸν Χριστὸν ἀγάπης τὴν ἐπιστασίαν ἐπεδείξατο· οὔτε γὰρ ἀμνημονῆσαι τῆς γυναικὸς ἠνέσχετο, καὶ τοῦ προδότου τὸν τρόπον φανερῶς ἐξεκάλυψεν. Κἀκεῖνο δὲ ἐπισημαντέον, ὅτι Ματθαῖος μὲν εἶπεν ὡς ἐπὶ τῆς κεφαλῆς ἐξέχεεν τὸ μῦρον[2], Ἰωάννης δὲ ὅτι «τοὺς πόδας ἤλειψεν καὶ ἐξέμασσε ταῖς θριξίν»[3], ὡς δῆλον εἶναι ἐντεῦθεν ὅτι ἀμφότερα γέγονεν. Ἀλλ' ὁ μὲν μόνην ἔφη τὴν κεφαλὴν ἀπεριεργότερον, ὁ δὲ τοὺς πόδας, τὸ παραλειφθὲν ἐκεῖνο εἰπὼν ὃ μᾶλλον καὶ πολλὴν εἶχε τὴν ἀπόδειξιν τῆς περὶ τὸν Χριστὸν ἀγάπης.

Ὁ μὲν οὖν Ματθαῖος οὐ μέμνηται τοῦ ὀνόματος τῆς γυναικός, οὔτε ὅτι μόνον Ἰούδας ἐμέμψατο αὐτήν, οὔτε ὅτι «τοὺς πόδας αὐτοῦ ἤλειψεν»[4], ἀλλὰ μόνην τὴν κεφαλήν, ἅπερ πάντα τελείως εἶπεν ὁ Ἰωάννης, ἵνα καὶ τῆς γυναικὸς δημοσιεύσῃ τὴν πρὸς τὸν Χριστὸν ἀγάπην καὶ τοῦ προδότου τὴν κακίστην γνώμην.

---

1. Πρβλ. Ματθ. 26,7. **2.** Ἔνθ' ἀν. **3.** Ἰω. 12,3. **4.** Ἔνθ' ἀν.

Ἰω. 12,9-12

371 [768] Τάχα γάρ τί που καὶ ἀκούσεσθαι καινὸν προσεδόκων παρ' αὐτοῦ, ὡς ἀπὸ ξένων καὶ ἀγνώστων τοῖς ἀνθρώποις ἥκοντος τόπων. Ὅθεν οἱ ἀρχιερεῖς θεασάμενοι ὅτι τοῦτο μάλιστα τὸ πλῆθος πρὸς τὴν θέαν ἐφέλκεται ἡ τοῦ Λαζάρου ἐπιθυμία, ἐβουλεύοντο καὶ αὐτὸν συναποκτεῖναι τῷ Χριστῷ τὸν Λάζαρον, ὁρῶντες ὅτι μηδὲ μέχρι μόνης ἵστατο τῆς θέας τοῦ Λαζάρου τὸ πλῆθος, ἀλλ' εὖ εἰδότες ὡς ὁρῶντες ἐκεῖνον δι' ἐκείνου τῇ πίστει τοῦ Χριστοῦ προσήγοντο, ὥσπερ οὐ δυναμένου τοῦ ἅπαξ αὐτὸν ἀναστήσαντος καὶ πάλιν ἐγεῖραι, ἂν δέῃ.

Συνέτρεχον δὲ οἱ ὄχλοι οὐ μόνον ἵνα τὸν Χριστὸν ἴδωσιν, ἀλλὰ καὶ τὸν ἐκ νεκρῶν ἀναστάντα[1].

Τάχα που καὶ καινὸν ἀκούσεσθαί τι παρ' αὐτοῦ προσδοκῶντες, ὡς ἀπὸ ξένων καὶ ἀγνώστων τοῖς ἀνθρώποις ἥκοντος τόπων. Οἱ ἀρχιερεῖς θεασάμενοι ὅτι τοῦτο μάλιστα τὸ πλῆθος ἐπεσπᾶτο πρὸς θέαν, ἐβούλοντο καὶ τὸν Λάζαρον συναποκτεῖναι τῷ Χριστῷ[2], ἐπειδὴ δι' ὧν ἑώρων τὸν Λάζαρον ἐπὶ τὴν εἰς Χριστὸν ἤγοντο πίστιν[3], ὡς οὐ δυναμένου τοῦ ἐγείραντος αὐτὸν ἐκ νεκρῶν πάλιν αὐτὸν ἀναστῆσαι.

Ἰω. 12,13-14

Ὁ Ματθαῖος καὶ παρὰ τῶν παίδων λέγει γεγενῆσθαι τὰς τοιαύτας φωνάς[4], ὅτε τῶν Ἰουδαίων ἐγκαλούντων ἐπὶ τούτῳ παρέπεμψεν αὐτοὺς ἐπὶ τὴν τοῦ Δαβὶδ προφητείαν ἵνα δυσωπηθῶσι, νῦν ὁρῶντες ἅπερ ἔκπαλαι προδιεκηρύχθη[5].

Ὡς οὖν εἰρημένα ἐκεῖνα τῷ Ματθαίῳ παρῆκεν αὐτὰ ὁ Ἰωάννης.

Ὁ δὲ Ματθαῖος δείκνυσιν ὅτι

Ὡς τελείως εἰρημένου τοῦ διηγήματος τῷ Ματθαίῳ παρατρέχει αὐτῷ ὁ Ἰωάννης, μόνον εἰπὼν ὅτι διὰ τοῦτο ἐκάθι-

---

1. Πρβλ. Ἰω. 12,9. **2.** Πρβλ. Ἰω. 12,10. **3.** Πρβλ. Ἰω. 12,11. **4.** Πρβλ. Ματθ. 11,16. **5.** Πρβλ. Ψαλ. 8,3.

οὐ κατὰ ταὐτὸν γέγονε ταῦτα, ἀλλ' ὕστερον τὰ κατὰ τοὺς παῖδας μετὰ τὴν ἐν τῷ ἱερῷ εἴσοδον.

σεν ἐπὶ τοῦ ὀναρίου ἵνα τὴν προφητείαν πληρώσῃ.

Ἰω. 12,16

Ταῦτα προστέθεικε διδάξαι θέλων ὅτι οὐδὲν ἠπίσταντο τῆς Γραφῆς πρὸ τῆς ἀναστάσεως[1], πλὴν τοσαύτης ἔτυχον χάριτος μετὰ ταῦτα ὡς πάντα τρανῶς εἰδέναι.

Ἰω. 12,17-18

372 Τὴν αἰτίαν εἶπε δι' ἣν μάλιστα τὸ πλῆθος πρὸς τὴν ὑπάντησιν ἐκινήθησαν[2]. Ὡς νικητῇ δὲ τοῦ θανάτου, τῷ Χριστῷ ὑπήντησαν μετὰ βαΐων ἀνυμνοῦντες αὐτόν, ὃν ἤλπιζον μὲν λυθήσεσθαι ἀκούοντες παρὰ τῶν Προφητῶν, εἶδον δὲ αὐτῷ ἐκβάντι τῇ τοῦ Χριστοῦ δυνάμει· τετραήμερον γὰρ ἤγειρε νεκρόν[3].

Ἰω. 12,19

Δυσφοροῦσιν ἐπὶ τούτῳ οἱ Φαρισαῖοι, ὡς καὶ ἐγκαλεῖν ἀλλήλοις ὅτι μάτην ἐπιβουλεύουσιν οὐδὲν ἀνύοντες, τοῦ πλήθους ὅλου προστεθέντος αὐτῷ[4].

Ἰω. 12,20-22

[768] Ἐπειδὴ διὰ τῶν ἑκάστοτε γινομένων περὶ τοὺς Ἰουδαίους θαυμάτων σφόδρα καὶ τὸν ναὸν αὐτὸν σεπτὸν εἶναι συνέβαινε, πολλοὶ καὶ τῶν Ἑλ-

Διὰ τῶν γινομένων ἀεὶ περὶ τοὺς Ἰουδαίους θαυμάτων πολλοὶ τῶν Ἑλλήνων, εἰ καὶ μὴ παντὶ τῷ νόμῳ ἐκέχρηντο, ἀνίεσαν γοῦν τῷ Θεῷ προσκυ-

---

1. Πρβλ. Ἰω. 12,16. **2.** Πρβλ. Ἰω. 12,17. **3.** Πρβλ. Ἰω. 12,18. **4.** Πρβλ. Ἰω. 12,19.

λήνων, εἰ καὶ μὴ πάντη μετεῖχον τῶν νομίμων, ἀνίεσαν γοῦν τῷ Θεῷ προσκυνήσοντες καὶ τῆς ἑορτῆς καθ' ὅσον οἷόν τε μεθέξοντες[1]. νήσοντες «ἐν τῇ ἑορτῇ» εἰς τὸν ναόν, ὡς ἅτε δὴ σεπτοῦ ὄντος τοῦ τόπου.

Οὗτοι μαθόντες τὰ γεγονότα προσῆλθον τῷ μαθητῇ, ὁ δὲ μὴ ἐπιτρέψας μόνῳ ἑαυτῷ τὴν μήνυσιν, διὰ τὸ ἐκ τοῦ νόμου μὴ συγχωρεῖσθαι τούτοις κοινωνεῖν, ἀνακοινοῦνται τῷ Ἀνδρέᾳ καὶ κοινῇ ἀπήγγειλαν τοῦτο τῷ Ἰησοῦ[2].

Ἰω. 12,23

Ἐγγύς, φησίν, ὁ καιρὸς τοῦ γενέσθαι με παρὰ πᾶσιν ἐπίδοξον καὶ προσκυνεῖσθαι παρὰ πάσης τῆς κτίσεως ὡς Θεόν[3], εἰ καὶ ἐν ἀνθρώπου σχήματι γέγονα ἄνθρωπος ἀτρέπτως γεγονώς.

Ἰω. 12,24

373 Ἐπειδὴ καινόν τι καὶ παράδοξον εἶπε, καὶ ἐδόκει ἐναντίον εἶναι τοῖς λεχθεῖσι τὸ μέλλον ἔσεσθαι αὐτοῦ πάθος, ἀπὸ τῆς παραβολῆς πιστοῦται τὰ ἴδια, μονονουχὶ λέγων μηδὲν ὁ θάνατος ὁ ἐμὸς πτοείτω ὑμᾶς. Ὡς γὰρ ὁ σῖτος ἐὰν πεσὼν διαφθαρῇ, μετὰ πλείονος ἀναθάλλει δόξης καὶ χλόης καὶ πολυπληθίας,[4] οὕτω καὶ ἐπὶ ἐμοῦ· νομίζετε νῦν μὲν εἶναί με ἄδοξον ὡς μόνον ἐῤῥιμμένον μετὰ τῶν πολλῶν, ἐπὰν δὲ πάθω καὶ ἀποθάνω μετὰ πολλῆς ἀνίσταμαι τῆς δόξης καὶ τότε οἴσω πολὺν τὸν καρπόν, τότε με πάντες ἐπιγνώσονται ὅτι Θεός εἰμι.

---

1. Πρβλ. Ἰω. 12,20. **2.** Πρβλ. Ἰω. 12,22. **3.** Πρβλ. Ἰω. 12,23. **4.** Πρβλ. Ἰω. 12,24.

'Ιω. 12,25

Οὐ μόνον ὑμᾶς ἐπὶ τῷ ἐμῷ σκανδαλίζεσθαι οὐ χρὴ πάθει, οὐδὲ ἀπιστεῖν οἷς εἶπον, ἀλλὰ καὶ πρὸς τοῦτο παρεσκευάσθαι προσήκει. Ὁ γὰρ δοκῶν ἐνταῦθα ἐπιμελεῖσθαι τῆς ἰδίας ψυχῆς καὶ οὐ θέλων αὐτὴν εἰς κινδύνους ἐκδιδόναι δι' ἐμὲ ἀπόλλυσιν αὐτὴν ἐν τῷ μέλλοντι καιρῷ[1] ὁ δὲ εἰς κινδύνους αὐτὴν διδοὺς ἐν τῷ νῦν αἰῶνι, μεγάλους αὐτῇ φυλάσσει τοὺς καρπούς. **[769]** Ταῦτα δὲ ἔφη, οὐχ ὡς τῆς ψυχῆς ἐνταῦθά τι πασχούσης, ἀλλὰ τῆς ψυχῆς φιλίαν καλέσας τὸ δοκεῖν αὐτὴν κατέχειν καὶ ὥσπερ συντηρεῖν, οὐ προδιδόντα τοῖς συμβαίνουσι κινδύνοις τὸ σῶμα.

Προτρέπεται τοὺς μαθητὰς ὁ Κύριος διὰ τούτων ἐπὶ τὴν ὁμοίαν γνώμην.

Οὐ γὰρ μόνον ὑμᾶς οὐ χρὴ ἐπὶ τῷ ἐμῷ σκανδαλίζεσθαι πάθει, οὐδὲ ἀπιστεῖν οἷς εἶπον, ἀλλὰ καὶ ὑμᾶς πρὸς τοῦτο παρεσκευάσθαι προσήκει. Ὁ γὰρ δοκῶν ἐπιμελεῖσθαι ἐνταῦθα τῆς ἰδίας ψυχῆς καὶ οὐ θέλων αὐτὴν εἰς τοὺς κινδύνους ἐκδιδόναι ἀπόλλυσιν αὐτὴν ἐν τῷ μέλλοντι καιρῷ· ὁ δὲ εἰς κινδύνους αὐτὴν διδοὺς ἐν τῷ νῦν βίῳ, μεγάλους αὐτῇ φυλάσσει τοὺς καρπούς. Ταῦτα δὲ ἔφη, οὐχ ὡς ψυχῆς ἐνταῦθά τι πασχούσης, ἀλλὰ τῆς ψυχῆς φιλίαν καλεῖ τὸ δοκεῖν αὐτὴν κατέχειν, οὐ προδιδόντας εἰς κινδύνους τὸ σῶμα.

'Ιω. 12,26

374 Ὁ θέλων εἶναί μου διάκονος ἐπὶ τῶν ἔργων δεικνύτω τὴν ἀκολούθησιν· τὸ δὲ κέρδος, ὅτι κοινωνήσει μοι τῆς τιμῆς ὁ τοῖς κινδύνοις κοινωνῶν, καὶ σύνεσταί μοι ἐν τῷ αἰῶνι τῷ μέλλοντι συναπολαύων Βασιλείας οὐρανῶν. Ταύτῃ γὰρ τιμᾷ τῇ τιμῇ ὁ Πατὴρ τοὺς γνησίως μοι διακονουμένους[2].

---

1. Πρβλ. 'Ιω. 12,25. **2.** Πρβλ. 'Ιω. 12,26.

Ἰω. 12,26

Ἀντὶ τοῦ καὶ διὰ τῶν προλαβόντων θαυμάτων ἑαυτὸν καταφανῆ ἐποίησε, καὶ καταφανέστερον δὲ ἐκ τῶν ἑξῆς ποιήσω.

Ἰω. 12,27

Προτροπὴ τῶν καλῶν ἔσται τὰ κατ' ἐμέ. Ἰδοὺ γὰρ κἀγὼ τῇ τοῦ πάθους προσδοκίᾳ θορυβοῦμαι τὴν ψυχήν[1], καὶ οὐκ αἰτῶ παρὰ τοῦ Πατρὸς τὸ σωθῆναι· ἀπρεπὲς γὰρ εἰδὼς ἐκ τοῦ ἐναντίου καλὸν τοῦτο τὸ κινδυνεύειν ὑπὲρ τῆς ἀληθείας, ἕνεκεν τούτου εἰς ταύτην ἐμαυτὸν τὴν προσδοκίαν κατέστησα.

Ἰω. 12,28

Οὐκ αἰτῶ σωθῆναι εἰ καὶ ἐδειλίασα, ἀπρεπὲς γάρ. Νικῶ γὰρ τὸ πάθος διὰ τὸ καλὸν εἶναι κινδυνεύειν ὑπὲρ τῆς ἀληθείας, ἀλλά, φημί, «Πάτερ, δόξασόν σου τὸ ὄνομα»[2]. Ταῦτα, φησίν, αἰτῶ ἃ τῷ Θεῷ πολλῆς αἴτια γίνεται δόξης. Οὕτω γὰρ καὶ ὑμᾶς θέλω ποιεῖν τὰ Θεῷ ἀρεστὰ καὶ ποιοῦντα τὸν Θεὸν ἐπίδοξον, δι' ὧν ὑμεῖς κινδυνεύετε, γνώριμον αὐτὸν ἄλλοις ποιοῦντες οἷός ἐστιν.

Ἰω. 12,29-30

Ἐγένετο φωνὴ ἐκ τοῦ οὐρανοῦ εἰς μείζονα πίστωσιν τῶν πρὸς τοὺς μαθητὰς εἰρημένων. Δῆλον δὲ ὅτι ἀσημοτέρα ἡ φωνὴ ἐγένετο, καὶ διὰ τοῦτο σχίζεται τὸ πλῆθος, τῶν μὲν Ἄγγελον, τῶν δὲ βροντὴν νομιζόντων[3], **375** ἤχῳ μᾶλλον τοὺς παρόντας καταπλήξασα. Τοῖς

Σχιζομένου τοῦ πλήθους, καὶ τῶν μὲν βροντήν, τῶν δὲ Ἄγγελον λεγόντων λελαληκέναι αὐτῷ· ἀσημοτέρα γὰρ ἦν ἡ φωνή, ἣν τῷ ἤχῳ τῷ πλήθει, ἴσως δὲ ὅτι διὰ θείας ἀποκαλύψεως εὔσημος ἦν γεγονυῖα τοῖς μαθηταῖς.

Ὁ Χριστὸς ἐπάγει λέγων «οὐ

---

1. Πρβλ. Ἰω. 12,27. **2.** Ἰω. 12,28. **3.** Πρβλ. Ἰω. 12,29.

δὲ μαθηταῖς ἴσως, πρὸς οὓς καὶ ὁ λόγος ἐγένετο τοῦ Κυρίου, καταφανὲς τὸ εἰρημένον τῆς ἀποκαλύψεως κατέστη.

δι' ἐμέ» τοῦτο ἐλέχθη, οὐ γὰρ ἐδεόμην μαθεῖν ὅτι δοξάσει με (ᾔδειν γὰρ ὅτι ἔσται), διὸ οὐδὲ αἰτεῖν ἔχρῃζον ὃ ᾔδειν ὅτι ποιήσει· «ἀλλὰ δι' ὑμᾶς»[1] γέγονεν ἡ φωνή, ἵνα μάθητε κἀμέ, τίς εἰμι, ἐξ ὧν οὐρανόθεν ἔχω τὸν ἀντιφθεγγόμενον, καὶ ὅσα μέλλει μοι προσγενέσθαι μετὰ τὸν θάνατον τὸν εὐκλεῆ.

Ἰω. 12,31

Ὑπὲρ τοῦ κόσμου ἐστὶ τὸ γινόμενον· ἅπας γὰρ ὁ κόσμος ἐν ἐμοὶ κρίνεται νῦν. Διὰ γὰρ παρακοὴν ὁ πρῶτος ἄνθρωπος θανάτῳ κατακριθεὶς γέγονεν ὑπόχειρος τῷ διαβόλῳ, ὁμοίως δὲ καὶ ἑξῆς πονηροὶ γεγονότες ἐπὶ πλείω τύραννον βαρὺν ἐφ' ἑαυτοὺς ἐπεσπάσαντο τὸν διάβολον, δι' ὧν πλέον ἠσέβουν, μείζονα ἑαυτοῖς τὴν τοῦ θανάτου βασιλείαν κατασκευάζοντες. Πρὸς οὖν τοῦτον οὐδεὶς ἦν ἱκανὸς πολεμῆσαι, ὑπὲρ οὖν ἁπάντων ἀνθρώπων τῶν πάλαι καὶ τῶν νῦν καὶ εἰς αὖθις ἔδωκεν ἑαυτὸν ὁ Χριστὸς ὡς Θεὸς καὶ πάντα δυνάμενος ποιεῖν.

Κρίνεται οὖν ὁ κόσμος ἐν ἐμοὶ καὶ δι' ἐμοῦ[2]. Ἐξ ὧν γὰρ μὴ ἁμαρτήσας, ἀλλὰ πᾶν εἶδος ἀρετῆς κατορθώσας κατ' οὐδένα τρόπον εὑρέθην ἄξιος θανάτου, δέχομαι ἀδίκως τὸν θάνατον, ἵνα οὕτω δικάσωμαι κατὰ τοῦ ἀποκτείναντός με καὶ καταδικασθέντος τοῦ διαβόλου. Ἐγὼ μὲν τῶν τοῦ θανάτου δεσμῶν ἀφεθεὶς ἀναστῶ, ἀλλὰ συναναστήσω δὲ καὶ τὸ κοινὸν τῶν ἀνθρώπων γένος τῇ ἐμῇ δικαιολογίᾳ, πάντων δὲ ἐλευθερουμένων τῆς ἀποφάσεως. Ὁ δὲ κακῶς τῶν ἀνθρώπων κατὰ τόνδε τὸν βίον κρατήσας, ἔξω τῆς δεσποτείας βληθήσεται. Ἀφαιρεθήσεται γὰρ τὰ τοῦ θανάτου δεσμά, ἃ τοὺς ἀνθρώπους περιβαλὼν ἐκράτησε ῥαδίως· δι' ὧν γὰρ ἐκεῖνοι πλείω ἡμάρτανον, μείζονα κατ' αὐτῶν ὁ διάβολος ἐκτᾶτο τὴν δεσποτείαν.

1. Ἰω. 12,30. 2. Πρβλ. Ἰω. 12,31.

Ἰω. 12,32-33

Ἅπαντες τῆς ἐκείνου δουλείας ἐλευθερωθέντες ἐμοὶ οἰκειωθήσονται, ἐμοῦ μετὰ τὸν σταυρὸν καὶ τὴν Ἀνάστασιν πάντας ἕλκοντος πρὸς ἐμαυτόν. «Ἑλκύσω»[1] δὲ εἶπε, δεικνὺς ὅτι βιαίως ἀφαιρεῖται αὐτοὺς ἐκ τοῦ κρατοῦντος. Ἕλκει δὲ πάντας διὰ τῆς οἰκείας Ἀναστάσεως, πᾶσι τὴν ἐλπίδα τῆς ἀναστάσεως χαριζόμενος, ἧς ὕστερον, μεθέξουσιν, ἤτοι πάντα ἑαυτῷ συνάφει ἀπαλλάξας ἑαυτοὺς θα**376**νάτου καὶ τελείαν τὴν περὶ ἑαυτοῦ διδοὺς αὐτοῖς γνῶσιν[2]. Ὁ δὲ εὐαγγελιστὴς τό «ὑψώθη» ἐπὶ τοῦ σταυρωθῆναι εἶπεν.

Ἰω. 12,34

Δῆλον ἐκ τούτου ὅτι μεγίστην δόξαν εἶχον περὶ Χριστοῦ οἱ Ἰουδαῖοι· τὸ γάρ «μένει εἰς τὸν αἰῶνα»[3] δηλοῖ ὅτι οὐκ ἀποθανεῖται. Προσεδόκων γὰρ αὐτὸν κατὰ τὸν Ἠλίαν μένειν. Οὐ θαυμαστὸν δὲ εἰ ἐσχίζοντο πρὸς τὰς προῤῥήσεις οἱ Ἰουδαῖοι, πρὸ τῶν πραγμάτων ἀγνοοῦντες τὴν τῶν λόγων ἀκρίβειαν.

Ἰω. 12,35

[772] Παραδείγματι ἔδειξε καὶ ὅτι πειραθῆναι δεῖ τοῦ θανάτου καὶ ὅτι οὐ μένει ἀποθανών, φῶς ἑαυτὸν ὀνομάσας. Ὥσπερ γὰρ τὸ ἡλιακὸν τοῦτο φῶς, φησίν, ἀποχωροῦν τοῖς οὐχ ὁρῶσιν οὐδὲ εἶναι δοκεῖ, οὐ μὴν ἀποσβέννυται πάντη καὶ ἀπόλλυται, μένει δὲ ἐν τῇ οἰκείᾳ φύσει τε καὶ ὑπάρξει, καὶ κατὰ καιρὸν ἀναφαινόμενον τὸν προσήκοντα, οὕτω δῆτα καὶ περὶ ἐμοῦ νομίζετε. Οὐ γὰρ ἀποθνήσκω, ὡς μένων ἐν τῷ θανάτῳ, ἐπείπερ οὐ διαφθαρήσεταί μου τὸ σῶμα, πρὸς ὀλίγον δὲ τῆς ψυχῆς χωρισθείσης ἀπὸ τοῦ σώματος, αὖθις τὸ μὲν ἀναστήσεται, ἡ δὲ τὸ οἰκεῖον ἄφθαρτον ἀπολήψεται[4].

Τὸ γὰρ εἰπεῖν «ἐν ὑμῖν» σημαίνει ὅτι οὐ πάντη ἀπολήγει, ἀλλ' αὐτῶν ἀφίσταται. Τῇ οὖν ἐμῇ παραινέσει πειθόμενοι οὔτε ἀγνοίᾳ ἀπαθεῖς ἔστε, οὔτε πείσεσθε ἅπερ οἱ ἐν σκοτίᾳ.

---

1. Ἰω. 12,32. 2. Πρβλ. Ἰω. 12,33. 3. Ἰω. 12,34. 4. Πρβλ. Ἰω. 12,35.

Ἐν τάξει τέκνων γίνεσθε[1] ὅταν εἰς ἐμὲ πιστεύσητε καὶ ἐκτελῆτε τὴν ἐμὴν διδασκαλίαν, φωτὸς δίκην λάμπουσαν ἐν ταῖς ὑμετέραις ψυχαῖς διὰ παντός.

Ἰω. 12,36

377 [772]«Ἀπεκρύβη ἀπ' αὐτῶν»[2] φυλάττων δηλονότι κατὰ τὴν προσήκουσαν ἡμέραν ἑαυτὸν τῷ πάθει. Αὕτη δὲ ἦν ἡ τοῦ Πάσχα, καθ' ἣν νέον πάσχα κατασκευάζειν ἔμελλεν, ἀντὶ τοῦ παρὰ Ἰουδαίοις προβάτου λογικὸν ἀμνὸν ἑαυτὸν ὑπὲρ τῆς τοῦ κόσμου προσάγων ἁμαρτίας.

Φυλάττων ἑαυτὸν κατὰ τὴν προσήκουσαν ἡμέραν τῷ πάθει· αὕτη δὲ ἦν ἡ τοῦ Πάσχα.

Ἰω. 12,37-38

Οὐκ ἐπειδὴ εἶπεν Ἡσαΐας οὐκ ἐπίστευον (πῶς γὰρ εἶπεν αὐτοὺς ἀπὸ τῆς προῤῥήσεως ἄκοντας βιασθῆναι;) ἀλλ' ὅτι δύσκολοι ἦσαν εἰς τὸ πιστεύειν[3]. Καὶ οὐδὲν καινόν· ἔκπαλαι γὰρ προανεφωνήθη τοῦτο.

Ἰω. 12,41

Ὧδε ὁ εὐαγγελιστὴς τὴν τοῦ Χριστοῦ «δόξαν»[4] ὤφθαι τῷ Ἡσαΐᾳ, Παῦλος δὲ τό «Πνεῦμα»· κοινὴ γάρ ἐστι Πατρὸς καὶ Υἱοῦ καὶ Ἁγίου Πνεύματος ἡ δόξα. Διὸ οὐκ ἀκριβολογεῖται ἡ Γραφὴ τίνος ἦν ἡ δόξα, ὅθεν οὐδὲ μάχονται ὁ Παῦλος καὶ ὁ Ἰωάννης, ὁ μὲν τοῦτο, ὁ δὲ ἐκεῖνο εἰπών.

Παρέδραμε τοῦτο ὡς τῆς ἀνωτέρω ἐχόμενον ἐννοίας. Οὐ μόνος δὲ ὁ εὐαγγελιστής, ἀλλὰ καὶ ὁ Παῦλος παρήγαγε τὴν μαρτυ-

---

1. Πρβλ. Ἰω. 12,36. **2.** Ἰω. 12,36. **3.** Πρβλ. Ἰω. 12,38. Ἠσ. 6,1. Πράξ. 28,25-27. **4.** Ἰω. 12,41.



ρίαν ταύτην, βουλόμενος δεῖξαι ὅτι ἔκπαλαι οἱ Προφῆται ᾔδεισαν τῶν Ἰουδαίων τὴν ἀπιστίαν καὶ τὴν ἀποβολήν[1].

Ἰω. 12,42-43

«Οὐχ ὡμολόγουν»[2], φοβούμενοι μὴ τῆς ἀρχῆς ἐκβληθῶσι, προτιμοτέραν θέμενοι τὴν παρὰ ἀνθρώποις δόξαν τῆς τοῦ Θεοῦ[3].

Ἰω. 12,44-45

Ἐναντία εἰσὶ τὰ λεγόμενα. Τὸ μὲν γὰρ πολλὴν ἐμφαίνει τὴν διαφοράν, τὸ δὲ πολλὴν δείκνυσι τὴν ὁμοιότητα. Ὁ γὰρ διὰ τούτου θεωρῶν ἐκεῖνον, δι' ὁμοιότητος δηλονότι τῇ θεωρίᾳ προσάγεται. Ἀλλ' ἐπειδήπερ ἐκεῖνα ἔφη τὴν ἀπολογίαν αὐτοῖς ἀναιρῶν, ὥστε μὴ εἰς πολλὴν ταπεινότητα καταπεσεῖν ἐκ τῶν λόγων, τῇ ἐπαγωγῇ τὴν ὁμοιότητα ἐνέφηνεν· δι' ἑκατέρων μέντοι ὅτι μὴ τοῦ Πατρὸς ἀφίστησι δείκνυται, διά τε τῶν προτέρων οἷς ἐχρήσατο διὰ τοὺς ἀπειθοῦντας, καὶ διὰ τοῦτο κυριώτερον. Τὸ γὰρ ἀκριβὲς τῆς ὁμοιότητος κοινὴν δηλονότι τοῖς πιστεύουσιν τὴν ἐπίγνωσιν ἐχαρίζετο καὶ οὐκ ἀφίστη τούτους ἐκείνου.

Ἐπειδὴ ὡς ἐκδικοῦντες τὸν Θεόν, φησίν, ἐδίωκον αὐτόν, διὰ τοῦτο εἶπεν οὕτως ὅτι «ὁ εἰς ἐμὲ πιστεύων **378** οὐ πιστεύει εἰς ἐμέ, ἀλλ' εἰς τὸν πέμψαντά με»[4]. Εἰς ἐκεῖνον, φησίν, ὑμᾶς ἀνάγω· ὁ γὰρ πιστεύων εἰς ἐμὲ δι' ἐμοῦ τὸν Πατέρα ἐπιγινώσκει. Καὶ οὗτος τῶν ῥημάτων ὁ σκοπός. Τὸ δὲ εἰπεῖν «ὁ ἐμὲ θεωρῶν θεωρεῖ τὸν πέμψαντά με»[5] δοκεῖ ἐναντίον εἶναι.

Τὸ γὰρ ἄνω διαφορὰν ἐμφαίνει, τοῦτο δὲ πολλὴν ὁμοιότητα. Ἀλλ' ἐπειδὴ πολλὴν εἶχε τὰ πρῶτα ταπείνωσιν, εἰκότως ταῦτα εἶπε δηλῶν τὴν ὁμοιότητα. Διὰ δὲ ἑκατέρων δείκνυσιν ὅτι οὐκ ἀφίσταταί ποτε τοῦ Πατρός· τὰ γὰρ πρῶτα εἶπε διὰ τοὺς ἀπίστους, τὰ δεύτερα δὲ διὰ τὴν ἀκρίβειαν τῆς ὁμοιότητος, κοινῇ δηλονότι τὴν ἐπί-

---

1. Πρβλ. Ρωμ. 10,16. **2.** Ἰω. 12,42. **3.** Πρβλ. Ἰω. 12,43. **4.** Ἰω. 12,44. **5.** Ἰω. 12,45.

γνωσιν τοῖς πιστεύουσι χαριζομένης καὶ οὐκ ἀφιστώσης τούτους ἐξ ἐκείνων.

'Ιω. 12,46

Τάξιν ἐπέχων φωτὸς διὰ τῆς παρουσίας[1], ἑαυτὸν ἡμῖν γνωρίζει καὶ τὸν Πατέρα ὡς καὶ τὸ φῶς φανὲν ἑαυτῷ τε γνωρίζει καὶ τὰ ὁρώμενα.

'Ιω. 12,47-48

῾Ο μὴ πιστεύων τοῖς ἐμοῖς λόγοις οὐ κριθήσεται παρ' ἐμοῦ (οὐ γὰρ ἐπὶ τὸ κρῖναι ἦλθον, ἀλλὰ διὰ τὸ σῶσαι)[2], ὁ οὖν παρ' ἐμοῦ λαληθείς «λόγος» αὐτός «κρινεῖ»[3] ὑμᾶς.

'Επειδὴ δὲ ἀκατάλληλα εἶναι δοκεῖ τά «ῥήματα» ἐὰν ἐπὶ μόνης στῶμεν τῆς λέξεως (οὐ γὰρ δυνατὸν εἰπεῖν ὅτι ὁ Υἱὸς οὐ κρίνει, ᾧ πᾶσαν δέδωκεν ὁ Πατὴρ τὴν κρίσιν, οὐδὲ ὅτι ὁ λόγος προσωποποιούμενος, ὃν ἐλάλησε, κρινεῖ αὐτούς), αὐτὸς οὖν ἐστιν ὁ κρίνων, ἀλλὰ νῦν, ὡς καὶ ἀλλαχοῦ, αἰνιγματωδῶς λαλεῖ καὶ ἐλέγχει διὰ τὴν ἀπιστίαν τῶν 'Ιουδαίων καὶ ὅτι οὐ **379** προσεδέχοντο. ῾Ο οὖν σκοπὸς τῶν λόγων οὗτος. 'Εμοὶ μὲν ὁ τῆς παρουσίας σκοπὸς ἡ πάντων σωτηρία, οἱ δὲ ἀπειθοῦντες κατακριθήσονται. ῞Οσον μὲν κατὰ τὸν ἐμὸν σκοπόν, οὐ παρ' ἐμοῦ, — οὐ γὰρ τοῦτο ἠβουλόμην, — διὰ τὴν ἀπείθειαν δὲ αὐτῶν ὑπὸ τῶν ἐμῶν λόγων κατακριθήσονται, οἵτινες ἐν τῇ κρίσει οὐδεμίαν αὐτοῖς ἀπειθήσασι καταλείψουσιν ἀπολογίαν. Οὗτοι δέ εἰσιν οἷς εἶπον ὅτι οὐδὲν ἐναντίον βουλεύομαι τῷ Πατρί, οὐδὲ ἴδιον ποιῶ θέλημα, καὶ ὅτι πρὸς αὐτὸν ὑμᾶς ἀνῆγον καὶ διεμαρτυρόμην ταῦτα. ῾Υπὸ οὖν τούτων τῶν λόγων κατακριθήσεσθε· οὐ γὰρ ἔχετε πρόφασιν ὅτι διὰ τὸ ἐκδικεῖν τὸν Θεὸν ἠπειθήσατέ μοι.

1. Πρβλ. 'Ιω. 12,46. **2.** Πρβλ. 'Ιω. 12,47. **3.** 'Ιω. 12,48.

Ἰω. 12,49-50

Διὰ τοὺς Ἰουδαίους οὕτω λαλεῖ, ὅπερ σημαίνει τοῦτο. Οὐδὲν ἐναντίον φθέγγομαι τῷ Πατρί, οὐδὲν ὡς ἴδιον ἐμοῦ μόνου καὶ ἀλλότριον τοῦ Πατρός, οὐδὲ εἰς ἐμαυτὸν ὑμᾶς εἵλκυσα τοῦ Πατρὸς ἀφιστῶν. Ἐπειδὴ δὲ εἶπεν ὁ εὐαγγελιστὴς ὅτι «ἐκρύβη ἀπ' αὐτῶν» καὶ ἐπήγαγε ταῦτα δὲ ἐλάλησε[1], δηλονότι πρὸ τοῦ κρυβῆναι· ἅπερ ἀκούσαντες οἱ Ἰουδαῖοι μετὰ καὶ τοῦ ἰδεῖν τοσαῦτα σημεῖα καὶ εἰς σύστασιν τούτων, καὶ τῶν Προφητῶν τὰς προῤῥήσεις ὁρῶντες ἐκβάσας ἐνέμειναν τῇ οἰκείᾳ ἀπιστίᾳ[2].

Ἰω. 13,1

Οὐ μόνον ἐκ τῶν προλαβόντων, ἀλλὰ καὶ ἐκ τῶν νῦν δείκνυσιν ὁ εὐαγγελιστὴς ὅτι οὔτε ἀγνοῶν, οὔτε ἄκων ἦλθεν ἐπὶ τὸ πάθος. Μετάβασιν δὲ λέγει τὴν ἐκ τοῦ κόσμου ἀναχώρησιν καὶ ἀνάληψιν πρὸς τὸν Πατέρα, ἐπειδὴ οὐκέτι ἤμελλε μετὰ τῶν ἀνθρώπων ποιεῖσθαι τὰς διατριβὰς ποιῶν τὰ ὅσα ἡ ἀνθρώπου φύσις ᾔτει[3].

Ἰω. 13,4-5

Τοῦτο ποιεῖ ὁ Κύριος, τὸ μέγιστον τῶν ἀρετῶν τὴν ταπεινοφροσύνην παραδιδοὺς τοῖς μαθηταῖς· ἀσκεῖν εἰδὼς ἑαυτοῦ τὴν ὑπεροχήν, καὶ ὅτι πάντων ἦν Δεσπότης, καὶ ὅτι ἐπὶ σωτηρίᾳ ἦν ἐλθών, καὶ πάλιν ὅτι ἀπῄει ὅπου ἦν σὺν τῇ ἰδίᾳ σαρκί, οὐκ ἐφυσιώθη. Ἀλλ' ἀγαπήσας τοὺς μαθητάς, καίπερ ἤδη τοῦ Ἰούδα προθεμένου αὐτὸν παραδοῦναι, ἔνιψεν αὐτῶν τοὺς πόδας λεντίῳ ζωσθεὶς[4] ἐν ᾧ καὶ τοὺς πόδας αὐτῶν ἐξέματτεν[5], οὔτε τὸ ἔργον τὸ δουλικόν, οὔτε τὸ σχῆμα αἰσχύνης ἄξιον εἶναι νομίσας. Ἵνα γὰρ δείξῃ ὁ εὐαγγελιστὴς τὸ μέγεθος τῆς ἀγάπης καί τῆς ταπεινοφροσύνης, ἁπάντων τούτων ἐμνήσθη.

Ἰω. 13,6-9

Ἐπειδὴ ἐκώλυεν αὐτὸν ὁ Πέτρος[6], φησί πρὸς αὐτὸν ὁ Κύριος

1. Πρβλ. Ἰω. 12,49. **2.** Πρβλ. Ἰω. 12,50. **3.** Πρβλ. Ἰω. 13,1. **4.** Πρβλ. Ἰω. 13,4. **5.** Πρβλ. Ἰω. 13,5. **6.** Πρβλ. Ἰω. 13,6.

ὅτι διδάξαι ὑμᾶς θέλω δι' ὧν ποιῶ οὕτω ἀλλήλους ἀγαπᾶν καὶ ὑπηρετεῖσθαι ἀλλήλοις[1]· ὃν ἀγνοῶν ὁ Πέτρος σκοπόν, ἐνέμενε πάλιν φιλονεικῶν καὶ διακωλύων αὐτόν[2].

'Ιω. 13,10

380 Οὐδεμία σοι ἔσται πρός με κοινωνία μὴ νιψαμένῳ[3].

[772] Πέτρου οἰηθέντος ἀπὸ τῆς φωνῆς ἐν βαπτίσματος χώρᾳ νίπτεσθαι, καὶ διὰ τοῦτο τὴν κοινωνίαν αὐτῷ πρὸς τὸν Κύριον γίνεσθαι, ἐντεῦθεν καὶ διὰ τοῦτο φήσαντος ὅτι ὅλον με λοῦσον, εἰ ταῦτα οὕτως ἔχει, διορθούμενος αὐτοῦ τὴν ἄγνοιαν ὁ Κύριός φησιν «λελουμένος οὐ χρείαν ἔχει» ἢ τοὺς πόδας νίψασθαι, «ἀλλ' ἔστι καθαρὸς ὅλος»[4] καὶ τὰ ἑξῆς.

Οἰηθεὶς ὁ Πέτρος ἀπὸ τῆς φωνῆς ἐν βαπτίσματος χώρᾳ νίπτεσθαι, καὶ διὰ τούτου τὴν πρὸς τὸν Κύριον αὐτῶν ἔσεσθαι κοινωνίαν, εἶπε τοῦτο.

Διὸ ὁ Κύριος ἐν τοῖς ἐπομένοις διορθοῦται αὐτοῦ τὴν ἄγνοιαν.

'Ιω. 13,10-11

Ἵνα μὴ νομίσῃ ὁ Πέτρος ὅτι λουτροῦ τάξιν ἐποιεῖτο τοῦ νιπτῆρος εἶπε ταῦτα πρὸς τὸν Πέτρον, ὅτι οὐκ ἀφέσεως ἁμαρτημάτων τοῦτό ἐστιν, ἀλλὰ τελείους μὲν ὑμᾶς ἐργάσεται εἰς ἀρετὴν ἡ ἐμὴ διδασκαλία· τελειοτέρους δὲ αὐτοὺς ἐποίει, ὡς εἰκός, καὶ ἡ τοῦ Πνεύματος κάθοδος. Ὁ οὖν εὐαγγελιστὴς ἑρμηνεύων τό «οὐχὶ πάντες»[5] εἶπεν, ὅτι διὰ τὸν 'Ιούδαν τοῦτο εἶπεν.

---

1. Πρβλ. 'Ιω. 13,7. **2.** Πρβλ. 'Ιω. 13,8-9. **3.** Πρβλ. 'Ιω. 13,8. **4.** 'Ιω. 13,10. **5.** 'Ιω. 13,11.

Ἰω. 13,14

Ἐνταῦθα τοῦ γενομένου ἀπέδωκε τὴν αἰτίαν. Ἄνω γὰρ εἰπὼν **381** πρὸς τὸν Πέτρον «γνώσῃ δὲ μετὰ ταῦτα»[1], ἐνταῦθα ἔφη, «γινώσκετε τί πεποίηκα ὑμῖν»[2] ἀντὶ τοῦ γνῶτε τοῦ γενομένου τὴν αἰτίαν καὶ τὸν σκοπόν.

Διὰ τῶν ρημάτων τούτων διδάσκει τὸν σκοπὸν δι' ὃν ἔνιψε τοὺς τῶν μαθητῶν πόδας. Ἄνω γὰρ εἰπὼν πρὸς τὸν Πέτρον «γνώσῃ δὲ μετὰ ταῦτα», ὧδέ φησι, «γινώσκετε τί πεποίηκα ὑμῖν», ἀντὶ τοῦ γνῶτε τοῦ γεγονότος τὴν αἰτίαν. Διὰ τοῦτο γάρ «ἔνιψα τοὺς πόδας ὑμῶν»[3], ἵνα ἐξ ἐμοῦ τὸ ὑπόδειγμα λαβόντες τὸ αὐτὸ ποιῆτε. Εἰ γάρ «ὁ Κύριος καὶ ὁ διδάσκαλος» πεποίηκα τοῦτο, οὐκοῦν καὶ ὑμεῖς ὀφείλετε ποιεῖν αὐτὸ δίχα αἰσχύνης.

Ἰω. 13,16-17

Ἐπισφίγγων τὰ προλαβόντα φησὶ τοῦτο. Δῆλον δὲ ὅτι ἐν ὅσῳ τις τὴν δούλου ἐπέχει τάξιν οὐ δύναται μείζων εἶναι τοῦ ἰδίου Δεσπότου[4], οὐδὲ ὁ ἀποστελλόμενος ἐν ὅσῳ ποιεῖ τὴν τῆς ἀποστολῆς χρείαν τοῦ ἀποστείλαντος. Οὐκ ἀρκεῖ οὖν μόνον τὸ εἰδέναι ταῦτα, ἀλλὰ καὶ τῆς πράξεως αὐτῶν ἐπιμελεῖσθαι[5].

Ἰω. 13,18

Οὐ ταῦτα λέγω, φησί, πρὸς πάντας ὑμᾶς. Οἶδα γὰρ τὸν ἐξ ὑμῶν προδότην ἐσόμενον, ὡς ἐπαληθεύειν ἐπ' αὐτὸν τὴν Γραφὴν ὅτι ὁ συνεσθίων μοι μείζονα τὴν ἀπάτην ἐπιδείξεται[6]. Ἐμνήσθη οὖν τοῦ λογίου ὡς ἀπὸ τῶν πραγμάτων ἁρμόζοντος ἐπὶ τοῦ προδότου.

1. Ἰω. 13,7. **2.** Ἰω. 13,12. **3.** Ἰω. 13,14. **4.** Πρβλ. Ἰω. 13,16. **5.** Πρβλ. Ἰω. 13,17. **6.** Πρβλ. Ἰω. 13,18.

'Ιω. 13,19

'Ηδυνάμην μὲν οὖν, φησί, σιωπῆσαι· ἵνα δὲ μὴ οἰηθῆτε ὅτι ἀγνοῶ τῶν συνόντων μοι τὸν τρόπον τὸ μέλλον ἔσεσθαι, διὰ τοῦτο πρὸ τῆς ἐκβάσεως λέγω, ἵνα μετὰ τὴν ἔκβασιν γνῶτε ὅτι Θεός εἰμι φύσει[1].

'Ιω. 13,20

Εἰ καὶ ὡς 'Απόστολοί μου ἀποστέλλεσθε, ἀλλὰ τοσοῦτον ἐστὲ μεγάλοι, ὅτι πᾶς ὁ ὑμᾶς ὑποδεξάμενος δοκεῖ ἐμὲ ὑποδεδέχθαι, ὡς καὶ ὁ ἐμὲ λαμβάνων τὸν Πατέρα ὑπεδέξατο[2].

'Ιω. 13,21

῞Ωσπερ δὲ ἐπὶ τοῦ Λαζάρου τό «ἐνεβριμήσατο τῷ πνεύματι»[3] εἶπεν, — ἐπειδὴ τὸ μέλλον προορῶν τὴν ὀρ**382**γὴν ἐνεδείκνυτο, ὥστε δεῖξαι ὅτι ἐκείνων τῶν οὐ γινομένων τὴν γνῶσιν ἔχων ὡς ἐπὶ παροῦσιν ὀργίζεται, — οὕτως ἐνταῦθά φησιν αὐτὸν ἐπὶ τῇ ἐσομένῃ τοῦ 'Ιούδα προδοσίᾳ τεταράχθαι, ἐκπληττόμενον τῆς μοχθηρίας τοῦ τρόπου τὴν ὑπερβολήν.

῾Ως ἐπὶ τοῦ Λαζάρου τὸ μέλλον προορῶν, τὴν ὀργὴν ἐνεδείκνυτο διὰ τῆς ἐμβριμήσεως, οὕτω καὶ ὧδε ἐπὶ τῇ ἐσομένῃ τοῦ 'Ιούδα προδοσίᾳ ἐταράχθη, ἐκπληττόμενος τῆς μοχθηρίας τοῦ τρόπου τὴν ὑπερβολήν.

'Ιω. 13,21-26

[772] 'Ανακειμένῳ τῷ 'Ιωάννῃ (αὐτῷ δὴ τούτῳ τῷ καὶ τὸ Εὐαγγέλιον γεγραφότι) ἐπὶ τοῦ κόλπου τοῦ 'Ιησοῦ, νεύει

῞Ωσπερ ἐγγυτέρῳ ὄντι καὶ δυναμένῳ ἡσυχῇ μαθεῖν τίς ἐστιν ὁ προδώσων αὐτὸν ἔνευσεν ὁ Πέτρος τῷ 'Ιωάννῃ. Διὸ

---

1. Πρβλ. 'Ιω. 13,19. **2.** Πρβλ. 'Ιω. 13,20. **3.** 'Ιω. 13,21.

Πέτρος[1] ὡς ἂν ἐγγυτέρῳ [773] ὄντι καὶ δυναμένῳ ἡσυχῇ πυθέσθαι παρ' αὐτοῦ, τίς ἄρα εἴη ὁ προδώσων αὐτόν. Ἀναπεσὼν οὖν ἐπὶ τὸ στῆθος τοῦ Ἰησοῦ[2] ὥστε μὴ εἰς ἐξάκουστον βοῆσαι τῶν λοιπῶν, ἐπύθετο.

ἐκεῖνος ἀναπεσὼν εἰς τὸ τοῦ Ἰησοῦ στῆθος, ὥστε μὴ ἀκοῦσαι τοὺς λοιπούς, ἠρέμα αὐτὸν ἠρώτησεν.

Εἰς ἔλεγχον δὲ τοῦ πᾶσι τοῖς ἄλλοις τοῦτον κατάδηλον ποιῆσαι, δέδωκεν αὐτῷ τὸ ψωμίον[3] ἵνα ἐλέγξῃ αὐτόν, ὅτι κοινῆς μετέχων αὐτῷ τραπέζης οὔτε τὸν κοινὸν τῶν ἀνθρώπων αἰδεσθεὶς νόμον εἵλατο αὐτὸν ἐκδοῦναι εἰς θάνατον.

Ἰω. 13,27

[773] Ἐπειδὴ γὰρ ὃ κρύπτειν ἐδόκει καὶ καθ' ἑαυτὸν ἐνόμιζε μελετᾶν, καταφανὲς ἐγένετο τῇ δόσει τοῦ ψωμίου τοῖς μαθηταῖς[4]. Τοσοῦτον δὲ **383** ἀπέσχε τοῦ θαυμάσαι μὲν τὴν δύναμιν τοῦ κατὰ τὴν ψυχὴν ἐπισταμένου καὶ τοὺς ἐν κρυφῇ λογισμοὺς τοῖς πᾶσιν ἐκφαίνοντος, σωφρονισθῆναι δὲ αἰσχυθέντα τὸν ἐπὶ τῶν παρόντων ἔλεγχον, ὥστε καὶ μᾶλλον αὐτῷ βεβαιῶσαι ἐπὶ τῆς οἰκείας ψυχῆς, καὶ τὸν ἔλεγχον ἐνεγκόντα βαρέως, θᾶττον ἐπιθεῖναι τοῖς δεδογμένοις τὸ πέρας ἐπιγενέσθαι. Ταύτην εἴσοδον ἐκάλεσεν εἰκότως τοῦ Σατανᾶ ὁ εὐαγγε-

Ἐπειδὴ δημοσιευθέντος τοῦ λογισμοῦ αὐτοῦ οὐκ ἐνεθυμήθη θαυμάσαι τὸν Ἰησοῦν ὡς εἰδότα αὐτοῦ τὰ ἐν καρδίᾳ, καὶ πᾶσι τοῖς μαθηταῖς γνωρίσαντα οὐκ ἠδέσθη, ἀλλὰ καὶ μᾶλλον ἐβεβαίωσε τὸ ποιῆσαι ὃ ἐμελέτα. Ταύτην εἴσοδον εἰκότως τοῦ Σατανᾶ καλεῖ ὁ εὐαγγελιστὴς τὴν κύρωσιν τῶν τῷ διαβόλῳ καταθυμίων.

---

1. Πρβλ. Ἰω. 13,24. **2.** Πρβλ. Ἰω. 13,25. **3.** Πρβλ. Ἰω. 13,26. **4.** Πρβλ. Ἰω. 13,27.

λιστής, τὴν κύρωσιν τῶν καταθυμίων τῷ διαβόλῳ λογισμῶν.

Ἰω. 13,28-29

Ἠγνόουν τοῦτο οἱ μαθηταὶ ἐπειδὴ οὐκ ᾔδεισαν τοῦ Ἰούδα τὰ διανοήματα τῆς ψυχῆς[1].

Ἰω. 13,30

Καὶ νυκτὸς οὔσης ἐξῆλθεν ἐπὶ τὸ προκείμενον[2].

Ἰω. 13,31-32

Ἦλθε καιρός, φησί, τοῦ σφόδρα γενέσθαι ἐπίδοξον. Διὰ δὲ τῶν ἐπ' ἐμοὶ συμβαινόντων ἐν τῷ καιρῷ τοῦ σταυροῦ καὶ ὁ Πατὴρ ἔχει πάνυ θαυμασθῆναι, δι' ὧν οὕτω τιμᾷ τὸν Υἱόν. Ὅσῳ δὲ ἐξ ὧν ποιεῖ ὁ Πατὴρ δι' ἐμὲ ἐπίδοξος γίνεται, τοσούτῳ μείζονα τὴν περὶ ἐμὲ ποιεῖ δόξαν. Καὶ ταῦτα γενήσεται μετ' οὐ πολύ· οὐ γὰρ ἀτιμία τὸ πάθος, ἀλλ' εἰς δόξαν μεταστραφήσεται[3].

Ἰω. 13,33

[773] Τό «ἔτι μικρὸν μεθ' ὑμῶν εἰμι»[4], φησί, τὸν μέχρι τοῦ πάθους καιρόν. Τοῖς μὲν Ἰουδαίοις εἰπών «ζητήσετέ με» ἐπήγαγε «καὶ οὐχ εὑρήσετε»[5], ἐπειδὴ μὴ ἔμελλον ὁρᾶν αὐτὸν ἔτι. Τοῖς δὲ μαθηταῖς «ζητήσετέ με» φησί· καὶ γὰρ ἐζή**384**τουν, ὡς εἰκός, τὸ μὲν ἀπὸ τῆς διαθέσεως κινούμενοι, τὸ δὲ τοσούτου διδασκάλου τε καὶ κηδεμόνος ὁρῶντες ἑαυτοὺς ἐστερημένους, ἀλλὰ καὶ εὗρον. Εἶδον γὰρ μετὰ τὴν Ἀνάστασιν καὶ συνεγένοντο καὶ συνέφαγον ἄχρι τῆς εἰς οὐρανοὺς ἀναλήψεως. Ἀλλ' ὥσπερ, φησί, τοῖς Ἰουδαίοις εἶπον ὅτι μὴ δύνανται «ἐλθεῖν ὅπου ὑπάγω»[6], οὕτω «καὶ

---

1. Πρβλ. Ἰω. 13,28-29. **2.** Πρβλ. Ἰω. 13,30. **3.** Πρβλ. Ἰω. 13,31-32. **4.** Ἰω. 13,33. **5.** Ἰω. 7,36. **6.** Ἰω. 8,21,22. 13,33.

ὑμῖν λέγω ἄρτι», καλῶς δὲ τό «ἄρτι» προστεθεικώς. Τὸ μὲν γὰρ μὴ δύνασθαι ἀπελθεῖν ὅπουπερ ὑπῆγεν λέγει τὸ μὴ φέρειν αὐτοὺς ὁμοίως αὐτῷ κατατολμᾶν τοῦ θανάτου. Ἀμέλει πάντες μὲν ἔφυγον, Πέτρος δὲ καὶ μεθ' ὅρκων ἠρνήσατο[1]. Προσέθηκε δὲ τό «ἄρτι», δεικνὺς ὅτι ὕστερον σφόδρα τῶν κινδύνων καὶ τοῦ θανάτου καταθαῤῥήσουσι· μετὰ γὰρ τὴν τοῦ Πνεύματος κάθοδον ἔτι καὶ ἔχαιρον πάσχοντες ὑπὲρ τοῦ Χριστοῦ[2], βεβαίαν ἅπαξ περί τε τῶν μελλόντων καὶ τῶν κατὰ τὸν Χριστὸν τὴν πίστιν δεξάμενοι. Ὥστε, φησί, κἂν ὑπὸ τῆς διαθέσεως κινούμενοι ζητῆτε, — οἶδα γὰρ ὅτι τοῦτο ὑμῖν προσέσται ἀπὸ τῆς περὶ ἐμὲ ἀγάπης, — ἀλλ' «οὔπω δύνασθε» νῦν ἔργῳ τὴν διάθεσιν ἐπιδείξασθαι, τῆς φυσικῆς ἀσθενείας ἀποδειλιᾶν ὑμᾶς παρασκευαζούσης πρὸς τὸν θάνατον.

Ἰω. 13,33

Μέχρι τοῦ πάθους γὰρ ὀλίγον ἔτι καιρὸν εἶχε μεῖναι μετ' αὐτῶν.

Ἐζήτουν γὰρ αὐτὸν καὶ ὡς ἀγαπῶντα καὶ ὡς διδάσκαλον, καὶ πρὸς ὀλίγον οὐκ ἔφερον αὐτοῦ τὴν στέρησιν. Τοῖς μὲν Ἰουδαίοις τοῦτο ἔλεγεν ἐπειδὴ οὐκέτι ἤμελλον αὐτὸν ἰδεῖν. Οἱ γὰρ μαθηταὶ μετὰ τὴν Ἀνάστασιν καὶ εἶδον αὐτὸν καὶ συνέφαγον αὐτῷ. Τὸ δέ «ἄρτι καλῶς εἶπεν· εἰ γὰρ καὶ τοῖς μαθηταῖς καὶ τοῖς Ἰουδαίοις εἶπεν «οὐ δύνασθε ἐλθεῖν ὅπου ὑπάγω», ἀλλὰ προσθεὶς τό «ἄρτι», τοῦτο σημαίνει ὅτι νῦν οὐ δύνασθε, εἰ καὶ ἀγαπᾶτέ με, ὡς ἐγὼ κατατολμᾶν τοῦ θανάτου καὶ ἀκολουθῆσαί μοι, ὕστερον δὲ μετὰ τὴν τοῦ Πνεύματος κάθοδον βεβαίαν τότε τὴν περὶ ἐμοῦ καὶ τῶν μελλόντων τὴν πίστιν δεξάμενοι.

Τότε φησί, δύνασαι ἀκολουθῆσαι ὅταν λάβῃς δύναμιν τοῦ κατατολμᾶν τῶν κινδύνων. Νῦν, φησίν, οὐ δύνασθε φέρειν τὸν θάνατον. Ἀμέλει καὶ πάντες ἔφυγον, ὁ Πέτρος δὲ καὶ μεθ' ὅρκων ἠρνήσατο. Προσέθηκε δὲ τό «ἄρτι», δεικνὺς ὅτι ὕστερον σφόδρα τῶν κινδύνων καὶ τοῦ θανάτου καταθαῤῥήσουσι μετὰ τὴν τοῦ Πνεύμα-

1. Πρβλ. Ματθ. 26,70,72. Μάρκ. 14,68. Λουκ. 22,57. Ἰω. 18,27.
2. Πρβλ. Πράξ. 5,41.

τος κάθοδον· τότε γὰρ μᾶλλον ἔχαιρον ὑπὸ τοῦ Κυρίου πάσχοντες.

Ἰω. 13,34

385 [773] Ὁ νόμος ἐκέλευεν «Ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν»[1], ἡ δὲ τοῦ Κυρίου φωνὴ καὶ ὑπὲρ ἑαυτοὺς ἀγαπᾶν ἡμᾶς βούλεται τοὺς οἰκείους τῆς πίστεως.

Οὕτω γὰρ μέγιστον ἡ ταύτης φυλακή, ὥστε καὶ γνώρισμα αὔταρκες εἶναι τῆς μαθητείας τῆς ἐμῆς.

Ὁ νόμος ὡς ἑαυτὸν ἀγαπᾶν ἕκαστον προστάττει τὸν πλησίον, ὁ δὲ Χριστὸς ὑπὲρ ἑαυτόν. Ἐν δὲ τοῖς ἑξῆς καὶ σαφηνίζει αὐτὸ πλεῖον.

Οὕτω γάρ, φησί, μέγιστον ἡ τῆς ἀγάπης φυλακή, ὡς γνώρισμα εἶναι τοῦτο τῆς ἐμῆς μαθητείας.

Ἰω. 13,36-37

Ἀπιστήσας πως τοῖς εἰρημένοις ὁ Πέτρος διαπυνθάνεται λέγων «διὰ τί οὐ δύναμαί σοι ἀκολουθῆσαι»[2], ὅπου γε ἑτοίμως ἔχω καὶ συναποθανεῖν σοι;

Ἰω. 13,38

Οὐκ ἔστι τούτῳ ἐναντίον τὸ εἰρημένον τῷ Μάρκῳ· ἐκεῖνος γὰρ εἶπεν «οὐ μὴ ἀλέκτωρ φωνήσῃ δὶς ἕως οὗ ἀπαρνήσῃ με τρίς»[3]. Ἅμα γὰρ οὗ ἠρνήσατο ἐφώνησεν ὁ ἀλεκτρυών· ὡς δὲ ἠρνήσατο τὸ τρίτον, τότε ἀλέκτωρ ἔκραξε δευτέραν φωνήν, τρόπον τινὰ ἐπιμαρτυρῶν τῇ ἀψευδίᾳ τοῦ Κυρίου, καὶ ἵνα ἀναμνήσῃ τὸν Πέτρον ὧν ἐλάλησε καὶ ἤκουσε παρὰ τοῦ Κυρίου. Ὅτε οὖν τὸ πρῶτον ἠρνήσατο, βουλήσει τοῦ Κυρίου ὁ ὄρνις παρὰ τὸν καιρὸν ἐφθέγξατο· ὅτε δὲ τὸ τρίτον ἠρνήσατο, τότε κατὰ τὴν ὡρισμένην ὥραν

1. Ματθ. 19,19. 22,39. Μάρκ. 12,31. Λουκ. 10,27. Ρωμ. 13,9. Γαλ. 5,14. **2.** Ἰω. 13,37. **3.** Μάρκ. 14,30,72. Ἰω. 13,38.

ἐκώκυσεν. Ὁ δὲ Μάρκος κατὰ γνώμην τοῦ Πέτρου ὑπαγορεύσας τὸ Εὐαγγέλιον, εἶπε καὶ ὁσάκις ἐπεφώνησε τῇ ἀρνήσει τὸ ὄρνεον, ὡσανεὶ τοῦ Πέτρου θέλοντος σαφέστερον κεῖσθαι τῆς ἰδίας ἁμαρτίας τὸν ἔλεγχον.

Ἰω. 13,38

Ταῦτα πρὸς τὸν κορυφαῖον τοῦ Κυρίου εἰρηκότος, ἀμφιβάλλειν οὐκ ἔχοντες περὶ τῶν εἰρημένων οἱ λοιποί, μείζονα περὶ ἑαυτῶν τὸν ἀγῶνα ἐσχηκότα οὐκέτι χρηστὸν οὐδὲν ἐλπίζειν ἠδύναντο, οἰόμενοι πάντως διὰ τῆς **386** ἀρνήσεως ἔξω πάντων ὁμοῦ τῶν ἐλπιζομένων ἀγαθῶν καταστήσεσθαι. Τοῦτο λύων αὐτοῖς τὸ δέος, ἀπὸ τοῦ Πέτρου πάλιν ἐπὶ πάντας τὸν λόγον μεθίστησι, καί φησι·

Ἰω. 14,1

«Μὴ ταρασσέσθω ὑμῶν ἡ καρδία»[1], **[776]** ἀντὶ τοῦ μὴ ἀπὸ τῶν εἰρημένων εἰς ἀπόγνωσιν ἐμπεσόντες ταράσσεσθε τὴν ψυχήν.

Μὴ ἀπὸ τῶν εἰρημένων εἰς ἀπόγνωσιν ἑαυτῶν ἐμπεσόντες ταράσσεσθε, ὡς εἰ ὁ Πέτρος ἀρνήσεται καὶ πάντες ἔχετε πεσεῖν, καὶ ἔξω γενέσθαι τῆς τῶν ἀγαθῶν ἐλπίδος.

Ἐὰν εἰς ἐμὲ πιστεύσητε καὶ τὸν Πατέρα, συγγνώμης τεύξετε καὶ τῶν ἄλλων καλῶν.

Ἰω. 14,2-3

[776] Μονὴν εἶπεν τὴν διηνεκῆ τῶν ἀγαθῶν ἀπόλαυσιν, ἀπὸ τοῦ ἐν οἰκίαις ἡμᾶς πᾶσαν ἄνεσιν καὶ ἀπόλαυσιν ἔχειν.

Μονὴν λέγει τὴν διηνεκῆ ἀνάπαυσιν καὶ τῶν ἀγαθῶν τὴν ἀπόλαυσιν, ἥτις ἀφθόνως ἡτοίμασται τοῖς ἁγίοις παρὰ τοῦ

---

1. Ἰω. 14,1.

Καὶ ἐπειδὴ ἔθος ἐστὶ τοῖς ἀνθρώποις, ἔνθα μάλιστα πολλὴν εἶναι τῶν τόπων συμβαίνει τὴν στένωσιν, προ**387**καταλαμβάνεσθαι τοὺς τόπους, ἐντεῦθεν ἠβουλήθη εἰπεῖν ὅτι τάχα ἂν ὑμῖν κἀκεῖνο τὸ παρὰ τοῖς ἀνθρώποις κρατοῦν εἶπον, εἰ μὴ πολλή τις ἡ ἀπόλαυσις τοῖς βουλομένοις ὅταν μὴ ἐκποδὼν τῶν προσδοκωμένων ἀγαθῶν καταστῇ.

Ἐναντίον εἶναι δοκεῖ τῷ προειρημένῳ. Ἄνω μὲν ὡς οὐχ οὔσης τοῦ ἑτοιμάσαι χρείας φησίν, ἐνταῦθα δὲ ὅτι «ἐὰν πορευθῶ ἑτοιμάσω τόπον ὑμῖν»[1]. Ὃ οὖν λέγει τοιοῦτόν ἐστιν, ὅτι ὅσον πρὸς τὴν ἀφθονίαν τῶν ἀγαθῶν, ὧν κατὰ πρόγνωσιν ηὐτρέπισεν ὁ Πατήρ, ὥστε τοὺς εὖ καὶ κατὰ πᾶσαν βιοῦντας ἀκρίβειαν ἐνδιαιτᾶσθαι τοῖς ἑτοιμασθεῖσι καλοῖς διηνεκῶς, οὐ χρεία ὥστε ὑμῖν εὐτρεπισθῆναι παρ' ἐμοῦ, ἀλλ' ὥστε ὑμᾶς τὴν προσήκουσαν ἐπιδείξασθαι γνώμην· πλὴν ἀλλ' ἐγὼ τούτων ὑμῖν ἑτοιμαστὴς καὶ πρόξενος γίνομαι. Τί γὰρ ‹τό› «πάλιν ἔρχομαι καὶ παραλήψομαι ὑμᾶς πρὸς ἐμαυτόν;»[2]. Ἐπειδὴ γάρ, φησί, τῇ εἰς οὐρα- Πατρός. «Εἰ δὲ μή» ἦσαν, «εἶπον ἂν ὑμῖν»[3], ἤμελλον ὑμῖν λέγειν ὅτι ἄπειμι ἑτοιμάσων ὑμῖν τόπον, ἵνα μὴ στενωθῆτε ὥσπερ ἐστὶν ἔθος τοῖς ἀνθρώποις λέγειν.

Εἶτα εἰπών «καὶ ἐὰν πορευθῶ ἑτοιμάσω τόπον ὑμῖν», οὐ τῷ πρώτῳ ἐναντιούμενος λόγῳ λέγει τοῦτο, ἀλλ' ὃ λέγει τοῦτό ἐστιν, ὅσον πρὸς τὴν ἀφθονίαν τῶν ἀγαθῶν οὐ χρεία ἑτοιμασίας· ἤδη γὰρ ὁ Πατὴρ κατὰ πρόγνωσιν ἡτοίμασε ταῦτα τοῖς Ἁγίοις, πλὴν ἐγὼ πρῶτος ἀνελθὼν ἐκεῖ ἑτοιμαστὴς ὑμῖν καὶ πρόξενος ἐκείνων ἔσομαι τῶν ἀγαθῶν τοῖς ἀκολουθοῦσι τῇ ἐμῇ πολιτείᾳ, τὰς ἐν οὐρανῷ μονάς. Καὶ ὅταν, φησίν, ἔλθω τὸ δεύτερον ἐξ οὐρανῶν, τότε λαβὼν ὑμᾶς ἀνελεύσομαι εἰς οὐρανούς, ἔχων ὑμᾶς ἐκεῖ μεθ' ἑαυτοῦ συγκοινωνοὺς τῆς βασιλείας ἐν τῷ δοξάζεσθαι καὶ ὅσων οἷόν τε κοινωνεῖν ἐν τούτῳ τῷ Υἱῷ· οὐ γὰρ ὡς αὐτὸς ἢ δοξαζόμεθα ἢ βασιλεύομεν.

---

1. Ἰω. 14,3. **2.** Ἔνθ' ἀν. **3.** Ἰω. 14,2,27.



νοὺς ἀνόδῳ παράσχω καὶ ὑμῖν τῆς τῶν ὁμοίων ἀπολαύσεως τὴν ἀφορμήν, ὥστε φανῆναι τὸν καταστάντα τούτων αἴτιον ὑμῖν, αὐτὸς ἐλεύσομαι πάλιν (λέγει δὲ τὴν ἐξ οὐρανῶν δευτέραν αὐτοῦ παρουσίαν) καὶ λαβὼν ὑμᾶς ἀνελεύσομαι εἰς τοὺς οὐρανούς, ὅπου καὶ αὐτός εἰμι, ὥστε καὶ ὑμᾶς ἔχειν μεθ' ἑαυτοῦ τῶν αὐτῶν ἀπολαύοντας ἐμοί. **388** Εἰ γὰρ καὶ ὑπομένομεν», ὁ Παῦλός φησι, «καὶ συμβασιλεύσομεν»[1].

Ἰω. 14,4

Ὃ λέγει τοῦτό ἐστιν ἵνα μοι συνῆτε, φησί, πάντοτε καὶ ἀεὶ συνόντες, γνωρίζετέ με ὡς οἱ τὴν συνήθη ὁδὸν εἰδότες[2]. Τοῦτο δὲ δι' αἰνιγμάτων λέγει.

Ἰω. 14,5-6

[776] Οὐ χρεία πόνων ὑμῖν, φησί, πρὸς τὸ γνῶναι τὴν ὁδόν. Τῆς ἐμῆς ἔχετε γνώσεως καὶ δι' ἐμοῦ γνώσεσθε μὲν τὴν ἀλήθειαν, τεύξεσθε δὲ καὶ τῆς αἰωνίου ζωῆς, μεθέξετε δὲ κἀκείνων τῶν ἀγαθῶν, ἔσομαι δὲ ὑμῖν ἐν ὁδοῦ τάξει, δι' ἐμοῦ χειραγωγουμένων ὑμῶν πρὸς τὴν τῶν

Ἐπειδὴ ὡς ἀγνοῶν ὁ Θωμᾶς λέγει[3], φησὶν ὁ Κύριος· **[776]** Οὐ χρεία ὑμῖν πολλῶν εἰς τὸ γνῶναι τὴν ὁδόν. Ἐὰν γὰρ τῆς ἐμῆς ἔχησθε γνώσεως, δι' ἐμοῦ γνώσεσθε τὴν ἀλήθειαν καὶ τεύξεσθε τῆς αἰωνίου ζωῆς καὶ μεθέξετε τῶν ἀγαθῶν. Ἔσομαι γὰρ ὑμῖν ἐν ὁδοῦ τάξει, χειρα-

1. Β' Τιμ. 2,12. **2.** Πρβλ. Ἰω. 14,4. **3.** Πρβλ. Ἰω. 14,5.

προσδοκωμένων ἀπόλαυσιν. Καὶ ἐπισφίγγων τὰ εἰρημένα φησίν «οὐδεὶς ἔρχεται πρὸς τὸν Πατέρα εἰ μὴ δι' ἐμοῦ·»[1] οὐδὲ γὰρ δύναται γνῶναι τὸν Πατέρα ἢ τὴν πρὸς αὐτὸν γνῶσιν καὶ οἰκείωσιν ἑτέρως δέξασθαι.

γωγῶν ὑμᾶς εἰς τὰ ἀγαθά· οὐ δυνατὸν δὲ ἢ γνῶναι τὸν Πατέρα, ἢ οἰκειωθῆναι εἰ μὴ δι' ἐμοῦ.

'Ιω. 14,7

Οὔτε ἐμὲ τέως ἴστε, οὔτε τὸν Πατέρα μου. Χρεία δὲ ἐμὲ γνῶναι, ἵνα δι' ἐμοῦ δέξησθε τὴν τοῦ Πατρὸς ἐπίγνωσιν. Εἰπὼν οὖν ὅτι νῦν οὐκ ἴσασιν, εὐέλπιδας αὐτοὺς εἰς τὰ ἑξῆς καθίστησι. Λέγει γὰρ ὅτι καιρὸς τοῦ γνῶναι ὑμᾶς τὸν Πατέρα[2] καὶ ἰδεῖν αὐτὸν διὰ τῆς πίστεως, λέγει δὲ τὸν τῆς καθόδου τοῦ Πνεύματος, ὑφ' οὗ μάλιστα πάντων ἔλαβον τὴν γνῶσιν.

'Ιω. 14,8

'Ανθρωπινώτερον ἀκούσας τῶν τοῦ Κυρίου λόγων ὁ Φίλιππος εἶπε ταῦτα[3].

'Ιω. 14,9

389 [776] Ὡς ἂν αὐτάρκη διὰ τῶν οἰκείων ῥημάτων, ὧνπερ ἔλεγεν, ὁ Κύριος πρὸς αὐτοὺς παρασχόμενος τῷ Φιλίππῳ τὴν ἀπόδειξίν φησι «τοσοῦτον χρόνον μεθ' ὑμῶν εἰμι καὶ οὐκ ἔγνωκάς με, Φίλιππε;»[4].

Οὕτω, φησίν, οὐδὲ ὁ χρόνος ἱκανὸς γέγονεν ἐμέ τε διδάξαι καὶ τὸν Πατέρα, ὡς οἴεσθαί σε καὶ ἰδεῖν αὐτὸν δύνασθαι; Εἴπερ γὰρ ᾔδεις με, ἀμφότερα ἂν

Οὐδὲ ὁ χρόνος ἱκανός γέγονεν ἐμέ τε διδάξαι καὶ τὸν Πατέρα, ἀλλ' οἴει ὅτι δύνασαι ἰδεῖν αὐτόν; Εἰ ᾔδεις με, ἀμφότερα ἄν σοι προσεγεγόνει τότε δι'

---

1. 'Ιω. 14,6. **2.** Πρβλ. 'Ιω. 14,7. **3.** Πρβλ. 'Ιω. 14,8. **4.** 'Ιω. 14,9.



προσεγένετο τότε εἰδέναι, τὸν Πατέρα δι' ἐμοῦ καὶ τὸ μὴ νομίζειν δύνασθαι τοῖς ὀφθαλμοῖς αὐτὸν ἰδεῖν τῆς σαρκός.

ἐμοῦ, τὸν Πατέρα ἰδεῖν καὶ τὸ μὴ νομίζειν ὀφθαλμοῖς σαρκὸς ἐκεῖνον δύνασθαι ἰδεῖν.

Ἐπειδὴ δὲ ἀκούσας «Δεῖξον ἡμῖν τὸν Πατέρα»[1] καὶ εἰπών «Ἐμὲ οὐκ ἔγνωκας;» δοκεῖ ἄλλο τι ἀποκεκρίσθαι, ἐπάγει τὸ εὐθύς, σαφηνίζων τὸν λόγον καὶ λέγων ὅτι «ὁ ἑωρακὼς ἐμὲ ἑώρακε καὶ τὸν Πατέρα», καί «πῶς σὺ λέγεις, Δεῖξον ἡμῖν τὸν Πατέρα;». Οὐδὲν διαλλάττει ἐμέ τε ἰδεῖν κἀκεῖνον· τὸ γὰρ ἀκριβὲς τῆς ἰσότητος καὶ ὁμοιότητος ἐν ἐμοὶ δείκνυσιν ἐκεῖνον.

Καλὴ δὲ καὶ ἡ ἐπαγωγή, «πῶς σὺ λέγεις», κατὰ διαπόρησιν τὸ ἀνώτερον βεβαιοῦντος. «Πῶς οὖν λέγεις ἵνα σοι δείξω τὸν Πατέρα», εἰ μὴ πάντως ἀγνοῶν ἐμέ; Ὥστε ἀληθὴς ὁ προειρημένος μοι λόγος, ὅτι οὔτε ἐμὲ οἴδατε οὔτε τὸν Πατέρα, εἴπερ μὲ ᾔδειτε κἀκεῖνον ᾔδειτε ἄν, τῆς ὁμοιότητος ἀκριβῶς ἐκείνου ἐν ἐμοὶ γνωριζούσης.

Τὸ δὲ εἰπεῖν «Πῶς σὺ λέγεις» (ὡς κατὰ διάπορησιν λέγει βεβαιῶν τὸ ἄνω) ἵνα σοι δείξω τὸν Πατέρα, εἰ μὴ πάντως ἠγνόεις ἐμέ;

Ἰω. 14,10

390 [776] Τὸ ἴσον τῆς ἀντιστροφῆς ἐδήλωσεν μάλιστα τὸ τῆς ὁμοιότητος ἀκριβές, ὡς ἂν αὐτοῦ τε ὄντος «ἐν τῷ Πατρί» καὶ τοῦ Πατρὸς ἐν αὐτῷ, τῆς ὁμοιότητος ἑκάτερον ἐν τῷ ἑτέρῳ δεικνύναι δυναμένης. Εἶτα

Ὧδε πάνυ σαφῶς διδάσκει τὸ τῆς ὁμοιότητος ἀκριβὲς διὰ τῆς ἀντιστροφῆς τοῦ λόγου, ὡς αὐτοῦ ὄντος ἐν τῷ Πατρὶ καὶ τοῦ Πατρὸς ἐν αὐτῷ, ἑκάτερον ἐν τῷ ἑτέρῳ ὁρᾶσθαι δυνάμενον.

---

1. Ἰω. 14,8.

καὶ ἀπόδειξιν τῶν λεγομένων παρέχεται· «τὰ ῥήματα ἃ ἐγὼ λαλῶ, ἀπ' ἐμαυτοῦ οὐ λαλῶ»[1]. Εἰ δὲ ἀπιστεῖς τούτοις, φησί, γίνωσκε τοσαύτην οὖσαν τῆς φύσεως καὶ τῆς γνώσεως καὶ τῆς δυνάμεως τὴν συνάφειαν, ὡς μηδὲ τοὺς λόγους κεχωρίσθαι, ἀλλ' ὅσαπερ φθέγγομαι κοινὰ εἶναι τὰ ῥήματα, καὶ οὐκ ἐμοῦ μόνου τοῦ φθέγγεσθαι δοκοῦντος.

'Ιω. 14,10

Διδάσκει διὰ τούτων ὅτι ὥσπερ κοινὴ ἡ φύσις καὶ μία Πατρὸς καὶ Υἱοῦ, οὕτω καὶ οἱ λόγοι καὶ αἱ πράξεις. Εἰπὼν δέ «οὐ λαλῶ ἀπ' ἐμαυτοῦ», οὐκ ἐπειδὴ ἔλαττόν ἐστι τοῦτο λέγει, ἀλλὰ ταπεινῶς ἔσθ' ὅτε λαλεῖ ὡς ἄνθρωπος.

'Ιω. 14,11

Εἰ ἀπιστεῖτε[2] ὅτι ἀπαράλλακτον ἔχω τῷ Πατρὶ τὴν οὐσίαν ἐπειδὴ ὁρᾶτέ με ἄνθρωπον, ἀλλὰ τὸ μέγεθος τῶν ὑπ' ἐμοῦ γινομένων θεοσημείων πρὸς ὠφέλειαν τῶν ἀνθρώπων πειθέτω ὑμᾶς ὅτι κατ' οὐδὲν διαφέρω τοῦ Πατρός.

'Ιω. 14,12-14

Μὴ θαυμάζετε, φησίν, ὅτι τοιαῦτα ποιῶ σημεῖα· καὶ γὰρ καὶ οἱ εἰς ἐμὲ πιστεύοντες μείζονα μέλλουσι ποιεῖν σημεῖα[3] διὰ τὸ ἀπιέναι με εἰς οὐρανὸν συνεδρεύσοντα τῷ Πατρὶ μετὰ τὸ πάθος. Τότε γὰρ καὶ ἅπαντα δίδωμι τοῖς αἰτοῦσί με[4], ἵνα γνῶτε ὅτι Θεός εἰμι,

---

1. 'Ιω. 14,10. **2.** Πρβλ. 'Ιω. 14,11. **3.** Πρβλ. 'Ιω. 14,12. **4.** Πρβλ. 'Ιω. 14,13.

καὶ τότε πλείονα ἐνεργῶ ὅτε ἔδοξα τεθνάναι· οὐ γὰρ μένω ἐν τῷ θανάτῳ. Δι᾽ ὧν δὲ ἐγὼ ἐνεργῶ δοξάζεται ὁ **391** Πατήρ, τοσαύτην φύσιν καὶ οὕτως ὁμοίαν ἑαυτῷ γεγεννηκώς. Εἰπὼν δέ «Ἐν τῷ ὀνόματί μου ὅσα ἂν αἰτήσετε»[1] λήψεσθε, τὸ ἀναμφίβολον παρίστησι.

Ἰω. 14,15-16

[777] Ὑμᾶς μέν, φησίν, αἰτεῖν προσήκει πρότερον ἀγαπῶντας καὶ τὴν ἀγάπην δεικνύντας τῇ τηρήσει τῶν ἐντολῶν[2] οὕτω δὲ διακειμένοις παρέξω τοῦ Πνεύματος τὴν χάριν, ὥστε ἔχειν ὑμᾶς αὐτὸ διηνεκῶς ἀεὶ συνὸν καὶ τὴν ἀλήθειαν ἐκπαιδεῦον ὑμᾶς, ἀφ᾽ οὗ πάντων ὁμοῦ μεθέξετε τῶν καλῶν. «Ἄλλον δὲ παράκλητον»[3] λέγει ἀντὶ τοῦ ἄλλον διδάσκαλον, Παράκλητον λέγων τὴν ἐν τοῖς δεινοῖς διδασκαλίαν, ὡς ἂν τοῦ Πνεύματος τῇ οἰκείᾳ χάριτι μέλλοντος ἐπικουφίζειν αὐτοῖς τὰ παρὰ τῶν ἀνθρώπων ἐπαγόμενα καὶ ῥᾷον φέρειν παρασκευάζοντος· ὃ δὴ καὶ ἐπ᾽ αὐτῶν ἐδείχθη τῶν πραγμάτων, τῶν μαθητῶν οὕτω μὲν πρότερον δεδιότων τὸν θάνατον, οὕτω δὲ μετὰ τὴν τοῦ Πνεύματος κάθοδον[4] ἐφ᾽ οἷς ἔπασχον ἡδο-

Δεῖ ἐνδείξασθαι τὴν πρὸς ἐμὲ ἀγάπην τῇ τηρήσει τῶν ἐντολῶν, καὶ ἐὰν οὕτω διάκεισθε παρέξω τὴν τοῦ Πνεύματος χάριν.

«Ἄλλον δὲ παράκλητον» λέγει ἀντὶ τοῦ ἄλλον διδάσκαλον καὶ ἐνισχύοντα ὑμᾶς πρός τε τὰς ἀντιλογίας στῆναι καὶ ἐπιβουλὰς τῶν ἐχθρῶν.

«Πνεῦμα ἀληθείας»[5] αὐτὸ λέγει ὅτι οὐ διδάσκει ἄλλο εἰ μὴ τὴν ἀλήθειαν, καὶ οὔτε ἐγχωρεῖ αὐτὸ τραπῆναι εἰς τὸ ἕτερόν τι διδάξαι. «Ἄλλον» δὲ εἶπεν, ἵνα δείξῃ ὅτι ὅσα αὐτὸς λόγῳ ἐδίδαξεν αὐτούς, ταῦτο τὸ Πνεῦμα ἀναμνῆσαν ἐπιβεβαιώσει.

«Ἐρωτήσω» δὲ εἶπεν, οὐχ ὡς μέλλων πρεσβεύειν, ἀλλὰ σχηματίσας.

Ὅπως γὰρ ἤμελλεν αἰτεῖν γενέσθαι τοῦτο, ὅπερ ἦν ἤδη προορισθὲν διὰ τὸ ἡμῖν λυσιτε-

---

1. Ἰω. 14,14. **2.** Πρβλ. Ἰω. 14,15. **3.** Ἰω. 14,16. **4.** Πρβλ. Πράξ. 5,41. **5.** Ἰω. 14,17.

μένων. Καί «Πνεῦμα δὲ ἀληθείας» ἐκάλεσεν, ὡς οὐδὲν ἕτερον ἢ τὴν ἀλήθειαν διδάσκον τὸ μηδ' ἐπιδέχεσθαι τὴν εἰς τὸ ἐναντίον τροπήν. «Ἄλλον» δὲ εἶπεν, αἰνιττόμενος ὅτι παρὼν **392** ταύτην ἐπλήρου τὴν χρείαν αὐτός· καὶ γὰρ ὅσα λόγῳ παρὼν αὐτοὺς ἐξεπαίδευσεν, ἔργῳ τούτων παρὰ τοῦ Πνεύματος ἐδέξαντο τὴν βεβαίωσιν.

Κἀκεῖνο δὲ προσεκτέον, ὅτι τό «ἐρωτήσω» σχηματίσας μᾶλλον εἶπεν, ἀντὶ τοῦ δι' ἐμοῦ δέξεσθε τὴν χάριν. Οὐ γὰρ δὴ πρεσβεύειν ἔμελλεν ἵνα λάβωσι, καὶ τοῦτο δῆλον ἐξ ὧν προώριστο οὕτω γενέσθαι παρὰ τοῦ Θεοῦ διὰ τὴν ἡμετέραν χρείαν καὶ προαπήγγελτο, ἀμέλει πρὸς τοὺς μαθητὰς ὁ Κύριός φησιν «ἀλλὰ περιμένειν τὴν ἐπαγγελίαν τοῦ Πατρός, ἣν ἠκούσατε»[1]. Εἰ δὲ ἐν ἐπαγγελίᾳ ἔκειτο ἡ δόσις, περιττὴ τῶν ἐπηγγελμένων ἡ αἴτησις.

λοῦν, ὡς αὐτὸς εἶπε «Περιμείνατε τὴν ἐπαγγελίαν τοῦ Πατρός, ἣν ἠκούσατε».

Ἰω. 14,17

Τούτου μέλλετε μετασχεῖν καὶ τηλικαύτη ἐστὶν ἡ δόσις τοῦ Πνεύματος, ὅτι μὴ βουλόμενον ἅπας «ὁ κόσμος λαβεῖν»[2] αὐτὸ πρὸς ἑαυτόν «οὐ δύναται». Οὐκ εἶπεν «δέξασθαι», ἀλλά «λαβεῖν», ἀντὶ τοῦ ἐπιλαβέσθαι αὐτοῦ. Οὐ γάρ, φησίν, οὔτε θεωρῆσαί τις,

---

1. Πράξ. 1,4. 2. Ἰω. 14,17.

οὔτε γνῶναι δύναται, πῶς δύναται ληφθῆναι παρ' αὐτῶν; Τοῦτο οὖν καὶ γνώσεσθε ὑμεῖς, καὶ ἕξετε παρ' ἑαυτοῖς δι' ἐμοῦ. Οὐκ εἶπε δὲ καὶ ὄψεσθε· ἀδύνατον γὰρ τοῦτο.

Ἰω. 14,18

Οὐδὲ τὸν ἐν μέσῳ χρόνον ἐῶ ὑμᾶς ἀπρονοήτους· «ἔρχομαι» γάρ «πρὸς ὑμᾶς»[1].

Ἰω. 14,19

Οἱ λοιποὶ πάντες ἄνθρωποι ὀλίγον ἔτι ὄψονταί με, ὑμεῖς δὲ ἀναστάντα πάλιν ὄψεσθε, ἵνα δι' ὧν ὁρᾶτε πεισθῆτε ὅτι ζῶ πάλιν, ὅμως καὶ ὑμεῖς ἀναστάντες ἐκ νεκρῶν ὁμοίως μέλλετε ζῆν ὡς καὶ ἐγώ[2].

Ἰω. 14,20

393 [777] Τότε ἀπ' αὐτῶν μαθήσεσθε τῶν πραγμάτων ὅτι ἀληθῆ τὰ παρ' ἐμοῦ λεγόμενα, περὶ ὧν δὲ νῦν ἀμφιβάλλειν ἔτι δοκεῖτε, καί «ὅτι ἐγὼ μὲν ἐν τῷ Πατρί»[3] διὰ τῆς πρὸς αὐτὸν ὁμοιότητος καὶ συναφείας, «ὑμεῖς δὲ ἐν ἐμοί» διὰ τῆς εἰς ἐμὲ πίστεώς τε καὶ ἀγάπης, ἔτι καὶ τῆς τοῦ Πνεύματος δόσεως τὴν πρὸς ἐμὲ κοινωνίαν λαμβάνοντες, «κἀγὼ δὲ ἐν ὑμῖν» ὡς εἰκός. Ἡ γὰρ συνάφεια τοῦτο παρασκευάζει, ὥστε ἀναγεννηθέντων ὑμῶν τῇ δυνάμει τοῦ Πνεύ-

Τότε ἀπ' αὐτῶν μαθήσεσθε τῶν πραγμάτων ὅτι ἀληθεύω, «ὅτι ἐγώ» μὲν ὡς Υἱός «ἐν τῷ Πατρί» εἰμί, ὑμεῖς δὲ διὰ τῆς εἰς ἐμὲ πίστεως καὶ ἀγάπης καὶ τῆς τοῦ Πνεύματος μετοχῆς τὴν πρὸς ἐμὲ οἰκείωσιν καὶ κοινωνίαν λαμβάνετε. Ἐπειδὴ γὰρ διὰ τῆς ἀναγεννήσεως γίνεσθέ μου σῶμα, ὡσανεὶ ἐμοῦ κεφαλῆς οὔσης, δυνατὸν καὶ κατὰ τοῦτο νοεῖσθαι ὑμᾶς «ἐν ἐμοί» κἀμέ «ἐν ὑμῖν».

---

1. Ἰω. 14,18. **2.** Πρβλ. Ἰω. 14,19. **3.** Ἰω. 14,20.

ματος, καὶ ἐν τάξει μοι σώματος γενομένων, κεφαλῆς χώραν ὑμῖν ἐπέχειν ἐπ' ἐμέ.

'Ιω. 14,21

Πᾶς δὲ ὁ ἀγαπῶν με καὶ φυλάσσων τὰς ἐντολὰς ἀπολαύσει μὲν τῆς παρ' ἐμοῦ τε καὶ τοῦ Πατρὸς ἀγάπης[1], τεύξεται δέ μου καὶ τῆς κατὰ τὴν ἐπίγνωσιν ὄψεως, μηδὲν ἐλαττούμενος ἀπὸ τοῦ μὴ σωματικῶς ἰδεῖν, ἐπεὶ καὶ ταύτης ἐν τῷ καιρῷ τῆς 'Αναστάσεως ἀπολαύσει ἐξ οὐρανοῦ με παραγινόμενον ὀψόμενος.

Ὁ φυλάσσων τὰς ἐντολάς μου ἀπολαύσει μὲν τῆς ἐξ ἀμφοῖν ἀγάπης, τεύξεται δὲ καὶ τῆς ἐπιγνώσεώς μου, διδασκόμενος τίς εἰμι, ὅμως καὶ σωματικῶς με ὄψεται μετὰ τὴν 'Ανάστασιν τὴν κοινήν· ὄψεται γάρ με ἐξ οὐρανῶν παραγενόμενον.

'Ιω. 14,22

394 Τοῦτο εἶπε νομίζων τοὺς λοιποὺς ἀνθρώπους στερηθήσεσθαι τῶν ἀγαθῶν[2].

'Ιω. 14,23

Οὐδένα τῶν ἀγαθῶν ἐκείνων ἀποστερῶ, ἀλλὰ πᾶσι τοῖς τηροῦσί μου τὰς ἐντολὰς ἔσται ταῦτα, οὐ μόνον δὲ τὰ εἰρημένα, ἀλλὰ ἐγὼ καὶ ὁ Πατὴρ ἀεὶ συνόντες αὐτοῖς πάνυ ἐπιμελησόμεθα αὐτῶν[3].

'Ιω. 14,24

Τὸ ἀκόλουθον ἦν εἰπεῖν ὅτι τῶν ἀγαθῶν οὐ τεύξεται, ἀλλ' εἴασεν ἡμᾶς τοῦτο νοεῖν διὰ τῆς ἀκολουθίας, ἵνα μὴ τὸ αὐστηρὸν

---

1. Πρβλ. 'Ιω. 14,21. **2.** Πρβλ. 'Ιω. 14,22. **3.** Πρβλ. 'Ιω. 14,23.

εἴπῃ. Ἐπειδὴ δὲ ἀδύνατον μὴ εἶναι αὐτοῦ ἅπερ αὐτὸς ἐφθέγξατο, οὕτω δοκεῖ λέγειν ὅτι, οὐ διὰ τοῦτο λέγω ἐμὸν εἶναι τὸν λόγον ὡς τοῦ Πατρὸς ἀλλότριον, ἀλλ' ὡς κοινὸν ἐμοῦ καὶ τοῦ Πατρός[1]· ὅθεν τὸν τηροῦντα κοινῇ καὶ ἀμειβόμεθα.

Ἰω. 14,25-26

Ἐγὼ μὲν ἐν ᾧ εἰμι σὺν ὑμῖν, εἶπον τί χρὴ ποιεῖν[2], ὅταν δὲ τὸ Πνεῦμα ἐπέλθῃ ὑμῖν διὰ τῆς ἐκείνου συνεργίας πολλὰ καὶ ἃ οὐκ ἴστε μαθήσεσθε, καὶ ἃ εἶπον ἐπαναμιμνήσκει[3].

Ἰω. 14,27

Θέλω ὑμᾶς τὴν πρὸς ἀλλήλους ἔχειν φιλίαν καὶ μὴ πρὸς ἑαυτοὺς στασιάζειν. Ἡ γὰρ ἐμὴ εἰρήνη τοιαύτη, ἡ γὰρ τοῦ κόσμου ἔσθ' ὅτε καὶ ἐπὶ κακῷ γίνεται. Παραινεῖ δὲ μήτε ταράττεσθαι αὐτοὺς[4] ἐφ' οἷς ἤκουον αὐτὸν μέλλειν πάσχειν, ἀγνοοῦντες τὸ ἐκ τούτου κέρδος.

Ἰω. 14,28

Ὅτι «ἠκούσατε ὃ εἶπον»[5] ἀπέρχομαι, λυπεῖσθε διὰ τὴν ἀπουσίαν, ἀλλὰ εὐθυμεῖτε ἀκούσαντες ὅτι πάλιν «ἥξω πρὸς ὑμᾶς», ἧς ἐπαγγελίας κομιεῖσθε τὴν ἀποπλήρωσιν μετὰ τὴν Ἀνάστασιν.

Ἰω. 14,28

Ἔδει ὑμᾶς ἀκούσαντας ὅτι «ὑπάγω» χαρῆναι. Εἰ δὲ ἐρεῖτέ μοι πῶς οἷόν τε ἦν, ἐρῶ ὅτι «πρὸς τὸν Πατέρα ἄπειμι». Καὶ ὅσον πρὸς τὸ φαινόμενόν μου σχῆμα ἀνθρώπινον δοκῶ ἐν μείζοσιν ἀναβιβάζεσθαι εἰς οὐρανοὺς ἀνιών, καὶ ἔδει ὑμᾶς εὐφρανθῆναι τοῦτο ὅσον πρὸς τὸ φαινόμενον.

---

1. Πρβλ. Ἰω. 14,24. **2.** Πρβλ. Ἰω. 14,25. **3.** Πρβλ. Ἰω. 14,26. **4.** Πρβλ. Ἰω. 14,27. **5.** Πρβλ. Ἰω. 14,28.

'Ιω. 14,29

'Επειδὴ προλέγω ὑμῖν τὰ ἐσόμενα οὐκ ὀφείλετε ἀδημονεῖν[1], ἀλλὰ τὴν ἔκβασιν περιμένειν, ἵνα ὅταν γένηται θαυμάζοντες τὸ τῆς προῤῥήσεως ἀληθὲς πεισθῆτε ὅτι οὐδὲν ἄκων ἔπαθον.

'Ιω. 14,30

395 Οἶδα τὸν καιρὸν τοῦ πάθους, ὅτι ἤγγικεν· «οὐκέτι» τοίνυν «λαλῶ πολλά»[2]. Σεμνύνει δὲ καὶ τὸ πάθος πρὸς παραμυθίαν τῶν μαθητῶν, λέγων ὅτι συγκινεῖ κατ' ἐμοῦ τοὺς 'Ιουδαίους ὁ διάβολος πρὸς τό με θανατῶσαι. Καίπερ οὐκ ἔχων κατ' ἐμοῦ εὑρεῖν ἁμαρτίαν, ἥτις αἰτία γέγονε θανάτου τοῖς ἀνθρώποις, καὶ δύναμαι μέν, εἰ θελήσω, τὸν θάνατον ἐκκλῖναι, ὅμως ὑπομενῶ τοῦτον πειθόμενος τῷ Πατρὶ διὰ τὴν τοῦ κόσμου σωτηρίαν· ἡ γὰρ δι' ἐμοῦ δικαίως γιγνομένη τοῦ θανάτου λύσις κοινὴ πάντων ἀνθρώπων ἔσται ὕστερον κατὰ χάριν.

'Ιω. 14,31

'Ως ἐπιθαρσύνων αὐτοὺς τοῦτο λέγει. 'Επειδὴ γάρ, φησί, ταῦτα οὕτως ἔχει καθὼς εἶπον, οὐ χρὴ ἀποδειλιᾶν πρὸς τὸν θάνατον, ἀλλὰ καὶ ὁρμᾶν ἑαυτὸν ἐκδιδόντα τοῖς ἐπιβούλοις. Δῆλον δὲ τοῦτο ἐξ ὧν εἰρηκώς «ἄγωμεν»[3], οὐδαμοῦ ἀπέστη.

'Ιω. 15,1-6

[777] "Ωσπερ ἡ ἄμπελος[4], φησίν, ἐπὶ τῆς γῆς καταβληθεῖσα οἰκείαν ἔχει τὴν ζωήν, ἣν ἀπὸ τῆς γῆς ἅπαξ ἐδέξατο, κλήματα δὲ ἐκδίδωσιν, ἀναφέρει μὲν τὸν οἰκεῖον καρπὸν μέχρις

'Ο σκοπὸς τῆς παραβολῆς διδάξαι καὶ προτρέψασθαι τῆς περὶ αὐτὸν ἀγάπης ἔχεσθαι. "Ο δὲ λέγει τοῦτό ἐστιν.

"Αμπελον ἑαυτὸν καλεῖ ὡς ἔχοντα φυσικῶς ἅπαν ἐν ἑαυτῷ

1. Πρβλ. 'Ιω. 14,29. 2. 'Ιω. 14,30. 3. 'Ιω. 14,31. 4. Πρβλ. 'Ιω. 15,1.

ἂν ἐν τῷ φυτῷ μένειν συμβαίνῃ, ἀφαιρεθέντα δὲ οὐκέτι τὸν καρπὸν δίδωσι, οὕτω καὶ ἐφ' ὑμῶν νομιστέον ὅτι ἀμπέλου μὲν τάξιν ἐπέχουσι. Πρῶτος πᾶσαν ἐν ἑαυτῷ τοῦ Πνεύματος τὴν χάριν δεξάμενος κατὰ τὴν οἰκονομίαν, [780] κλήματα δὲ ὑμεῖς[1] τῇ ἀναγεννήσει τοῦ **396** Πνεύματος ἐμοὶ συναπτόμενοι, ἅπερ ἐν τῷ φυτῷ τυγχάνοντα δίδωσι τὸν καρπόν, ἀφαιρεθέντα δὲ οὐκέτι· οὑτωσὶ καὶ ἐφ' ὑμῶν, τῆς μὲν ἀγάπης ἐχομένους τῆς περὶ ἐμὲ φέρειν πολὺν τῆς ἀρετῆς τὸν καρπὸν ἀνάγκη, ἀποστάντας δὲ τῆς ἀγάπης τῆς ἐμῆς ἐρήμους ἀνάγκη παντὸς εἶναι καλοῦ[2]. Καὶ ὥσπερ ἐνταῦθα δοκιμάζων ὁ γεωργὸς τῶν κλημάτων τὴν χρῆσιν, ὅσα μὲν ὁρᾷ καλά τε καὶ πρόσφορα καὶ πρὸς καρπὸν ἐπιτήδεια, ταῦτα τῇ ἐπιμελείᾳ χρησιμώτερα καθίστησιν, ὅσα δὲ ἄκαρπά τε καὶ μηδὲ τὸν γεωργὸν ὠφελεῖν δυνάμενα, ταῦτα τῷ πυρὶ καθάπαξ παραδίδωσιν· οὕτω τὴν ἑκάστου διάνοιαν δοκιμάζων ὁ Πατήρ, οὓς μὲν ὁρᾷ τῆς ἐμῆς ἐξημμένους ἀγάπης τούτων ἐπιμελεῖται, πολλὴν αὐτοῖς τῶν πνευματικῶν τὸ Πνεῦμα, κλήματα δὲ τοὺς πιστοὺς διὰ τῆς τοῦ Πνεύματος ἀναγεννήσεως [780] συναπτομένους αὐτῷ, ἅπερ ὁ γεωργὸς ὁ Πατήρ, ἐὰν ἴδῃ μὴ ἀγαπῶντάς με ἐκκόπτει ὡς ἄκαρπα κλήματα καὶ εἰς πῦρ παραπέμπει· ἐὰν δὲ τὸ ἐναντίον, ἐπιμελεῖται ἵνα πλείονα καρπὸν ἐνέγκωσι[3] διὰ τῶν ἐξ αὐτοῦ ἐπιχορηγουμένων πνευματικῶν χαρισμάτων.

1. Πρβλ. Ἰω. 15,2. **2.** Πρβλ. Ἰω. 15,4. **3.** Πρβλ. Ἰω. 15,5.

ἀγαθῶν τὴν περιουσίαν χαριζόμενος, οὓς δὲ βλέπει τῆς ἐμῆς ἀπεσχοινισμένους διαθέσεως, εἰς τὴν μέλλουσαν ἐντεῦθεν ἤδη φύλαττει κόλασιν[1].

'Ιω. 15,7

Δεῖ, φησί, τοὺς πνευματικῶς τῷ Κυρίῳ συναπτομένους ἀνάλογον ἔχειν τὴν γνώμην τῇ χάριτι τῇ δοθείσῃ αὐτοῖς[2], ἐπεὶ ῥαθυμοῦντες κολάζονται, τῆς δὲ κατὰ Θεὸν πολιτείας ἐπιμελόμενοι πολὺν οἴσουσι καρπόν.

'Ιω. 15,14-15

Δι' ὧν εἶπε «φίλοι μού ἐστε»[3] ἐὰν τηρῆτέ μου τὰς ἐντολάς, ἔδειξεν ὅτι πᾶς τηρῶν τὰς ἐντολὰς ἐν τάξει φίλου γίνεται τῷ Χριστῷ. Αἰνιγματῶδες δὲ εἶναι δοκεῖ τὸ ἑξῆς. Οὐδὲ γὰρ ὁ δοῦλος ἀγνοεῖ πάντως τὰ παρὰ τοῦ κυρίου γινόμενα, ἀλλ' **397** ἔστιν ὅτε καὶ οἶδεν ἐὰν ᾖ εὔνους· οὔτε αὐτὸς ὅσα ἤκουσε παρὰ τοῦ Πατρὸς εἶπεν. Ὃ οὖν λέγει τοῦτό ἐστιν. Οὐχ ὡς δούλοις εἶπον ὑμῖν τὰ ἀπόρρητα, οἳ πολλὴν ἔχουσιν ἐπὶ τούτῳ δόξαν, ἀλλ' ὡς φίλοις τοῖς κοινωνοῖς τῶν ἀγαθῶν· ὑμεῖς οὖν οὐ δοῦλοι ἀλλὰ φίλοι[4], οἳ πάντα τὰ κατ' ἐμὲ μαθήσεσθε ὡς ἔστι δυνατόν.

'Ιω. 15,16

Οὐ μισθὸν δὲ ὑμῖν δίδωμι τὰ εἰρημένα ἀγαθὰ τῆς ὑμῶν ἀγάπης. Αὐτὸς γὰρ τούτου ἦρξα προσλαβόμενος ὑμᾶς, ἵνα ὑμῖν δῶ μισθὸν πολὺν καὶ κοινωνοὺς ὑμᾶς καταστήσω τῶν ἐμῶν ἀγαθῶν, ἵνα ἀεὶ βρύητε τοῖς πνευματικοῖς καρποῖς. Καρπὸν γὰρ λέγει τὴν ἐκ τοῦ Πνεύματος προσεσομένην αὐτοῖς χάριν καὶ τὰ ἐντεῦθεν

1. Πρβλ. 'Ιω. 15,6. **2.** Πρβλ. 'Ιω. 15,7. **3.** 'Ιω. 15,14. **4.** Πρβλ. 'Ιω. 15,15.

ἀγαθά, ἐπειδὴ ὡς κλήματα κολληθέντες τῷ Χριστῷ διὰ τοῦ Πνεύματος μετεῖχον τῶν πνευματικῶν δωρεῶν διὰ τοῦ Πατρός[1].

Ἰω. 15,17

Οὐκ ἐμαυτὸν σεμνῦναι θέλων τοῦτο εἶπον, ἀλλὰ προτρέπων ὑμᾶς οὕτως ἀγαπᾶν ἀλλήλους[2].

Ἰω. 15,18

Εἰ δυσχεραίνετε μισούμενον ὑπὸ τῶν ἀνθρώπων[3], εἰς ἐμὲ ἀφορῶντες οὐκ ὀφείλετε λυπεῖσθαι· οὐ γὰρ ὑμεῖς ἐμοῦ κρείττους ἐστέ.

Ἰω. 15,19

Ὅταν ἀναγεννηθῆτε ἐκ τοῦ Πνεύματος οὐκέτι γήϊνοί ἐστε, ἀλλὰ γίνεσθε ἕτεροι ἀνθ' ἑτέρων, διὸ ἐν οὐρανοῖς δεῖ ἔχειν ὑμᾶς τὸ πολίτευμα[4]. Πρὸς οὖν τοὺς τὰ γήϊνα φρονοῦντας ἄτοπον ἔχειν τινὰ φιλίαν ἢ παρὰ τῶν τοιούτων φιλεῖσθαι ζητεῖν;

Ἰω. 15,20

Πολὺ τὸ μέσον ἐμοῦ καὶ ὑμῶν, καὶ οὐ δεῖ ὑμᾶς δούλους ὄντας μείζονα προσδοκᾶν[5], ἀλλ' ἀγαπητῶς δέχεσθαι τὴν ὁμοιότητα τῶν συμβαινόντων ὁρῶντες καὶ ἐφ' ἑαυτῶν συμβᾶσαν.

Ἰω. 15,21

Εἰ καὶ πρὸς ἐμὴν ὕβριν τοῦτο ποιοῦσιν, ἀλλ' οὖν γινώσκετε τῆς αὐτῆς ὕβρεως κοινωνεῖν μοι τὸν Πατέρα[6], τοῖς ἐμοῖς οὐ πειθόμενοι ῥήμασι· διὸ μηδὲ ὑμεῖς βαρέως φέρετε κἂν ἐξουθενῆσθε.

---

1. Πρβλ. Ἰω. 15,16. **2.** Πρβλ. Ἰω. 15,17. **3.** Πρβλ. Ἰω. 15,18. **4.** Πρβλ. Ἰω. 15,19. **5.** Πρβλ. Ἰω. 15,20. **6.** Πρβλ. Ἰω. 15,21.

'Ιω. 15,22

Κατηγορεῖ τῶν ἀπειθῶν, ἵνα δείξῃ ὅτι ὑπὲρ καλῶν καὶ οἱ μαθηταὶ ἔπασχον· πάλαι μὲν οὖν ἀγνοοῦντες τοῦ Υἱοῦ τὴν θεότητα (οὐ γὰρ ἦσαν ἀκούσαντές τι περὶ αὐτοῦ) οὐχ ἡμάρτανον[1], νῦν γνωρίσας αὐτοῖς πᾶσαν ἀνεῖλεν αὐτῶν ἀφορμήν.

'Ιω. 15,24

398 Κἂν προσποιῶνται τὸν Πατέρα ἐκδικεῖν, ἀλλὰ νῦν ἐλέγχονται ταῦτα ποιοῦντες, ὅτι καὶ τὸν Πατέρα μισοῦσι δι' ὧν οὐ πιστεύουσί μοι[2].

'Ιω. 15,25

Εἰ μὴ μετὰ σημείων ὑπὲρ λόγον διελεγόμην αὐτοῖς, εἶχον ἂν εἰκότως εἰπεῖν τι· νῦν δὲ προφανῶς ἐλέγχονται ἀπεχθείᾳ τῇ πρὸς ἐμὲ καὶ τὸν Πατέρα, τοὺς λόγους οὐ δεξάμενοι. Δείκνυσι καὶ διὰ τῆς προφητείας ὅτι ἄλογον ἦν τὸ κατ' αὐτοῦ μῖσος[3].

'Ιω. 15,26-27

[780] [῞Οτι δὲ οὐ πρὸς χάριν εἴρηται μαρτυρεῖ τὸ Πνεῦμα τοῖς λεγομένοις], ὃ ἐξ αὐτῆς τοῦ Πατρὸς τῆς οὐσίας ἔχει τὴν ὕπαρξιν. Εἰ γὰρ μὴ τὴν φυσικὴν ἐκεῖθεν πρόοδον ἔλεγεν διὰ τοῦ «ἐκπορεύεται»[4], ἀλλά τινα ἀποστολὴν ἔξωθεν γινομένην, ἄπορον περὶ τίνος λέγει, πολλῶν ὄντων κοινῶς τῶν κατὰ διακονίαν ἀποστελλομένων πνευμά-

Μεγίστη ἀπόδειξις τῶν εἰς ἐμὲ ἡμαρτημένων, καὶ ὅσα ἕτερα εἶπον, ἔσται ἡ τοῦ Πνεύματος κάθοδος, **[780]** ὅπερ ἐκ τῆς τοῦ Πατρὸς οὐσίας ἔχει τὴν ὕπαρξιν. Εἰ γὰρ μὴ περὶ αὐτοῦ λέγει, ἀλλὰ περὶ ἑτέρου πνεύματος, ὅπερ εἰς διακονίαν ἀποστέλλεται, ἄδηλον περὶ τίνος λέγει, πολλῶν ὄντων τῶν λειτουργικῶν πνευμάτων.

---

1. Πρβλ. 'Ιω. 15,22. **2.** Πρβλ. 'Ιω. 15,24. **3.** Πρβλ. Ψαλ. 34,19. 'Ιω. 15,25. **4.** 'Ιω. 15,26.

των, ὡς Παῦλος ὁ ἀπόστολός φησιν «οὐχὶ πάντες εἰσὶ λειτουργικὰ πνεύματα εἰς διακονίαν ἀποστελλόμενα;»[1]. Ἐνταῦθα δὲ ἰδικόν τί φησι καὶ ὡς ἂν ἐκεῖνο γνωρίσαι ἱκα**399**νόν, ὃ μόνον ἐκ τοῦ Πατρός «ἐκπορεύεται», τῇ τοῦ Πνεύματος φωνῇ κυρίως καλούμενον ἐν τῇ θείᾳ Γραφῇ.

«Καὶ ὑμεῖς δὲ μαρτυρεῖτε», φησίν, «ὅτι ἀπ' ἀρχῆς μετ' ἐμοῦ ἐστε»[2]. Ἐκ γὰρ τοῦ συνεῖναι πάντοτε, ἀξιόπιστον ἀνάγκη τὴν μαρτυρίαν καθεστάναι, ὑμῶν μὲν φθεγγομένων, τοῦ δὲ Πνεύματος ἐπιμαρτυροῦντος τοῖς λεγομένοις διὰ τῶν ἐπιτελουμένων θαυμάτων, καθὼς καὶ ὁ Ἀπόστολός φησι, «Καὶ ὁ λόγος μου καὶ τὸ κήρυγμά μου οὐκ ἐν πειθοῖς σοφίας λόγοις, ἀλλ' ἐν ἀποδείξει Πνεύματος καὶ δυνάμεως»[3].

Ὧδε οὖν περὶ ἐκείνου λέγει, ὃ μόνον ἐκ τοῦ Πατρὸς ἔξεισι, Πνεῦμα κυρίως μόνον καλούμενον.

Εἶτα εἰπὼν τό «ὑμεῖς δὲ μαρτυρεῖτε», τοῦτο διδάσκει, ὅτι οὐκ οἰκείᾳ φωνῇ, ἀλλὰ δι' ὑμῶν τῶν ἀεί μοι συνόντων καὶ ἀξιοπίστων διὰ τοῦτο ὄντων μαρτύρων, ὑμῶν μὲν φθεγγομένων, ἐκείνου δὲ συνεπιμαρτυροῦντος διὰ τῶν θαυμάτων.

Ἰω. 16,1

Προαναγγέλλει τὰ ἐσόμενα ἵνα μή, φησίν, ἀπροόπτως τῶν δεινῶν ἐπελθόντων αὐτοῖς παρατραπῶσι τὴν γνώμην[4].

Ἰω. 16,2

Οὐ μόνον «ἀποσυναγώγους ποιήσουσιν»[5], ἀλλ' οὕτως εὐσεβὲς

---

1. Ἑβρ. 1,14. **2.** Ἰω. 15,27. **3.** Α' Κορ. 2,4. **4.** Πρβλ. Ἰω. 16,1. **5.** Ἰω. 16,2.

ἡγήσονται τὸ σφάξαι ὑμᾶς, ὡς οἴεσθαι τὴν σφαγὴν ὑμῶν θυσίαν προσάγειν τῷ Θεῷ οὐ μόνον Ἰουδαῖοι, ἀλλὰ καὶ ἐθνικοὶ καὶ οἱ ἀπὸ τῶν αἱρέσεων.

Ἰω. 16,3

Ἱκανὸν ὑμῖν πρὸς παραμυθίαν τὸ γνῶναι διὰ τίνα πάσχετε καὶ ὅσων ἔσται ὑμῖν ἀπόλαυσις ἀγαθῶν διὰ ταῦτα.

Ἰω. 16,4

Διὰ τοῦτο προλέγω ἵνα μὴ παρ' ἐλπίδα ὁρῶντες τὰ δεινὰ δειλιάσητε, ἀλλὰ καὶ ὅταν ἐκβῇ γνῶτε ὅτι εἰδὼς τὰ ἐσόμενα προεῖπον[1], καὶ ὅπως πεισθῆτε ὅτι καὶ μισθὸς ὑμῖν ὑπὲρ τούτων θήσεται.

Ἰω. 16,5-6

Ἐπειδὴ συνὼν ὑμῖν ἠδυνάμην τὰ χρήσιμα ὑμῖν λέγειν, διὰ τοῦτο ἔκτοτε οὐκ εἶπον. Θέλων δὲ αὐτοὺς ἐκ τῆς λύπης ἀναστῆσαι ἐλεγκτικώτερόν φησιν, ὅτι Πολλάκις μὲν λέγοντά με ὅτι ἀπέρχομαι ἠρωτᾶτε, Ποῦ[2]; Νῦν δὲ οὔ, οὕτως ὅλοι τῆς λύπης γεγονότες εἴδεσθε[3].

Ἰω. 16,7

400 Κἂν λυπῆσθε οὐ δύναμαι μὴ τὸ ἀληθὲς εἰπεῖν. Ἐὰν μὴ ἐγὼ πάθω, οὐδὲν συμβαίνει τῶν ἀγαθῶν· ἐὰν γὰρ μὴ ἐγὼ δοξασθῶ τῇ δόξῃ, ᾗ εἶχον, οὐκ ἐπιφοιτᾷ καὶ ἐφ' ὑμᾶς τὸ Πνεῦμα[4], ὃ αἴτιόν ἐστι πάσης δόσεως ἀγαθῆς.

---

1. Πρβλ. Ἰω. 16,4. **2.** Πρβλ. Ἰω. 16,5. **3.** Πρβλ. Ἰω. 16,6. **4.** Πρβλ. Ἰω. 16,7.



Ἰω. 16,8-11

[780] Οὕτω φοβερά τίς ἐστι, φησί, τοῦ Ἁγίου Πνεύματος ἡ κάθοδος, ὡς ἐπιφοιτήσαντος τοῖς ἀνθρώποις φανῆναι τῶν ἐπιβεβουλευκότων ἐμοὶ τὴν ἁμαρτίαν.

Ἡ τοῦ Πνεύματος κάθοδος οὕτω μεγάλη ἐστίν, ὅτι τότε φανερωθήσεται ἡ τῶν εἰς ἐμὲ πλημμελησάντων ἁμαρτία[1].

Τότε καὶ ἡ δικαιοσύνη μου φανεροῦται ἐξ ὧν ἄπειμι συγκαθεζόμενος τῷ Πατρὶ καὶ ἀθέατος γινόμενος τοῖς ἀνθρώποις, ὅμως καὶ ἡ τοῦ πάθους οἰκονομία δείκνυται οὐκ εἰκῇ γεγονυῖα, ἀλλ' ἐπὶ καθαιρέσει τοῦ διαβόλου δικαίως[2]. Ὅταν γὰρ ἡ τοῦ Πνεύματος δύναμις θεραπεύῃ χωλούς, δαιμονιῶντας καὶ ὅσα ὅμοια, ἡ κατάλυσις τοῦ διαβόλου δείκνυται διὰ τῶν πραγμάτων[3].

Ἰω. 16,12-13

Μάλιστα πάντων ὑμεῖς ἔχετε ἔσεσθαι τῆς τοῦ Πνεύματος δυνάμεως. Ἃ γὰρ οὔτε ἀκοῦσαι νῦν δύνασθε ὡς μὴ συνιέντες ταῦτα[4], γνώσεσθε τοῦ Πνεύματος ἐφ' ὑμᾶς ἐλθόντος, πᾶσαν ὑπ' αὐτοῦ διδασκόμενοι τὴν ἀλήθειαν τῶν δογμάτων.

Εἰπὼν δὲ τό «οὐ λαλήσει ἀφ' ἑαυτοῦ»[5] οὐ δι' ἀσθένειαν λέγει, ἀλλὰ διὰ τὴν ἀκριβῆ συμφωνίαν καὶ ὁμόνοιαν τῆς Τριάδος, — οὐν νῦν πρῶτον μαθὼν διὰ τοὺς ἀνθρώπους τί δεῖ εἰπεῖν τό «ἰδὸν τὰ τοῦ Θεοῦ βάθη καὶ πάντα ἐρευνῶν»[6]· οἰκονομικῶς γὰρ λαλεῖ, σαρκικῶς τὰ πολλὰ ὡς οὐ δυναμένων ἐκείνων ἄλλως νοῆσαι τὰ λαλούμενα, ὅμως καὶ εἰπὼν ὅτι «τὰ ἐσόμενα ἀναγγελλεῖ ὑμῖν»[7] παρέστησε τὴν τοῦ Πνεύματος ἀξίαν δι' ὧν τοῖς ἀνθρώποις χαρίζεται τῶν ἐσομένων τὴν πρόγνωσιν.

---

1. Πρβλ. Ἰω. 16,8-9. **2.** Πρβλ. Ἰω. 16,10. **3.** Πρβλ. Ἰω. 16,11. **4.** Πρβλ. Ἰω. 16,12. **5.** Πρβλ. Ἰω. 16,13. **6.** Α' Κορ. 2,10. **7.** Ἰω. 16,13,14,15.

Ἰω. 16,14

401 Ἐκεῖνο, φησί, διδάξει τοὺς ἀνθρώπους τὴν οὖσάν μοι δόξαν, κατὰ τὸ ἀληθὲς ἔχον τὴν αὐτὴν ἐμοὶ οὐσίαν καὶ ἐκ τῶν αὐτῶν προλέγον ἐξ ὧν καὶ ἐγώ[1]· Θεὸς γὰρ ἐγώ, καὶ Θεὸς τὸ Πνεῦμα, καὶ ὁ Πατήρ.

Ἰω. 16,15

Ὡς γάρ φύσει ὢν Υἱὸς πάντα ἔχει φυσικῶς τὰ τοῦ Πατρός, διὸ φησιν. Ἐπειδὴ τοῦτο οὕτως ἔχει, καὶ ὅλη ἐστὶν ἐν ἐμοὶ ἡ τοῦ Πατρὸς οὐσία, διὰ τοῦτο εἶπον καὶ τὰ τοῦ Πνεύματος ἴδια ἐμά, ὡς κοινὰ τῆς ἁπάσης ὄντα Τριάδος[2]. Ταῦτα οὖν εἰπὼν ἔδειξεν ὅτι συμφέρει ἐλθεῖν τὸν Παράκλητον, ἵνα τούτων ἁπάντων τύχωσιν, ὅπερ οὐκ ἦν δυνατὸν γενέσθαι πρὸ τοῦ πάθους.

Ἰω. 16,16

Μετά «μικρόν με οὐκ ὄψεσθε», ὅτι ἀποθνήσκω καὶ θάπτομαι· «πάλιν θεωρεῖτέ με»[3] εὐθὺς ὅτε ἀνίσταμαι, καὶ μετὰ ταῦτα δρᾶτέ με εἰς οὐρανοὺς ἀνιόντα πρὸς τὸν Πατέρα μου καὶ Θεόν.

Ἰω. 16,17

Διηπόρουν οἱ μαθηταὶ ὡς μὴ συνιέντες πρὸ τῶν πραγμάτων τὰ λεγόμενα[4].

Ἰω. 16,18-20

Οὐχ ἡρμήνευσε τί ἐστι τό «μικρόν» καί «μικρόν»[5], ἐάσας αὐτοὺς διὰ τῶν πραγμάτων ταῦτα γινώσκειν. Ὅμως πρὸς παραμυθίαν αὐτῶν τὰ ἑξῆς ἐπάγει, λέγων. Οἶδα ὅτι τὸ ἐμὸν πάθος ὑμᾶς μὲν λυπήσει, τοὺς δὲ ἐναντίους εὐφρανεῖ, ἀλλ᾽ ἔσται ὑμῖν γαλήνη· μετὰ γὰρ τὴν λύπην ἔσται ὑμῖν χαρά[6].

---

1. Πρβλ. Ἰω. 16,14. **2.** Πρβλ. Ἰω. 16,15. **3.** Πρβλ. Ἰω. 16,16. **4.** Πρβλ. Ἰω. 16,17. **5.** Ἰω. 16,18,19. **6.** Πρβλ. Ἰω. 16,20.

Ἰω. 16,21-22

Ἐπειδὴ ἀποθανὼν αὐτοῖς ἐφαίνετο τὸ ἀπὸ λύπης γενέσθαι χαράν, παραδείγματι κέχρηται τῷ κατὰ τὴν τίκτουσαν[1]. Ὥσπερ γὰρ ἐπὶ τῆς γυναικός, οὕτω καὶ ὑμεῖς παρὰ τὸν τοῦ πάθους καιρὸν ὀδυνώμενοι, ὅταν ἴδητέ με εἰς ἀφθαρσίαν τεχθέντα καινὸν ἄνθρωπον ἅμα χαρήσεσθε, καὶ οὐδεὶς ἀφ' ὑμῶν ἔτι τὴν χαρὰν αἴρει[2]· οὐ γὰρ ἔτι με λοιπὸν ἀποθανεῖν δυνατόν.

Ἰω. 16,23-24

Τοῦτο λέγει ὅτι οὐ χρεία ἔσται ὑμῖν παρακλήσεως τότε· ἐν αὐτῇ γὰρ τῇ ἐπιφοιτήσει τοῦ Πνεύματος πάντων λήψεσθε τῶν ἀγαθῶν τὴν μετουσίαν. Ἄνω οὖν εἰπὼν «οὐκ ἐρωτήσετε»[3], μετ' ὀλίγον δὲ ὅτι «ἂν αἰτήσητε», δοκεῖ ἐναντία λέγειν διὰ τὸ αἰνιγματῶδες. Ὃ δὲ λέγει τοιοῦτόν ἐστιν, ὅτι μετὰ τὴν τοῦ Πνεύματος κάθοδον οὕτως ἄφθονον ἕξετε τὴν χάριν τοῦ Πνεύματος, ὡς μηδὲ προσευχῆς ὑμῖν δεῖν, — οὐ γὰρ τοσοῦτον ἡ προσευχὴ κατορθοῖ τὰ θαύματα ὡς τῇ τοῦ Πνεύματος χάριτι, — ὡς ἐπειδὴ «ἕως ἄρτι»[4] οὐκ ἐνομίζετε ὠφελεῖν τὸ ὄνομά μου προσευχόμενοι, καλεῖν νῦν τοῦτο.

Ἰω. 16,25

402 Σαφῶς λέγει ὅτι μετὰ αἰνίγματος αὐτοῖς ἐλάλει· ἐν δὲ τῷ καιρῷ τῆς τοῦ Πνεύματος καθόδου σαφῶς ὑμῖν ἐμβάλλω τὴν τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ γνῶσιν. Ταύτην γὰρ λέγει τὴν μετὰ παῤῥησίας περὶ τοῦ Πατρὸς ἀπαγγελίαν[5]· οἱ γὰρ ταῦτα εἰδότες ὅτι ὁ Πατήρ ἐστιν ἐξ ἑαυτοῦ... αὐτὸν αἰτοῦντες τὸν Πατέρα.

Ἰω. 16,26-27

[780] Ἀνωτέρω λέγει, «κἀγὼ ἐρωτήσω τὸν Πατέρα καὶ

Οἱ γνόντες ὅτι ὁ Υἱὸς ὁμοούσιός ἐστι τῷ Πατρί, ἀκολούθως

---

1. Πρβλ. Ἰω. 16,21. **2.** Πρβλ. Ἰω. 16,22. **3.** Ἰω. 16,23. **4.** Ἰω. 16,24. **5.** Πρβλ. Ἰω. 16,25.

ἄλλον Παράκλητον δώσει ὑμῖν»[1], ἐνταῦθα δὲ Καὶ οὐ λέγω ὑμῖν ὅτι ἐγὼ ἐρωτήσω τὸν Πατέρα περὶ ὑμῶν· δοκεῖ δὲ ταῦτα ἐναντία εἶναι. Ἀλλ' ἐκεῖ μὲν περὶ τῆς εἰς οὐρανοὺς ἀνόδου διελέγετο, μεθ' ἣν ἡ τοῦ Πνεύματος ἐγίνετο κάθοδος, — τοῦτο δὲ τῇ οἰκονομίᾳ ἥρμοττεν, — ἐνταῦθα δὲ Τὴν τῆς θεότητός μου ἀξίαν γνώσεσθε, φησί, σαφῶς. Καὶ τό «οὐκ ἐρωτᾶν» ἀποφαίνεται, δεικ**403**νὺς ὅτι οὐ χρήσει τοῦ αἰτεῖν ὑπὲρ αὐτῶν, διδόναι καὶ αὐτὸς ὁμοίως δυνάμενος. Ἵνα δὲ μὴ σαφῶς αὐτὸ εἰπὼν ἀσθενέστερον ἔτι τοῖς μαθηταῖς διακειμένοις αὐθαδείας ἀπενέγκηται **[781]** δόξαν, «φιλῶν» γάρ «ὑμᾶς», φησίν, «ὁ Πατήρ» ὑπὲρ τῆς περὶ ἐμὲ φιλίας δώσει πάντα ὑμῖν[2]. ὡς παρὰ Υἱοῦ αἰτοῦσι ταῦτα ἅπερ αἰτεῖ τὸν Πατέρα. Εἰπὼν δὲ ὅτι, οὐκ αἰτῷ, σημαίνει ὅτι Θεός ἐστι, δυνάμενος καὶ αὐτὸς δοῦναι περὶ ὧν αἰτεῖτε, καὶ μὴ αἰτῶν τὸν Πατέρα. Ἄνω γὰρ ὡς ἄνθρωπος οἰκονομικῶς εἶπε, «Κἀγὼ ἐρωτήσω τὸν Πατέρα καὶ ἄλλον παράκλητον δώσει ὑμῖν».

Πῶς γὰρ ἤμελλεν αἰτεῖν περὶ τοῦ ἤδη δόξαντος τῷ Πατρί;

Ὅμως ἵνα μὴ δόξῃ αὐθάδης λέγειν τό «οὐκ ἐρωτήσω», ἐπάγει ῥῆμα χθαμαλὸν διὰ τὴν τῶν ἀκουόντων ἀσθένειαν, λέγων ὅτι φιλῶν «ὑμᾶς ὁ Πατήρ» πάντα ὑμῖν δώσει διὰ τῆς ὑπὲρ ἐμὲ φιλίας.

Τοῦτο οὖν λέγει, καὶ φεύγων τὸ εἶναι ὑπέρογκος, καὶ δεικνὺς ὅτι κοινωνεῖ ὁ Πατὴρ τῷ Υἱῷ ἐν τῷ δοῦναι.

Ἰω. 16,27-28

Τό «ἐξῆλθον παρὰ τοῦ Πατρός»[3] δηλοῖ ὅτι σεσάρκωται ὁ Λόγος ἀτρέπτως, καὶ τὸ «ἀνελθεῖν πρὸς τὸν Πατέρα» ὅτι σὺν τῇ ἑαυτοῦ σαρκὶ ἄνεισι πρὸς τὸν Πατέρα μετὰ τὸ οἰκονομῆσαι καλῶς πάντα τὰ ἐπὶ τῆς γῆς, ὥστε καὶ τὰ εἰς οὐρανοὺς εὐτρεπίσαι ἡμῖν.

---

1. Ἰω. 16,26. **2.** Πρβλ. Ἰω. 16,27. **3.** Ἰω. 16,28.

Ἰω. 16,32

Ἀπὸ μέρους αὐτῶν ἐλέγχει τὴν ἀσθένειαν, ὅτι οὐ γινώσκουσι τὰ λεγόμενα καὶ μάτην μεγαλαυχοῦσιν ὡς πιστοί, οἱ μετὰ βραχὺ καταλείψοντες αὐτὸν μόνον[1].

Ἰω. 16,33

Ταῦτα εἶπον ἵνα ὅταν τῶν ἐμῶν πειραθῆτε λόγων σπεύσητε μὴ πλανᾶσθαι τοῦ λοιποῦ εἰς τὸ ἀρνήσασθαί με. Ἀλλ' εἰ καὶ βαρεῖς οἱ θλίβοντες ὑμᾶς, ἀλλ' εὐθυνεῖτε· περιγενήσομαι γὰρ τῶν ἐπιβούλων ἀναστάς, ὅπερ καὶ ὑμεῖς ὑποστήσεσθε καὶ κρείττους γενήσεσθε θανάτου, πιστεύοντες τοῦ πάθους μοι καὶ τῆς Ἀναστάσεως γενέσθαι κοινωνοί[2].

Ἰω. 17,1

Δείκνυσι τῶν ῥητῶν ἡ ἀκριβὴς ἐξέτασις, ὅτι οὐκ αἴτησίς ἐστιν ἀλλ' αἰτήσεως σχῆμα.

Ὃ δὲ λέγει «δόξασόν με»[3] ὡς ἄνθρωπος οἰκονομικῶς λαλεῖ, διὰ τὸ τῶν μαθητῶν ἄπιστον αἰτεῖ, ἀντὶ τοῦ ἀνάστησόν με.

Δι' οὗ μέλλω δοξάζεσθαι ὡς Θεὸς ἀνερχόμενος ἐν οὐρανῷ καὶ καθεζόμενος ἐκ δεξιῶν σου, φησὶν οὖν ὅτι ἀξίως με «δόξασον», ὦ Πάτερ, ἐν τῷ καιρῷ τοῦ πάθους, τῆς ἐμῆς ὑπεροχῆς. Δεῖξον ὅτι Υἱός σού εἰμι φύσει καὶ ἐν τῷ σταυρῷ ὤν, δι' ὅν με δοξάζεις, ἵνα πάντες τοῦτο γνῶσιν ὅτι οὐχ ὡς ἄξιος τοῦτο πάσχω οὔτε ἄκων, ἀλλ' ἵνα πᾶσιν ἀνθρώποις αἴτιος γένωμαι ἀγαθῶν μεγίστων. Τὸ γάρ «δόξασον» οὐ τοῦτο σημαίνει, ὅτι δός μοι δόξαν, **404** ἀλλὰ τὴν προσοῦσάν μοι δόξαν ταύτην δεῖξον. Ἀπὸ γὰρ τούτων δι' ἐμοῦ καὶ σὺ ἐπίδοξος φανήσῃ· ὅσῳ γὰρ μέγας φαίνεται ὁ σὸς Υἱός, τοσούτῳ μέγας αὐτός δειχθήσῃ. Τὸ δὲ ἵνα οὐ διά τινα αἰτίαν εἶπεν, ἀλλ' ἰδίωμά ἐστι τοῦτο τῆς Γραφῆς.

---

1. Πρβλ. Ἰω. 16,32. **2.** Πρβλ. Ἰω. 16,33. **3.** Ἰω. 17,1.

Ἰω. 17,2

Τοῦτο λέγει ὅτι, ὡς ἄνθρωπος οἰκονομικῶς λαβὼν τὴν κατὰ πάντων ἐξουσίαν, πρόξενος αἰωνίου ζωῆς γίνεται τοῖς εἰς αὐτὸν πιστεύουσιν[1].

Ἰω. 17,3

Τοῦ ἔχειν ζωὴν αἰώνιον πρόξενος ἡ βεβαία πίστις καὶ τὸ εἰς ἕνα Θεὸν πιστεύειν καὶ μὴ τὴν τοῦ Θεοῦ προσηγορίαν περιάπτειν ἄλλοις, ἀλλὰ πιστεύειν οὐ μόνον εἰς Πατέρα, ἀλλὰ καὶ εἰς τὸν αὐτοῦ Υἱὸν τὸν σαρκωθέντα δι' ἡμᾶς καὶ ἀποσταλέντα ἐπὶ τῇ τῶν ἀνθρώπων σωτηρίᾳ[2]. Τοῦτο δὲ τὸ δόγμα τῆς μὲν πολυθέου πλάνης ἐκβάλλει τὸ ψεῦδος· ἕνα μόνον λέγων Θεόν, τῆς δὲ ἰουδαϊκῆς ἀσυνεσίας ὑπερπηδᾷ τὴν οἴησιν, — ἐπείπερ Ἰουδαίων μόνον Πατέρα σεβόντων μὴ μὴν εἰδότων ὅτι ἐκ Πατρὸς ἀῤῥήτῳ λόγῳ ὁ τούτου Υἱὸς ἐτέχθη, — χριστιανοὺς διδάσκει καὶ τὸν τεχθέντα Θεὸν ἐκ τοῦ Πατρὸς σέβειν καὶ τὸ ἐκ Πατρὸς δι' Υἱοῦ χορηγούμενον Πνεῦμα καὶ ὂν ἐν ἰδίᾳ συστάσει ὁμοούσιον Πατρὸς καὶ Υἱοῦ, ὅπερ ἐστὶ τελεία ζωὴ καὶ τῆς αἰωνίου ζωῆς πρόξενος.

Ἰω. 17,4-5

Τὰ παρ' ἐμοῦ γεγένηται· πᾶσι γὰρ ἀνθρώποις τὴν σὴν ἐγνώρισα δόξαν καὶ τὸ ἐγχειρισθὲν ἔργον ὑπὲρ τῆς τῶν ἀνθρώπων σωτηρίας ἐτελείωσα[3]. Καὶ σὺ οὖν με δεῖξον ἅπασι τίς εἰμι, ἵνα μὴ τῷ πάθει τῆς ἐμῆς σαρκὸς προσέχοντες μένωσι μηδὲν ἀξιόλογον περὶ ἐμοῦ λογιζόμενοι. Δεῖξον οὖν με αὐτοῖς, γνωρίσας αὐτοῖς τὴν θείαν μου φύσιν τὴν πρὸ τοῦ γενέσθαι τὸν κόσμον οὖσαν, τὴν ἀόρατον, δι' ἧς καὶ ἡ δόξα μου γίνεται καταφανής[4]. Οἰκονομικῶς οὖν ἐν σχήματι προσευχῆς ταῦτά φησιν, ἵνα προείπῃ τὰ μέλλοντα ἔσεσθαι.

---

1. Πρβλ. Ἰω. 17,2. **2.** Πρβλ. Ἰω. 17,3. **3.** Πρβλ. Ἰω. 17,4. **4.** Πρβλ. Ἰω. 17,5.

Ἰω. 17,6-8

[781] Βούλεται εἰπεῖν ὅτι δῆλόν σε πᾶσιν ἐποίησα τοῖς ἀνθρώποις, οὐδενὶ βασκήνας τῆς
405 διδασκαλίας. Οὐ μὴν πάντες ὁμοίως ἐπίστευσαν, ἀλλ' ἡ μὲν ἐμὴ φιλοτιμία πάντας μαθεῖν ἐβούλετο, ἡ δὲ προαίρεσις τοὺς οἰκείους διέκρινεν· ἀπὸ γὰρ τοῦ κόσμου παντὸς οἱ ἀληθῶς προσήκοντες τῇ τῆς γνώσεώς σου οἰκειότητι, οὗτοι τοῖς ἐμοῖς λόγοις ἐπίστευσαν.

Ταῦτα δὲ πρὸς βεβαίωσιν ἔφη τῶν μαθητῶν, δεικνὺς ὅτι οὐκ ἔνεστιν οἰκείως ἔχοντα πρὸς αὐτὸν ἀλλότριον εἶναι τοῦ Πατρός.

Τὸ δὲ ἑξῆς τοιοῦτόν ἐστιν. Οὐ νῦν ἔγνωστο οἰκεῖα τοῦ Πατρὸς εἶναι τὰ δοθέντα αὐτῷ, οὔτε διὰ τοῦτο ἔγνωσαν ἐπειδὴ αὐτὸς μὲν εἶπεν, ἐπίστευσαν δὲ ἐκεῖνοι.

Ἀλλὰ τοῖς προκειμένοις ἀκολούθως εἰπεῖν ἐβουλήθη. Ἡ γὰρ μεγίστη, φησίν, ἀπόδειξις τοῦ σφόδρα πρός σε οἰκείως ἔχειν τοὺς πιστεύοντας ἐμοί, ὅτι πείθονται τοῖς ῥήμασιν οἷς ἐγώ φημι κατὰ γνώμην τὴν σήν. Τοῦτο γάρ ἐστι «τὰ ῥήματα ἃ

Αἰνιγματωδῶς ὧδε λαλεῖ. **[781]** Βούλεται γὰρ εἰπεῖν ὅτι δῆλον μέν σε πᾶσιν ἀνθρώποις πεποίηκα, οὐδένα στερήσας τῆς σῆς διδασκαλίας, εἰ καί τινες οὐκ ἠθέλησαν πεισθῆναι· ἀπὸ γὰρ τοῦ κόσμου οἱ ἀληθῶς σοι προσήκοντες διὰ τὴν εὐπείθειαν, οὗτοί μοι ἐπίστευσαν καὶ τοὺς ἐμοὺς φυλάττουσι λόγους[1]. Τοῦτο οὖν λέγει ὅτι οἱ πρός σε οἰκείως ἔχοντες, οὗτοι μαθηταί μού εἰσι.

Ταῦτα δὲ λέγει, δεικνὺς ὅτι οὐκ ἔστι δυνατὸν τὸν οἰκειωθέντα αὐτῷ ἀλλότριον εἶναι τοῦ Πατρός.

Καὶ τὸ λέγειν δέ «νῦν ἔγνων»[2] αἴνιγμά ἐστιν ἐοικὸς τῷ «νῦν ἔγνων ὅτι φοβῇ σὺ τὸν Θεόν»[3], ὅπερ δηλοῖ ὅτι μεγίστην παράσχου τοῦ φόβου τοῦ ἐμοῦ τὴν ἀπόδειξιν.

Καὶ ὧδε οὖν τοῦτο σημαίνει ὅτι μεγάλης ἀπόδειξις πίστεως, ὅτι οἱ ἐμοὶ πειθόμενοι οἰκειοῦνται τῷ Πατρί, ἐξ ὧν τὰ σὰ ῥήματα λέγων αὐτοῖς πείθω αὐτούς. Τούτο γὰρ σημαίνει τό «τὰ ῥήματα ἃ δέδωκάς μοι ἔ-

---

1. Πρβλ. Ἰω. 17,6. **2.** Ἰω. 17,7. **3.** Λουκ. 23,40.

δέδωκάς μοι δέδωκα αὐτοῖς» οὕτω γὰρ κἀμὲ ἐδέξαντο ὡς κατὰ τὴν σὴν γνώμην αὐτοῖς κηρύττοντα, ὥστε διὰ τῆς εἰς ἐμὲ πίστεως αὐτόν σε τὸν τιμώμενον εἶναι.

δωκα αὐτοῖς»[1]· διὰ γὰρ τοῦτό με ἐδέξαντο, ὡς κατὰ τὴν σὴν γνώμην εἰσελθόντα ἐν τῷ κόσμῳ καὶ κηρύττοντα αὐτοῖς. Ταῦτα οὖν πάντα ἀπόδειξίς ἐστι τῶν πιστευόντων αὐτῷ τῆς πρὸς τὸν Πατέρα οἰκειότητος.

Ἰω. 17,9-11

406 Ἔστι μοι, φησίν, ὁ λόγος οὐ περὶ πάντων, ἀλλὰ περὶ τῶν πιστῶν. Οὗτοι γὰρ οἱ ἐκ τοῦ Πατρὸς δοθέντες, οἵτινες σοὶ ὄντες ἐμοὶ ἐγένοντο διὰ τὴν ἰσότητα τὴν ἐμὴν καὶ σήν, δι' ἣν καὶ ἐπίδοξος παρὰ πᾶσι καθίσταμαι. Ἐπεὶ οὖν ἐγὼ μεθίσταμαι σώματι ἐκ τοῦ κόσμου, οὗτοι δὲ μένουσιν ἐν περιστάσεσι τοῦ κόσμου καὶ χρῄζουσιν ἀσφαλείας, φύλαξον αὐτούς[2].

Ἰω. 17,11

Φυσικῶς ὁ Χριστὸς συνῆπται τῷ Πατρὶ ὡς Θεὸς Λόγος καὶ ἡμῖν ὡς ἄνθρωπος, καὶ ἡμεῖς οὖν ἑνούμεθα τῷ Χριστῷ ὡς σάρκες αὐτοῦ καὶ μέλη τὴν πνευματικὴν κοινωνίαν διὰ τῆς πίστεως δεχόμενοι. Οὕτω οὖν συναπτόμενοι τῷ Χριστῷ τὴν πρὸς τὸν Πατέρα οἰκείωσιν δεχόμεθα. Ὃ οὖν λέγει, τοῦτό ἐστιν· ὥσπερ ἐγὼ Θεὸς ὢν φύσει ἔνειμί σοι κατὰ τὴν οὐσίαν, οὕτω καὶ τούτους διὰ τῆς τοῦ Πνεύματος χάριτος ποίησον ἡμῖν ὡς υἱοὺς συναφθῆναι καὶ καλεῖν σε «Ἀββὰ ὁ πατήρ»[3]. Τοῦτο γάρ ἐστι τό «ἐν τῷ ὀνόματί σου»[4].

Ἰω. 17,12

Ὡς ἐν σχήματι τῆς προσευχῆς φησιν ὅτι μετ' αὐτῶν ὢν ἐπεμελόμην αὐτῶν, ὥστε μὴ παρατραπῆναι τῆς εὐσεβείας, ἀλλὰ μεῖναι ἐν τῇ σῇ οἰκειώσει. Ἔμειναν οὖν πάντες τῇ διαθέσει τῇ περὶ σὲ καὶ

---

1. Ἰω. 17,8. **2.** Πρβλ. Ἰω. 17,9-10. **3.** Ρωμ. 8,15. **4.** Ἰω. 17,11.

οὐδεὶς παρετράπη εἰς μὴ μόνος ἐκεῖνος, ὃς δῆλος ἦν ὅτι τοιοῦτος ἔσται. Ἐπεὶ οὖν ἔρχομαι πρὸς σέ, τήρησον αὐτούς[1].

Ἰω. 17,13

Ὡς ἐν προσευχῆς σχήματι καὶ ἐπὶ ταῖς θλίψεσιν αὐτοὺς παραμυθεῖται[2]. Ὅτι ἐκ τοῦ κόσμου σαρκικῶς μεθίσταμαι, θέλω αὐτοὺς μὴ ἀθυμεῖν, ἀλλὰ καὶ μᾶλλον χαίρειν ἐπ' ἐμοὶ μαθόντας ὅτι Θεός εἰμι καὶ ὡς Θεὸς πρὸς τὸν Πατέρα χωρῶ[3].

Ἰω. 17,14-16

Θέλω αὐτοὺς μὴ ἀθυμεῖν ἐν ταῖς θλίψεσιν, ἃς ὑπομένουσι τὸν ἐμὸν κηρύττοντες λόγον, δι' ὃν καὶ μισοῦνται ὑπὸ τοῦ κόσμου. Τούτων γὰρ ἕνεκεν αἰτῶ, οὐχ ὥστε αὐτοὺς ληφθῆναι ἐκ τοῦ κόσμου, ἀλλ' ὥστε ἐν αὐτῷ τυγχάνοντας ἔξω τῶν πονηρῶν τοῦ κοσμικοῦ βίου γενέσθαι. Εἰπὼν δέ «ἐκ τοῦ κόσμου οὐκ εἰσί»[4], τὴν ἀναγέννησιν αἰνίττεται δι' ἧς ἔμελλον ἐν οὐρανοῖς εἶναι σὺν Χριστῷ ὡς μέλη αὐτοῦ. Εἰ δέ φησιν, «ὡς ἐγὼ οὐκ εἰμί», οἰκονομικῶς ὡς ἄνθρωπος λέγει.

Ἰω. 17,17

Δὸς αὐτοῖς τὴν τοῦ Πνεύματος μετουσίαν, δι' οὗ ἁγιασθήσονται «ἐν τῇ ἀληθείᾳ σου»[5] (ἀληθινῶς καὶ βεβαίως λέγει). Τούτου δὲ τοῦ ἁγιασμοῦ τεύξονταί σου προστάξαντος καὶ βουληθέντος· λόγον γὰρ τὴν βουλὴν καὶ τὸ πρόσταγμα λέγει τοῦ Θεοῦ.

Ἰω. 17,18-19

407 Τοσοῦτον αὐτοὺς ἐνισχύσει τὸ Πνεῦμα, ὡς ἰσχύσαι πάντα τὸν κόσμον περινοστῆσαι καὶ κηρῦξαι ὥσπερ κἀγὼ ἐκήρυξα[6]. Διὰ γὰρ τοῦτο προσάγω ἐμαυτὸν τῷ πάθει, ἵνα δι' ἐμοῦ τύχωσι τοῦ

---

1. Πρβλ. Ἰω. 17,12. **2.** Πρβλ. Ρωμ. 5,11. **3.** Πρβλ. Ἰω. 17,13. **4.** Πρβλ. Ἰω. 17,14. **5.** Ἰω. 17,17. **6.** Πρβλ. Ἰω. 17,18.

ἁγιασμοῦ τοῦ διὰ τοῦ Πνεύματος καὶ ἁγιασθῶσι, καὶ δυνηθῶσι τὴν ἀλήθειαν κηρῦξαι, βεβαίαν ἔχοντες τῆς ἀναστάσεως τὴν ἐλπίδα. Ἁγιάζειν δὲ αὐτὸν λέγει ὡς μετὰ τὸ πάθος μέλλων σὺν τῷ ἰδίῳ σώματι ἀνατρέχειν εἰς οὐρανὸν καὶ ἐν ἁγιασμῷ εἶναι[1].

Ἰω. 17,20-21

Οὐ μόνοις τούτοις αἰτῶ ταῦτα ἔσεσθαι· ἀλλ' ὅσοι διὰ τούτων πιστεύειν μέλλουσι[2], θέλω ἵνα πάντες ἓν ὦσιν ὁμοῦ πάντες ἀνιστάμενοι, καὶ κατὰ τοῦτον τὸν λόγον ἓν γινόμενοι πάντες διὰ τὸ τῆς ἀναστάσεως κοινόν, καὶ ὡς κεφαλὴν λογιζόμενοι καὶ ἀρχὴν τῆς τοιαύτης ὑπάρξεως τὸν Χριστόν. Οὕτω γὰρ πάντες, διὰ τοῦ Βαπτίσματος τοῦ γινομένου εἰς τὸν θάνατον τοῦ Χριστοῦ καὶ τὴν Ἀνάστασιν, ἓν σῶμα γινόμεθα τοῦ Χριστοῦ, κεφαλῆς ἡμῶν οὔσης τοῦ Χριστοῦ· δι' οὗ τῷ Χριστῷ συναπτόμενοι ἑνούμεθα τῷ Πατρί. Ἐὰν οὖν τούτου τύχωσι πάντες, γνώσονται ὅτι κατὰ σὴν ἦλθον γνώμην καὶ οὐκ ἄνευ τῆς σῆς εὐδοκίας[3] καθὼς συκοφαντοῦντες Ἰουδαῖοί φασιν.

Ἰω. 17,22-23

Εἰ μὴ σχῆμα ἦν αἰτήσεως, οὐκ ἂν ἔλεγεν ὅτι «δέδωκα αὐτοῖς τὴν δόξαν μου»[4], ὡς αὐτεξουσίως πράττων· διὰ γὰρ τοὺς ἀκούοντας ταῦτα ἔλεγεν, ἵνα γνῶσιν ὅτι καὶ ἡ χάρις ἐγγὺς καὶ αὐτὸς ὡς Θεὸς τῷ Πατρὶ ἴσος διανομεὺς ταύτης. Τὰ δὲ ἑξῆς ὅμοιά ἐστι τῶν προειρημένων, ὅτι ἐξ ὧν οὗτοι λαμβάνουσιν ἀγαθῶν φαίνεται ὅτι οὐκ ἀντίθεός εἰμι, ἀλλὰ παρὰ τοῦ Πατρὸς ἐπέμφθην καὶ ἀγαπῶμαι παρ' αὐτοῦ, καθὼς καὶ οὗτοι οἱ δι' ἐμὲ τῆς τοῦ Πνεύματος μετέχοντες χάριτος[5] διὰ τῆς ἐπὶ τῷ βαπτίσματι ἀναγεννήσεως ἑνούμενοι τῷ Πατρὶ διὰ τοῦ Υἱοῦ Ἰησοῦ Χριστοῦ.

---

1. Πρβλ. Ἰω. 17,19. **2.** Πρβλ. Ἰω. 17,20. **3.** Πρβλ. Ἰω. 17,21. **4.** Ἰω. 17,22. **5.** Πρβλ. Ἰω. 17,23.

Ἰω. 17,24

Τούτους τοὺς ἑνουμένους ἡμῖν θέλω συνεῖναί μοι ἵνα θεωρῶσιν ὅσην ἔχω τιμὴν καὶ στοχάσωνται ὅτι οὐ νῦν ταύτης ἔτυχον, ἀλλὰ πρὸ καταβολῆς κόσμου ἀγαπώμενος παρὰ σοῦ[1].

Ἰω. 17,25

Δικαίως οὖν ἐγὼ τῶν ἀγαθῶν ἀπολαύω ὡς μόνος παρὰ πάντας ἀμέμπτως ζήσας καὶ γνούς σε σὺν τοῖς μαθηταῖς τοῖς πεισθεῖσι τοῖς ἐμοῖς λόγοις[2].

Ἰω. 17,26

Ἐπειδὴ δι' ἐμοῦ ἐδέξαντο τὴν εἰς σὲ γνῶσιν, αἰτῶ τὴν ἐν ἐμοὶ γενομένην ἀγάπην καὶ ἐν αὐτοῖς γενέσθαι, ὥστε κἀμὲ εἶναι ἐν αὐτοῖς δι' ὧν ἐνοικῶ ἐν αὐτοῖς[3] διὰ τοῦ Ἁγίου μου Πνεύματος.

Ἰω. 18,1-2

408 Ἐξ ὧν εἶπεν ὅτι «ᾔδει καὶ ὁ Ἰούδας τὸν τόπον»[4], ἔδειξεν ὅτι καὶ τὸ πάθος εἰδὼς ἐσόμενον καὶ τὸν καιρὸν ἐνεστῶτα, τρόπον τινὰ ἑαυτὸν ἐνεχείριζε τοῖς θέλουσιν αὐτὸν συλλαβέσθαι εἰς τὸν γνώριμον ἀπιὼν τόπον καὶ οὐκ ἀλλαχοῦ.

Ἰω. 18,3

Τὰς μὲν λαμπάδας εἶχον διὰ τὸ σκότος, τὰ δὲ ὅπλα καὶ τὴν σπεῖραν[5], ἴσως ὑποπτεύοντες μή τις ἀντιστῇ.

Ἰω. 18,4-6

Γνοὺς τὸ πάθος οὐκ ἔφυγεν, ἀλλὰ καὶ εἰδὼς τὸν καιρὸν ἀφ' ἑαυτοῦ ἐξῆλθεν εἰς τὸ κατασχεθῆναι[6]. Δι' ὧν δὲ λόγῳ αὐτοὺς ἔρριψε

---

1. Πρβλ. Ἰω. 17,24. **2.** Πρβλ. Ἰω. 17,25. **3.** Πρβλ. Ἰω. 17,26. **4.** Ἰω. 18,2. **5.** Πρβλ. Ἰω. 18,3. **6.** Πρβλ. Ἰω. 18,4.

χαμαί[1], δείκνυσιν ὅτι εἰ ἤθελεν ἠδύνατο αὐτοὺς εὐχερῶς ἀνελεῖν. Λέγει δὲ ὁ εὐαγγελιστὴς ὅτι εἱστήκει καὶ Ἰούδας, ἵνα δείξῃ αὐτοῦ τὸ ἰταμόν, ὅτι οὐδὲ αὐτὸς τοσοῦτον πρᾶγμα ἑωρακὼς γεγονὸς ἀπέστη.

Ἰω. 18,7-9

Ἐπειδὴ παθόντες ὃ ἔπαθον πάλιν ἠρώτων[2], οὐκέτι αὐτοὺς ἔῤῥιψεν, ἀλλὰ συνεχώρησεν ἑαυτὸν συλληφθῆναι, πεῖραν ἅπαξ δοὺς τῆς ἑαυτοῦ δυνάμεως καὶ μὴ πείσας. Εἶτα εἶπε τὸ τῆς Γραφῆς ἰδίωμα, ὅτι διὰ τὸ πληρωθῆναι τὴν Γραφὴν ἐποίησεν ἐκείνους ἀπελθεῖν[3], ὅπερ λέλεκται σημαῖνον τὸ πάντως συμβησόμενον.

Ἰω. 18,10-11

Οὐ χρεία τούτων, φησί· δεῖ γὰρ μετὰ τὸ πάθος ὑποστῆναι, ἐπειδὴ τοῦτο τῷ Πατρὶ δέδοκται ὑπὲρ τῆς ἁπάντων σωτηρίας. Εἰ δὲ ὁ Λουκᾶς ἐμνήσθη ὅτι καὶ τὸ ὠτίον ἰάσατο τοῦ οἰκέτου ὁ Ἰησοῦς[4], οἶδεν ὁ Ἰωάννης οὐδὲν ἐκ τούτου. Ἔθος γὰρ τῷ Ἰωάννῃ τὰ τοῖς ἄλλοις εἰρημένα παρατρέχειν, πλὴν καὶ ἐκ τούτου δείκνυται ὅτι οὐχ ἅμα πάντες γεγονότες ἔγραψαν τὰ Εὐαγγέλια, διὸ ὁ μὲν τόδε εἶπεν, ὁ δὲ ἀφῆκεν, ἵνα διὰ τῆς ἐπὶ τοῖς ἀναγκαίοις συμφωνίας δειχθῇ τὸ τῶν πραγμάτων ἀληθές.

Ἰω. 18,16

Ἐπειδὴ μόνος εἰσελθεῖν οὐκ ἐθάῤῥει ὁ Πέτρος, ἐξελθὼν ὁ Ἰωάννης εἶπε τῇ θυρωρῷ εἰσαγαγεῖν αὐτόν, καὶ εἰσῆλθεν[5].

Ἰω. 18,18

Ὁ μὲν Πέτρος ἑστὼς ἐν τῇ ἀνθρακιᾷ ἠρνήσατο τὸ ἄλλο δεύτερον, καὶ ἐφώνησεν ὁ ἀλεκτρύων[6]. Ὁ δὲ εὐαγγελιστὴς ἐάσας ταῦτα

---

1. Πρβλ. Ἰω. 18,6. **2.** Πρβλ. Ἰω. 18,7. **3.** Πρβλ. Ἰω. 18,8-9. **4.** Πρβλ. Λουκ. 22,51. **5.** Πρβλ. Ἰω. 18,16. **6.** Πρβλ. Ἰω. 18,18.

παρεισήγαγε τὴν πρὸς τὸν Ἰησοῦν γεγονυῖαν διάλεκτον παρὰ τοῦ ἀρχιερέως καὶ οὕτως ἐνέθηκε ταῦτα.

Ἰω. 18,19

409 Ἠρώτα αὐτὸν τίνα ἦν ἃ τοὺς οἰκείους ἐδίδασκε μαθητάς[1].

Ἰω. 18,20-21

Ἐπειδὴ πανδημεὶ τῶν Ἰουδαίων παρόντων πολλάκις ἐδίδαξα καὶ πολλοί εἰσι τῶν εἰρημένων μάρτυρες ἐκείνους ἐρώτα[2], οὓς οὐδὲ εἰκὸς ψεύσασθαι ὑπὲρ ἐμοῦ. Ταῦτα δὲ εἶπε πρὸς τὸ μὴ δόξαι λαβὴν διδόναι καθ' ἑαυτοῦ.

Ἰω. 18,22

Ὡς αὐθαδῶς πρὸς τὸν ἱερέα ἀποκρινάμενον ἐράπισεν ὁ ὑπηρέτης[3].

Ἰω. 18,23

Τί τὸ σχῆμα τῆς φωνῆς μέμφῃ τὴν δύναμιν οὐκ ἐξετάσας τῶν εἰρημένων; Εἰ μὲν γὰρ ψευδῆ εἶπον, ἔλεγξον· εἰ δὲ ἀληθῆ, ἐπὶ τίσι τύπτεις[4];

Ἰω. 18,24-27

Οὕτως ὡς ἦν ἐν τοῖς αὐτοῖς δεσμοῖς ἀπέστειλεν αὐτὸν πρὸς τὸν Καϊάφαν[5]. Ἐν τῷ μέλλειν δὲ ἀπάγεσθαι τὸν Ἰησοῦν ἠρνήσατο τὸ τρίτον ὁ Πέτρος[6], καὶ φθάνει τὴν τρίτην ἄρνησιν ἡ τοῦ ἀλεκτρυόνος ἐπιφώνησις[7]. Τότε οὖν ὁ Ἰησοῦς καί «ἐπέβλεψεν αὐτῷ». Δῆλον δὲ ὅτι μετὰ τὴν διάγνωσιν, ὅτε καὶ ἠδύνατο τοῦτο ποιεῖν· οὐ γὰρ ἂν ἐποίει τοῦτο κρινόμενος.

---

1. Πρβλ. Ἰω. 18,19. **2.** Πρβλ. Ἰω. 18,20-21. **3.** Πρβλ. Ἰω. 18,22. **4.** Πρβλ. Ἰω. 18,23. **5.** Πρβλ. Ἰω. 18,24. **6.** Πρβλ. Λουκ. 22,61. Ἰω. 18,25-26. **7.** Πρβλ. Ἰω. 18,27.

'Ιω. 18,28

Οὐκ εἶπεν ὁ 'Ιωάννης τί ἠρωτήθη παρὰ Καϊάφα ἢ τί ἀπεκρίνατο, ἀλλὰ παρῆλθεν αὐτὰ ὡς εἰρημένα τοῖς ἄλλοις. Μέρους γὰρ μνησθεὶς τὰ πολλὰ παρίει καὶ αὐτὸς καὶ οἱ ἄλλοι ὧν ἐποίησεν ὁ 'Ιησοῦς καὶ τῶν περὶ αὐτὸν γεγονότων διὰ τὸ μὴ μῆκος ἐμποιῆσαι τῇ Γραφῇ. Οἱ δὲ 'Ιουδαῖοι ὡς μέλλοντες θύειν τὸ πάσχα οὐκ εἰσῆλθον εἰς τὸ πραιτώριον, ὥστε μὴ δοκεῖν μιανθῆναι[1].

'Ιω. 18,29

Μὴ εἰπόντες κατηγορίαν ἀποφάσει ἰδίᾳ ἐπιστοῦντο δικαίαν εἶναι τῆς συλλήψεως τὴν αἰτίαν[2].

'Ιω. 18,31-32

[781] Εἰ μὲν ἑαυτοῖς, φησίν, ἐπιτρέπετε τὴν κρίσιν, αὐτοὶ καὶ τὴν ἐξέτασιν ὡς βούλεσθε ποιήσατε. Εἰ δὲ **410** ἐπ' ἐμὲ βούλεσθε κριθῆναι τὸν ἄνδρα, τὴν αἰτίαν ὑμᾶς εἰπεῖν ἀναγκαῖον.

Τί οὖν οἱ 'Ιουδαῖοι; «Ἡμῖν οὐκ ἔξεστιν ἀποκτεῖναι οὐδένα»[3], διὰ τὴν τοῦ Πάσχα ἡμέραν, ὡς ἂν τῷ παραδοῦναι τὸν 'Ιησοῦν εἰς θάνατον μὴ φονεύειν αὐτὸν νομίζοντες. Καὶ ἐπάγει ὁ εὐαγγελιστής «ἵνα ὁ λόγος τοῦ 'Ιησοῦ πληρωθῇ ὃν εἶπεν»[4] καὶ τὰ ἑξῆς.

Εἰ ἑαυτοῖς, φησίν, ἐπιτρέπετε τὴν κρίσιν, αὐτοὶ καὶ τὴν ἐξέτασιν ὡς βούλεσθε ποιεῖτε. Εἰ δὲ ἐμὲ θέλετε κρῖναι, τῷ πράγματι ἀνάγκη ὑμᾶς τὴν αἰτίαν εἰπεῖν.

Διὰ τὴν τοῦ Πάσχα ἔλεγον ἡμέραν, ὡς ὅτι ὁ Πιλάτος ἐφόνευσεν, αὐτοὶ ἔξω ἦσαν τοῦ πράγματος.

Τὸ δέ «ποίῳ θανάτῳ» δηλοῖ ὅτι καὶ τοῖς ἔθνεσιν εἶχον αὐτὸν παραδοῦναι ἵνα ἀποκτανθῇ, καθὼς ἦν ὁ Κύριος προειρηκώς.

---

1. Πρβλ. 'Ιω. 18,28. **2.** Πρβλ. 'Ιω. 18,29. **3.** 'Ιω. 18,31. **4.** 'Ιω. 18,32.

Ἰω. 18,33-34

Ταῦτα γὰρ ἦσαν οἱ Ἰουδαῖοι κατ' αὐτοῦ εἰπόντες ὡς ἀνταρσίαν μελετῶντος, ἵνα παροξύνωσι κατ' αὐτοῦ τὸν Πιλάτον[1]. Ὁ δὲ Κύριος ἐλέγχων αὐτόν, ὅτι τὰ πρὸς χάριν ποιῶν τοῖς Ἰουδαίοις, ἰδίᾳ αὐτὸν ἠρώτα καὶ οὐκ ἔθηκε βῆμα· ἵνα μὴ εὑρεθεὶς ὁ κατηγορῶν συκοφαντῶν ἀποθάνῃ, τοῦτό φησι, σύ μου κατηγορεῖς, ἢ παρὰ ἄλλων ἤκουσας[2]; Οὐδεὶς γὰρ φανερῶς περὶ τούτου μοι κατηγορεῖ.

Ἰω. 18,36

Μεταβάλλει πάλιν τὰ ῥητά, διὰ συντόμου πεῖσαι ζητῶν τὸν Πιλάτον ὅτι οὐκ ἦν Ἰουδαίων βασιλεύς[3], ἐπεὶ οὐκ ἂν οὕτως ἥλω εὐχερῶς.

Ἰω. 18,37

Εἰ γὰρ μὴ φανερῶς εἶπεν, ἀλλὰ τοῦτο ᾐνίξατο.

Ἰω. 18,37

Καίπερ ὢν βασιλεὺς παραιτοῦμαι τοῦτο φανερῶς εἰπεῖν τὴν τῆς μεγαλαυχίας ὑπόνοιαν φεύγων, οὐ τὴν ἀλήθειαν κρύπτων· τοὐναντίον γὰρ φυσικὸν ἔργον ἐμόν ἐστι πάντα ἀληθεύειν[4].

Ἰω. 18,38

Ἐπειδὴ οὐ πάντες δύνανται ἀκούειν τὸ ἀληθὲς σιωπῶ. Ἐρωτᾷ δὲ τοῦτο ὁ Πιλάτος οὐ μαθεῖν ζητῶν, ἐξ' ὧν ἅμα ᾧ ἔφην, «ἐξῆλθε πρὸς τοὺς Ἰουδαίους»[5].

Ἰω. 19,1-2

411 Ὡς χλευάζοντες αὐτὸν οἱ στρατιῶται[6], ὡς πράγματος

---

1. Πρβλ. Ἰω. 18,33. **2.** Πρβλ. Ἰω. 18,34. Ματθ. 27,19. **3.** Πρβλ. Ἰω. 18,36. **4.** Πρβλ. Ἰω. 18,37. **5.** Ἰω. 18,38. **6.** Πρβλ. Ἰω. 19,1.

ἀδυνάτου θέλοντος δράξασθαι (τῆς τῶν Ἰουδαίων βασιλείας), τὸ τοιοῦτον αὐτῷ περιέθηκαν σχῆμα[1].

Ἰω. 19,6

Κουφότερον ἡγεῖτο ἐκδοῦναι αὐτὸν ἢ ἀναίτιον ὄντα δι' ἑαυτοῦ τιμωρήσασθαι[2].

Ἰω. 19,7

Ἄξιον θανάτου κατὰ τὸν ἑαυτῶν νόμον ἔλεγον αὐτόν, ὅτι ἔλεγεν ἑαυτὸν Υἱὸν Θεοῦ[3].

Ἰω. 19,8-9

Οὐ μόνον ἀκούσας ὅτι Υἱὸς Θεοῦ ἦν, ἀλλὰ καὶ τὰ παρ' αὐτοῦ γενόμενα θαύματα, ὡς εἰκὸς ἐδειλίασε[4], καὶ ἠρώτα αὐτὸν πόθεν εἴη, ὡς ἐκ τούτου δυνάμενος δοκιμάσαι εἰ ἀληθῶς Υἱὸς Θεοῦ ἦν. Ὁ δὲ Κύριος οὐδὲν αὐτῷ ἀπεκρίνατο[5].

Ἰω. 19,10

Ταῦτα εἶπεν ὁ Πιλάτος οἰόμενος ἐκφοβεῖν αὐτὸν λόγοις[6].

Ἰω. 19,11

Σφάλλῃ, φησίν. Οὐ γὰρ ἐν σοὶ τὸ παθεῖν ἐμέ, εἰ μὴ λυσιτελοῦν εἰδὼς ὁ Θεὸς ἠνείχετο ταῦτα γενέσθαι· ὅμως ὡς αἴτιοι τῶν πάντων κακῶν οἱ Ἰουδαῖοι πλείονα τίσουσι δίκην σου εἰς τὰ κατ' ἐμέ[7].

Ἰω. 19,12

Εὐλόγως ἤθελεν ὁ Πιλάτος «αὐτὸν ἀπολῦσαι»[8], οἱ δὲ Ἰουδαῖοι ἔλεγον· Ἐὰν τοῦτον περισώσῃς ἐπανίσταται, φασί, τοῖς τῶν Ῥωμαίων πράγμασιν.

---

1. Πρβλ. Ἰω. 19,2. **2.** Πρβλ. Ἰω. 19,6. **3.** Πρβλ. Ἰω. 19,7. **4.** Πρβλ. Ἰω. 19,8. **5.** Πρβλ. Ἰω. 19,9. **6.** Πρβλ. Ἰω. 19,10. **7.** Πρβλ. Ἰω. 19,11. **8.** Ἰω. 19,12.

'Ιω.19,14

Ὁ Πιλάτος διασύρων τοὺς Ἰουδαίους ἔλεγεν «Ἴδε ὁ βασιλεὺς ὑμῶν»[1]. Ὅμως εἰ καὶ ὁ Μάρκος περὶ τὴν τρίτην ὥραν λέγει παραδεδόσθαι τὸν Κύριον ἐπὶ τῷ σταυρωθῆναι, οὐδὲν μέγα εἰ ὁ Ἰωάννης ὡς παρὼν ἀκριβέστερον τὴν ὥραν ἕκτην φησὶ γεγενῆσθαι.

'Ιω. 19,15

Ταῦτα ὁ Πιλάτος φησί, πῇ μὲν ὡς οὐ δίκαια ποιοῦντας ἐλέγχειν πειρώμενος, ὁμοῦ δὲ καὶ διασύρων αὐτούς.

'Ιω. 19,15

Ταῦτα ἔλεγον ἵνα κἂν οὕτω δυσωπήσωσιν αὐτὸν καὶ ἄκοντα ἐκδοῦναι αὐτοῖς εἰς φόνον τὸν Χριστόν[2].

'Ιω. 19,16

412 Ὀκνῶν ἐξ ἀρχῆς ὁ Πιλᾶτος ἐκδοῦναι αὐτὸν διὰ πολλά, ὕστερον τοῖς ἀδίκως αὐτὸν αἰτοῦσιν ἐκδέδωκεν[3].

'Ιω. 19,17

[781] Ἐνομίσθη διαφωνία τις εἶναι κἀνταῦθά τισι, τοῦ μὲν Ἰωάννου λέγοντος ὅτι «βαστάζων τὸν σταυρὸν αὐτοῦ ἐξῆλθε»[4], τῶν δὲ λοιπῶν ὅτι Σίμωνι Κυρηναίῳ «τὸν σταυρὸν ἐπέθηκαν»[5]· ἀμφότερα δὲ ἐγένετο.

'Ιω. 19,17

Ἅμα οὖν κατεδικάσθη ὁ Χριστὸς ἐπέθηκαν αὐτῷ τὸν σταυρὸν αὐτοῦ, ἀπιόντες δὲ ἐπὶ τὸν Γολγοθᾶ ὑπήντησαν Σίμωνι τῷ Κυρηναίῳ καὶ μετήγαγον αὐτὸν ἐπ' ἐκεῖνον. Καὶ ὄντως οὐδεμία διαφωνία παρὰ τοῖς εὐαγγελισταῖς.

---

1. Ἰω. 19,14. **2.** Πρβλ. Ἰω. 19,15. **3.** Πρβλ. Ἰω. 19,16. **4.** Ἰω. 19,17. **5.** Λουκ. 23,26. Πρβλ. Ματθ. 28,32. Μάρκ. 15,21.

Ἰω. 19,19

Διασῦραι ἔτι τοὺς Ἰουδαίους ὁ Πιλάτος θέλων ἔγραφε τοῦτο[1].

Ἰω. 19,20-22

Διαφόροις γλώσσαις ἔγραφε τοῦτο[2], ἵνα πάντων ἀναγινωσκόντων τοῦτο μειζόνως οἱ Ἰουδαῖοι διασύρωνται. Ὅπερ αἰσθόμενοι οἱ Ἰουδαῖοι ᾔτησαν τὸν Πιλάτον ἐναλλάξαι τὴν γραφήν[3], καὶ οὐκ ἔπεισαν[4].

Ἰω. 19,23-24

Ῥάκη ποιοῦντες ὅμοια τοῖς νῦν ἡμιφαρίοις λεγομένοις, ὕστερον αὐτὰ συνέῤῥαπτον κατὰ τῶν ὤμων καὶ ἐποίουν ἐπιτήδεια πρὸς τὸ φορεῖν, ὃ νῦν ἔθος ἐστὶν ἐπὶ τῶν στρατιωτικῶν γίνεσθαι ἐνδυμάτων. Ἄῤῥαφον οὖν καλεῖ τὸν μὴ ῥαφῇ τινι συναρμοσθέντα χιτῶνα[5]. Τούτου δὲ γεγονότος, οὗ ἐποίησαν οἱ στρατιῶται, ἐπληρώθη ἡ περὶ τούτου προφητεία[6].

Ἰω. 19,26-27

Ταῦτα δὲ ἔλεγεν συνάπτων αὐτοὺς εἰς ἀγάπην, ἐπειδήπερ ἐν τάξει ἑαυτοῦ βούλεται αὐτὸν καθεστάναι **413** τῇ μητρί[7], ὡς ἀπὸ τούτων κινηθέντων τῶν ῥημάτων τὸν Ἰωάννην λαβεῖν αὐτὴν καὶ ἔχειν παρ' ἑαυτῷ.

Διὰ τούτων τῶν λόγων πολλὴν δείκνυσι τὴν περὶ τὸν μαθητὴν διάθεσιν, ἕτερον ἑαυτὸν ἐκεῖνον εἰπών. Ἐξ ὧν κινηθεὶς ὁ μαθητὴς λαμβάνει ‹αὐτὴν› παρ' ἑαυτῷ[8].

Πολλαὶ μὲν οὖν ἦσαν αἰτίαι τῆς ἀγάπης, πλὴν καὶ μόνος οὗτος, ὅτι ἄχρι τῶν ἐσχάτων, αὐτῷ παρέμεινε κινδύνων.

---

1. Πρβλ. Ἰω. 19,19. **2.** Πρβλ. Ἰω. 19,20. **3.** Πρβλ. Ἰω. 19,21. **4.** Πρβλ. Ἰω. 19,22. **5.** Πρβλ. Ἰω. 19,23. **6.** Πρβλ. Ἰω. 19,24. **7.** Πρβλ. Ἰω. 19,26. **8.** Πρβλ. Ἰω. 19,27.

Ἰω. 19,28

Εἰς τελείαν συμπλήρωσιν τῆς Γραφῆς ᾔτησε τὸ πιεῖν[1]· οὐκοῦν φαίνεται πάντοθεν ὅτι διὰ οἰκονομίαν ἅπαντα ὑπέστη.

Ἰω. 19,29

Διὰ τοῦτο φαίνεται ὅτι ὁ τῆς ἀποψύξεως[2] τρόπος τότε γέγονεν ὡς αὐτὸς ἠβουλήθη.

Ἰω. 19,31

Ὡς τιμῶντες τὴν ἡμέραν, ὡς δῆθεν φίλοι ᾐτήσαντο τὸν Πιλάτον κλάσαι αὐτῶν τὰ σκέλη ἵνα ταχύτερον ἀποθανόντες ταφῶσιν[3].

Ἰω. 19,32-37

Ἐπειδὴ ἦν ὁ Χριστὸς προτελευτήσας «οὐ κατέαξαν αὐτοῦ τὰ σκέλη»[4] ὡς περιττοῦ ὄντος, εἷς δὲ στρατιώτης βουλόμενος ἰδεῖν εἰ ἀπέθανεν ἐκέντησεν αὐτοῦ «τὴν πλευρὰν καὶ ἐξῆλθεν αἷμα καὶ ὕδωρ»[5], τὸ μὲν τῆς ἀγεννήσεως σύμβολον, τὸ δὲ τῆς μυστικῆς μεταλήψεως. Εἶτα ὁ εὐαγγελιστὴς καθόλου ἑαυτὸν ἀνωνύμως αἰνίττεται, δηλῶν ὅτι ἕως τότε παρῆν, καὶ ὅτι εἶδεν ἐξελθὸν τὸ αἷμα καὶ τὸ ὕδωρ[6], φησί· μέμνηται δὲ καὶ γραφικῶν φωνῶν[7], καθὼς ἐξέβη τὰ γεγενημένα.

Ἰω. 19,41-42

Οἰκονομικῶς μόνος ἐτέθη, ἵνα ζητηθεὶς καὶ μὴ εὑρεθεὶς πιστὸν πᾶσι ποίησῃ τὸν τῆς ἀναστάσεως ἑαυτοῦ λόγον. Ἐκεῖ οὖν ἔθηκαν αὐτόν, ἐγγὺς ὄντος τοῦ τόπου[8], ἐπειδὴ ὁ καιρὸς οὐ συνεχώρει διὰ τὴν ἡμέραν, διὰ πλήθους, εἰς ἕτερον αὐτὸν μετακομίσαι τόπον.

---

1. Πρβλ. Ἰω. 19,28. **2.** Πρβλ. Ἰω. 19,29. **3.** Πρβλ. Ἰω. 19,31. **4.** Ἰω. 19,33. **5.** Ἰω. 19,34. **6.** Πρβλ. Ἰω. 19,35. **7.** Πρβλ. Ἰω. 19,37. **8.** Πρβλ. Ἰω. 19,41.

Ἰω. 20,1-10

Ἔνθεν διηγεῖται τὴν Ἀνάστασιν, ὅτι γέγονεν, οὐ μὴν πῶς· οὐ γὰρ ᾔδει τὰ ὑπὲρ ἄνθρωπον, πλὴν ὅτι διὰ τῶν γυναικῶν ἐμηνύθη τοῦτο ἐν πρώτοις[1]. Οὐ διαφωνεῖ δὲ ὁ Ἰωάννης τοῖς ἄλλοις· πάντες γὰρ κατὰ τὴν αὐτὴν ἡμέραν φασὶ γεγενῆσθαι τὴν Ἀνάστασιν, καὶ ὅτι πρῶται αἱ γυναῖκες ἀπήγγειλαν, **414** Εἰ καὶ ὡς ἄνθρωποι περὶ τὸ ἀκριβὲς τῶν ὡρῶν διεφώνησαν, ἐν τοῖς καιρίοις ἐν οὐδένι διαφωνήσαντες. Καὶ ἡμεῖς μὲν περὶ ἀλεκτρυοφωνίαν περιλύομεν τὴν νηστείαν, ὡς περὶ τὸν καιρὸν ἐκεῖνον γενομένης Ἀναστάσεως. Πλὴν καὶ Ἰωάννης, εἰπών «σκοτίας οὔσης»[2], δηλοῖ ὅτι οὐ πρωΐ, ἀλλ' ἔτι νύκτωρ ἦν ὅτε εἰς τὸν τάφον ἡ Μαρία ἦλθεν. Ἡ γὰρ ἡμέρα τὸ ἡμερονύκτιον δηλοῖ, καθ' ὃ ὁ ἥλιος εἰς τὸν ἴδιον πάλιν ἔρχεται τόπον διὰ τῆς ἡμέρας καὶ τῆς νυκτός. Καὶ ὁ Ματθαῖος εἰπών «ὀψὲ σαββάτων»[3], οὐ τὸν καιρὸν λέγει τὸν μετὰ τὴν τοῦ ἡλίου δύσιν, ἀλλὰ τὴν νύκτα· διὸ εἶπε «τῇ ἐπιφωσκούσῃ εἰς μίαν σαββάτων»[4]. Ὁ δὲ Λουκᾶς εἰπών «ὄρθρου βαθέος»[5], οὐδὲ ἀμφιβολίαν ἔδωκε. Μόνος δὲ ὁ Μάρκος περὶ τὴν ὥραν ἔδοξε διαφωνεῖν. Ἐπειδὴ οὐχ ὁμοίως οἱ ἄνθρωποι ἀποκρίνονται περὶ τὰς δύο ὥρας, ἀλλ' οἱ μὲν οὕτως, οἱ δὲ ἄλλως, ὅμως ὁ μὲν Μάρκος μόνον τὸ τῆς Ἀναστάσεως εἶπεν[6], οὐ μὴν μετὰ ἀκριβείας ὡς Ἰωάννης εἶπε διὰ τὸ παραλελεῖφθαι τοῦτο τοῖς λοιποῖς.

Διὸ καὶ μόνης τῆς Μαρίας ἐμνήσθη, ὡς τῶν ἄλλων μνησθέντων τῶν ἄλλων γυναικῶν, αἵτινες οἴκοι ἀπῆλθον. Μόνη γὰρ ἡ Μαρία παρέμεινε τῷ τάφῳ, καὶ ἀπελθοῦσα τοῖς μαθηταῖς ἀνήγγειλεν[7], οἰηθεῖσα μετὰ τῶν μαθητῶν τὸ σῶμα εὑρεῖν· μετατεθεῖσθαι γὰρ αὐτὸ ὑπελάμβανε. Καὶ μετὰ τὸ ἀπελθεῖν τοὺς μαθητὰς πάλιν ἔμεινεν ἐν τῷ μνημείῳ μόνη, διὸ καὶ πρὸ πάντων ἠξιώθη ἰδεῖν τὸν Κύριον. Ἥτις ἐπειδὴ μόνον εἶδε τὸν λίθον ἀποκυλισθέντα, θορύβου πλησθεῖσα, ἦλθεν ἀπαγγεῖλαι τοῖς μαθηταῖς ταῦτα. Ὧν ἐλθόντων τὰ μέν «ὀθόνια»[8] εὑρέθη ἰδίᾳ, τὸ δέ «σουδάριον»[9] χωρίς, ἵνα μὴ τυμβωρυχίαν οἱ μαθηταὶ ἐννοήσωσι

---

1. Πρβλ. Ἰω. 20,1. **2.** Ἰω. 20,1. **3.** Ματθ. 28,1. **4.** Ἔνθ' ἀν. **5.** Λουκ. 24,1. **6.** Πρβλ. Μάρκ. 16,2. **7.** Πρβλ. Ἰω. 20,2. **8.** Ἰω. 20,6. **9.** Ἰω. 20,7.

καὶ κλοπήν, ἀλλ' ὅτι κατὰ τάξιν ἀφελὼν τὰ ἱμάτια ἰδίᾳ ἔθηκε τὸ σουδάριον τὸ πρῶτον λειφθὲν ἀπὸ τῆς κεφαλῆς, ἰδίᾳ δὲ τὰ ὀθόνια τὰ ὕστερον λειφθέντα, δεικνὺς ὅτι οὔτε ἱματίων λοιπὸν χρεία τῷ εἰς ἀφθαρσίαν μεταχωρήσαντι σώματι. Ὁ δὲ Ἰωάννης ὕστερον ἑωρακὼς ἐπίστευσε τῇ Γραφῇ τῇ λεγούσῃ «ὅτι δεῖ αὐτὸν ἀναστῆναι»[1]· πρὸ γὰρ τῆς πείρας οὐκ ᾔδεσαν οἱ μαθηταὶ τὸν περὶ τῆς Ἀναστάσεως λόγον.

Ἰω. 20,11

Ἔτι «ἔκλαιεν ἡ Μαρία»[2], ὡς μηδὲ τοῦ λειψάνου περιλειφθέντος αὐτοῖς εἰς θεραπείαν.

Ἰω. 20,12-13

Ὡς μὴ δυναμένη κόρον λαβεῖν τοῦ μνήματος, πάλιν ἀποβλέπει ἔσω καὶ θεωρεῖ τοὺς δύο Ἀγγέλους[3], καὶ ἐρωτῶσι «Τί κλαίεις;»[4].

Ἰω. 20,14

415 [781] Οἰκονομίας ἦν τὸ στραφῆναι αὐτήν, θείας χάριτος τοῦτο ἐνεργησάσης, καὶ τὸ στραφεῖσαν μὴ ἐπιγνῶναι αὐτόν[5], ὥστε μὴ αἰφνίδιον αὐτὴν καὶ παρ' ἐλπίδα θεασαμένην τοῦτον, ὃν ἔτι νεκρὸν ὑπώπτευεν εἶναι, ἐκπλαγῆναι τὴν ψυχὴν δαιμονιώδη τινὰ φαντασίαν ὑπολαβοῦσαν τὸ φαινόμενον, κατὰ μέρος δὲ διαλεχθεῖσαν ὡς

Ἡ θεία ᾠκονόμησε χάρις ἵνα στραφῇ, πλὴν καὶ τοῦτο ᾠκονόμησεν ἵνα μὴ ἐπιγνῷ τίς ἦν, ἵνα μὴ θορυβηθῇ οἰομένη δαιμονιώδη τινὰ εἶναι φαντασίαν (ἔτι γὰρ ὑπώπτευεν ὅτι νεκρὸς ἦν ὁ Χριστός), ἀλλ' ἵνα προδιαλεχθεὶς πείσῃ ὅτι ζῶντι διαλέγεται, καὶ τότε ἐπιγνῷ τίνι διελέγετο, καὶ θαυμάζῃ ἐκ τοῦ γεγονότος μεγέθους.

---

1. Ἰω. 20,9. **2.** Ἰω. 20,11. **3.** Πρβλ. Ἰω. 20,12. **4.** Ἰω. 20,13. **5.** Πρβλ. Ἰω. 20,14.

ἀνθρώπῳ πρότερον καὶ γνοῦσαν ὅτι δή τινι ὄντι τε καὶ ζῶντι διαλέγεται ἀληθῶς, τότε ἐπιγνῶναι μὲν τὸν παρόντα, ὅστις ἐστίν, ὁμοῦ δὲ καὶ πιστεῦσαι καὶ θαυμάσαι τοῦ φαινομένου τὸ μέγεθος.

'Ιω. 20,15

Διὰ τὸ γειτνιάζειν τὸν κῆπον, εἰκότως αὐτὸν ὑπώπτευε κηπουρόν[1].

'Ιω. 20,16

Θέλων ὁ Κύριος εἰς αἴσθησιν ἑαυτοῦ ἀγαγεῖν αὐτήν, λοιπὸν μετά τινος ἤθους τὸ ὄνομα αὐτῆς ὀνομάσας[2], τὴν αἴσθησιν ἐνεποίησε τῆς οἰκείας παρουσίας. Ἡ δὲ διὰ τῆς αἰσθήσεως χαρεῖσα διδάσκαλον καλεῖ, καὶ προσπεσοῦσα τοῖς ποσὶ κατέχειν ἐπειρᾶτο.

'Ιω. 20,17

[784] Δοκεῖ μὲν ἐπέχειν αὐτὴν τῆς ἀφῆς, ὡς ἂν οὐχ ὁμοίως ὀφείλουσαν ἐγχει**416**ρεῖν τῇ τοῦ σώματος ἀφῇ, ἄλλου δή τινος καὶ πολλῷ κρείττονος γενομένου τοῦ σώματος· τὸ δ' ἀληθὲς ἀκολουθίᾳ ταύτῃ κεχρημένος μετὰ τῆς 'Αναστάσεως, καὶ τὴν ἀνάληψιν εὐαγγελίζεται τοῖς μαθηταῖς διὰ τῆς γυναι-

Ταῦτα μὲν ὁ Κύριος ἔλεγε δοκῶν ἐπέχειν αὐτὴν τοῦ ἅψασθαι αὐτοῦ. Τὸ δὲ ἄλλο θέλει διδάξαι, ὅτι ἀναστὰς οὐ μένει ἐπὶ τῆς γῆς, ἀλλ' εἰς οὐρανὸν ἀναβήσεται συνὼν καὶ μετὰ τοῦ σώματος τῷ ἰδίῳ Πατρί, καὶ ὅτι οὐκ ἦν τὸ σῶμα οἷον ἦν, ἀλλὰ κρείττονός τινος μετέσχε δόξης· καὶ οὐχ οὕτως ὀφείλει

---

1. Πρβλ. 'Ιω. 20,15. **2.** Πρβλ. 'Ιω. 20,16.

κός. Ὅτι γὰρ τῆς ἀφῆς οὐκ ἂν ἀπεῖρξε τὴν γυναῖκα, δῆλον ἐξ ὧν τοὺς μαθητὰς ἀπιστοῦντας ἅψασθαι πολλάκις πεποίηκε καὶ τῶν τύπων αἴσθησιν λαβεῖν, οὓς ἀπὸ τῶν ἥλων, ὡς εἰκός, ἐγγένεσθαι τῷ σώματι συνέβη.

Δύο τοίνυν ἐμφαίνει διὰ τῶν ῥημάτων, τό τε πολὺ κρεῖττον εἶναι τὸ σῶμα νῦν μετὰ τὴν Ἀνάστασιν ἢ τὸ πρότερον, ὡς διὰ τοῦτο μηδὲ ἁπλῶς ἐγκεῖσθαι ὀφεῖλον ἀνθρωπείᾳ ἀφῇ, καὶ τὸ μέλλειν εἰς οὐρανοὺς ἀναλαμβάνεσθαι.

τις αὐτοῦ ἅπτεσθαι ὡς ἥπτετο πρὸ τῆς Ἀναστάσεως. Ὁ οὖν λόγος τὴν εἰς οὐρανοὺς ἄνοδον προαναγγέλλει[1]. Οὐ γὰρ διὰ τὸ κρείττων γεγενῆσθαι τὸ σῶμα κωλύει τὴν γυναῖκα ἅψασθαι αὐτοῦ, ἢ γὰρ ἂν οὔτε τοὺς μαθητὰς συνεχώρει ἅψασθαι αὐτοῦ.

Οὐ γάρ ἐστιν ἐν τούτῳ διαφορὰ τῆς γυναικὸς πρὸς τοὺς μαθητάς.

Ἰω. 20,17

Ὡς ἄνθρωπος μέν φησι «Θεόν μου καὶ Θεὸν ὑμῶν»[2] διὰ τὴν σάρκα καὶ τὸ τῆς ἀνθρωπίνης οὐσίας κοινόν, διαιρεῖ δὲ ὡς φύσει Θεὸς ὤν, τὸ διάφορον σημαίνων τοῦ ποιητοῦ παρὰ τὸ ποίημα.

Ἰω. 20,18

Εἰ καὶ ὁ Μάρκος λέγει ὅτι «ἀνατείλαντος τοῦ ἡλίου ἦλθον ἐπὶ τὸ μνημεῖον» αἱ γυναῖκες «καὶ ἔλεγον, Τίς ἀποκυλίσει ἡμῖν τὸν λίθον»[3], ὁ δὲ Ἰωάννης φησί «λίαν πρωΐ» οὕτω νοητέον ὅτι ἦλθον μὲν ἐπὶ τὸ μνημεῖον «ἔτι οὔσης σκοτίας» καθὼς ὁ Ἰωάννης λέγει· ὅτε δὲ ὁ ἥλιος ἀνέτειλε, τότε γέγονεν ἅπερ ὁ Μάρκος διηγήσατο. Ὅπερ γὰρ ἐκεῖνος παρέλειψε, τοῦτο ἀνεπλήρωσεν ὁ ἄλλος.

---

1. Πρβλ. Ἰω. 20,17. **2.** Ἔνθ' ἀν. **3.** Μάρκ. 16,2-3.

'Ιω. 20,19-20

Τέλος λαβούσης τῆς πρώτης ἡμέρας, ἀρχὴν δὲ τῆς μετὰ ταύτην, «κεκλεισμένων τῶν θυρῶν»[1] διὰ τὸ **417** δειλιᾶν αὐτοὺς τοὺς 'Ιουδαίους, ἐπέστη αὐτοῖς. Καὶ ἵνα μὴ θορυβηθέντες φάντασμα ἡγήσωνται τοῦτο, ἐπιδείκνυσιν αὐτοῖς τὰς χεῖρας καὶ τὴν πλευράν, δι ὧν ἠδύναντο σαφῶς γνῶναι ὅτι ἀληθῶς αὐτὸς ἦν ὁ σταυρωθεὶς καὶ ἀποθανὼν καὶ ἀναστάς, καὶ τὸ φαινόμενον σῶμα αὐτὸ ἦν καὶ οὐχ ἕτερον.

'Ιω. 20,21

Τῷ ὀνόματι τῆς εἰρήνης[2] λύει τὸν τῆς ψυχῆς αὐτῶν θόρυβον. Οἱ δὲ μαθηταὶ ἔχαιρον παρ' ἐλπίδας ἑωρακότες ὃ οὐκ ἤλπιζον, ἰδόντες τὴν τοῦ Κυρίου 'Ανάστασιν. Εἶτα πάλιν κέχρηται τῷ τῆς εἰρήνης ὀνόματι, ἐπισφίγγων αὐτοὺς καὶ τῇ πίστει καὶ τῇ εὐφροσύνῃ.

'Ιω. 20,21

'Αποστέλλω ὑμᾶς, φησίν, οὐ μόνον τὴν ἐμὴν διαμαρτύρασθαι 'Ανάστασιν, ἀλλὰ καὶ ἃ εἶπον διακηρύξοντας τοῖς ἀνθρώποις, ὅτι τε καὶ αὐτοὶ μέλλουσι τοῦ τῆς 'Αναστάσεως ἐπιτεύξεσθαι δώρου.

'Ιω. 20,22

"Οτε λαμβάνετε, φησί, τὸ Πνεῦμα, δίδοται ὑμῖν ἐκεῖνα ἃ τοῦ Θεοῦ ἴδιά ἐστι, τὸ ἀφεῖναι ἁμαρτίας καὶ μή. Τὸ γάρ «λάβετε»[3] ὧδε δηλοῖ τὸ λήψεσθε. Τὸ δὲ ἐμφύσημα ὧδε δηλοῖ ὅτι τὴν τοῦ σώματος ἀνάστασιν μέλλει ποιεῖν τοῖς πιστοῖς καὶ ἄφθαρτον αὐτὸ κατασκευάζειν.

'Ιω. 20,27

Δείκνυσιν ὅτι οἶδε πάντα ὡς Θεὸς τὰ παρ' αὐτῶν λεγόμενα, ἐξ ὧν ταῦτα εἶπε πρὸς τὸν Θωμᾶν. "Ομως, φησίν, ἐπειδὴ μόνῃ τῇ

---

1. 'Ιω. 20,19. **2.** Πρβλ. 'Ιω. 20,21. **3.** 'Ιω. 20,22.

ἀφῇ πιστεύεις, ἅψαι τῇ χειρὶ καὶ μάθε πιστεύειν, ἀλλὰ μὴ ἀπιστεῖν[1].

Ἰω. 20,28

Τὸν ἀναστάντα καὶ ψηλαφηθέντα ὁ Θωμᾶς καλεῖ Κύριον καὶ Θεόν[2].

Ἰω. 20,29

Δείκνυσιν ὡς οὐδὲν ἔλαττον ἕξουσιν αὐτῶν οἱ μὴ θεασάμενοι καὶ πιστεύσαντες, τάχα δὲ καὶ πλέω κατά γε τοῦτο[3].

Ἰω. 21,1

Πολλῇ κέχρηται κἀνταῦθα τῇ τάξει τῆς διηγήσεως, ὥσπερ οὖν καὶ παρ' ὅλον τὸ Εὐαγγέλιον τοῦτο ποιήσας φαίνεται· τιθεὶς γὰρ ἀεί τι τῶν εἰρημένων παρ' αὐτοῦ, ἐπάγει, μετὰ ταῦτα ἐγένετο τόδε[4], παραλιμπάνει δὲ τὰ τοῖς ἄλλοις εἰρημένα.

Ἰω. 21,4-6

418 Ὡς ἀκριβῶς οὗτος τὰ συμβάντα λέγων, «τρίτον» λέγει τοῦτο ὦφθαι τὸν Κύριον τοῖς μαθηταῖς μετὰ τὴν Ἀνάστασιν. Ὅμως στάντος αὐτοῦ ἐν τῷ αἰγιαλῷ[5] καὶ διαλεγομένου, ὅπερ ἐστὶ θαύματος ἄξιον, οὐδεὶς ᾔδει τίς ἐστιν· εἶπε δὲ εἰς τὸ δεξιὸν βαλεῖν μέρος τὸ δίκτυον[6], ἵνα μὴ νομίσωσιν ἐκ συντυχίας ἠγρακέναι τοὺς ἰχθύας, ἀλλ' ὅτι αὐτὸς τῇ οἰκείᾳ βουλῇ ἦν τὴν συλλογὴν ποιησάμενος τῶν τοσούτων ἰχθύων, οὓς διὰ τὸ πλῆθος οὔτε ἑλκύσαι ἴσχυον ἄνω[7].

Ἰω. 21,7-14

«Ἐπενδύτην»[8] λέγει τὸν χιτῶνα, τὴν δέ «ἀνθρακιὰν καὶ τὸ ὀψάριον»[9] καὶ τόν «ἄρτον» τῇ τοῦ Ἰησοῦ γιγνόμενα δυνάμει. Δι-

1. Πρβλ. Ἰω. 20,27. **2.** Πρβλ. Ἰω. 20,28. **3.** Πρβλ. Ἰω. 20,29. **4.** Πρβλ. Ἰω. 21,1. **5.** Πρβλ. Ἰω. 21,4. **6.** Πρβλ. Ἰω. 21,6. **7.** Ἔνθ' ἀν. **8.** Ἰω. 21,7. **9.** Ἰω. 21,9.

πλοῦν δὲ γέγονε θαῦμα ἐν τῇ τῶν ἰχθύων ἄγρᾳ, ὅτι τε τοσοῦτοι ἐπιάσθησαν καὶ ὅτι οὐκ ἐσχίσθη τὸ λίνον ὑπὸ τοῦ βάρους αὐτῶν[1].

Ἰω. 21,15-17

Ἐρωτηθεὶς ὁ Πέτρος εἰ ἀγαπᾷ τὸν Χριστὸν[2] οὐκ ἐτόλμησεν ἀποτόμως εἰπεῖν ναί, ἀλλὰ τὸ πᾶν ἤρτησε τῆς τοῦ Χριστοῦ γνώσεως, ὑπομνησθεὶς τῆς πρώτης αὐτοῦ ὑποσχέσεως, ἣν ἐψεύσατο ἑτέρως εἰπόντος ἀποβαίνειν τοῦ Χριστοῦ, καὶ λέγων ὅτι, Σὺ ἐμοῦ μᾶλλον οἶδας τὰ κατ' ἐμέ. Ὁ δὲ Κύριός φησι, τοῦτο γνώρισμα λαμβάνω τῆς ἀγάπης ἧς ἔχεις περὶ ἐμέ, τὸ πάντα πράττειν ὑπὲρ τῆς τῶν ἀδελφῶν ὠφελείας. Τρίτον δὲ τοῦτον ἐρωτᾷ ὁ Κύριος, ἵνα ἰσαρίθμῳ ὁμολογίᾳ τὰς τρεῖς ἀρνήσεις ἐξαφανίσῃ· διὰ γὰρ τοῦτο καὶ ὁ Πέτρος ἠθύμησεν ὑπομνησθεὶς τῆς ἀρνήσεως, ὅμως πάντα ἀρτήσας τῆς τοῦ Χριστοῦ γνώσεως, φησί, Σὺ πάντα οἶδας καὶ τὸ ἀποκρίνασθαί με περιττόν.

Ἰω. 21,18-19

Μὴ δειλία περὶ τῶν μελλόντων τὴν πρώτην ἐνθυμούμενος ἄρνησιν. Οὕτω γὰρ οἶδα ὅτι διαμενεῖς στεῤῥός, ὅτι καὶ ὑπὲρ ἐμοῦ μέλλεις σταυροῦσθαι, — ὅπερ ὡς δυσνόητον ὁ εὐαγγελιστὴς ἑρμηνεύει. Τὸν γὰρ διὰ σταυροῦ ὑπέμεινεν ὁ Πέτρος θάνατον, καὶ κατὰ κεφαλῆς, τοῦτο αὐτὸς αἰτήσας, ἵνα μὴ ὁμοίως τῷ Κυρίῳ ἀποθάνῃ· ὅπερ σημαίνων ἔλεγεν «ἄλλος σε ζώσει»[3] ὡς τῶν τοιούτων δεσμουμένων τῷ ξύλῳ. Καὶ εἰπὼν ταῦτά φησιν «Ἀκολούθει μοι»[4].

Ἰω. 21,21-23

Εἰπὼν ὁ Πέτρος «Οὗτος δὲ τί;»[5] τοῦτο ἐρωτᾷ· τίνα οὗτος ὑπὲρ σοῦ τὸν θάνατον ὑπομένει; Ὁ δὲ Κύριος πρὸς τοῦτό φησιν· Ἐὰν καὶ ἐπὶ τοσοῦτον αὐτὸν βούλωμαι ζῆν **419** χρόνον ἕως ἔλθῃ ἡ ἐμὴ παρουσία, οὐ σὸν τὰ τοιαῦτα περιεργάζεσθαι. Σὺ οὖν «ἀκολούθει

---

1. Πρβλ. Ἰω. 21,11,13. **2.** Πρβλ. Ἰω. 21,15-17. **3.** Ἰω. 21,18. **4.** Ἰω. 21,19. **5.** Ἰω. 21,21.

μοι»[1] μιμούμενός με ἐν τῇ ἀγάπῃ. Οἱ μὲν οὖν μαθηταὶ ὡς ἀπόφασιν ἐδέξαντο τὸ ὑπὸ τοῦ Κυρίου λεχθὲν ὅτι οὐκ ἀποθανεῖται, ὅπερ οὐκ εἶπεν, ἀλλ' ὅτι, εἰ ἠβουλόμην αὐτὸν μένειν ἕως ἔρχομαι, τί πρὸς σέ;»[2] αἰνιττόμενος τὸ μακρόβιον τῆς αὐτοῦ ζωῆς· ἐν γὰρ τοῖς χρόνοις Τραϊανοῦ τελευτᾷ κατὰ τὸν κοινὸν τῆς φύσεως ὅρον ἄνευ τιμωρίας.

Ἰω. 21,24

Διὰ τοῦτο γινώσκομεν ὅτι ὁ ἀγαπώμενος Ἰωάννης ἐστὶν οὗ πολλάκις ἀνωνύμως ἐμνήσθη· αὐτὸς γάρ ἐστιν ὁ τοῦτο τὸ Εὐαγγέλιον γράψας[3].

Ἰω. 21,25

[784] Προσθήκη μᾶλλόν ἐστι τεθεικότος μὲν αὐτό τινος τῶν φιλοπόνων ἔξωθεν, εἰς παράστασιν τοῦ πλείονα τῶν γεγραμμένων εἶναι τὰ γεγενημένα παρὰ τοῦ Κυρίου θαύματα, κατὰ μέρος δὲ ὑφ' **[785]** ἑτέρων ἀγνοίᾳ τοῦ πρώτου τυχὸν ἔσω τεθὲν καὶ μέρος τῆς τοῦ Εὐαγγελίου γραφῆς γινόμενον, εἶτα τοῦ χρόνου καὶ τῆς συνηθείας διὰ πάντων αὐτὸ τῶν Εὐαγγελίων φέρεσθαι παρασκευάσαντος, οὕτω δὲ βεβαίαν ἐσχηκότος παρὰ πᾶσαν τὴν δόξαν τοῖς πιστοῖς ὡς ἀληθῶς μέρος ἓν καὶ τέλος τῶν παρὰ τοῦ Εὐαγγελίου γραφέντων.

Ταῦτα τὰ ῥήματα οὐκ εἰσὶ τοῦ εὐαγγελιστοῦ, ἀλλ' ὑπό τινος φιλοπόνου ἐνετέθη.

Οἱ δὲ ἑρμηνεύσαντες αὐτὰ τοῦτό φασιν, ὅτι μηδεὶς ἀνθρώπων ἤρκει πρὸς τὴν τῶν βιβλίων κτῆσιν εἰ πάντα ἐγράφετο[4].

---

1. Ἰω. 21,22. **2.** Ἰω. 21,23. **3.** Πρβλ. Ἰω. 21,24. **4.** Πρβλ. Ἰω. 21,25.

ΠΙΝΑΞ

ΤΩΝ ΧΩΡΙΩΝ ΤΗΣ ΑΓΙΑΣ ΓΡΑΦΗΣ

Σελ.

Γεν. 1,1 .... 223. 226
1,2 226
1,11 102
2,24 .... 144. 172
12,3 96
22,18 96
26,4 96
28,14 96
37,6-7 54
37,9 54
41,1-7 54
49,10 162

Ἐξ. 20,12 192
25,2 83
28,1 139
28,4 71
29,2 134
29,6 71
29,22 139
